de *Timotheo* poeta et citharoedo cf. Pherecr. 145, 21. Anaxandr. 6. Diphil. 77. dubitari non potest quin fragmentum misere corruptum ex Centauromachiae parodia excerptum sit. sententia saltem intellegi poterit, si quae exciderunt ita fere suppleas (*ἀντίπαλος τούτοις*) *ἔστη Πηλεύς, φιάλην Ἄρεος κατὰ Τιμόθεον ξυστόν τε βέλος* (*χερσὶν νωμῶν*). cf. Ovid. Met. 12, 366 sq. atque *ἔστη* iam Iacobs. teste Dindorfio.

ΚΑΡΕΣ

113

οὐχ ὁρᾷς ὀρχούμενον
ταῖς χερσὶ τὸν βάκηλον; οὐδ' αἰσχύνεται
ὁ τὸν Ἡράκλειτον πᾶσιν ἐξηγούμενος,
ὁ τὴν Θεοδέκτου μόνος ἀνευρηκὼς τέχνην,
5 *ὁ τὰ κεφάλαια συγγράφων Εὐριπίδῃ.*

Athenaeus 4, 134 b *Ἀντιφάνης ἐν Καρσὶ κατὰ τὸ Ἀττικὸν ἔθος τῆς ὀρχήσεως κωμῳδεῖ τινα τῶν σοφῶν ὡς παρὰ δεῖπνον ὀρχούμενον, λέγων οὕτως κτλ.* v. l. 2 Eustath. 159, 45 *ἀστείως ὁ κωμικὸς Ἀντιφάνης ἀνάπαλιν πρὸς τὸ ὠρχήσατο σκέλεσιν ἔφη τὸ 'οὐχ ὁρᾷς — βάκηλον'.* Phrynich. Epit. 272 *σημαίνει ὁ βάκηλος τὸν ἀποτετμημένον τὰ αἰδοῖα, ὃν Βιθυνοὶ καὶ Ἀσιανοὶ Γάλλον καλοῦσι.* cf. Alexid. 100. *Tribacelus* comoedia est Cn. Naevii (O. Ribbeck. Com. Rom.[2] p. 23), ex graeco ut videtur translata. *ὀρχεῖσθαι ταῖς χερσίν* Meinekio iudice is dicitur qui quae loquitur manuum quo-

que viva disertaque gesticulatione exprimit. Xen. Symp. 2, 19. Herod. 6, 129.

ceterum Trendelenburgio auctore deridetur *Heraclides Ponticus*. Diog. L. 9, 15 *ἐξήγηνται αὐτοῦ (Ἡρακλείτου) τὸ σύγγραμμα... Ἡρακλείδης ὁ Ποντικός.* 5, 86. 88 *φέρεται δ' (Ἡρακλείδου τοῦ Ποντικοῦ)... Ἡρακλείτου ἐξηγήσεις δ'.* 87 *μουσικὰ δὲ περὶ τῶν παρ' Εὐριπίδῃ καὶ Σοφοκλεῖ α' β' γ'...περὶ τῶν τριῶν τραγῳδιοποιῶν...ῥητορικὰ δὲ περὶ τοῦ ῥητορεύειν ἢ Πρωταγόρας.* 86 *οὗτος ἐσθῆτί τε μαλακῇ ἐχρῆτο...πρᾶός τε ἦν τὸ βλέμμα καὶ σεμνός.* *Theodectes* rhetor ille Phaselita est, Aristotelis sive discipulus sive amicus, de quo Aristot. Rhet. 2, 23. Plut. Mor. 837c. Athen. 13, 566e. Cic. Orat. 51, 172. Gell. 10, 18. 3. *πᾶσιν*] *παισὶν*?

ΚΑΡΙΝΗ

Cf. Meinek. I 311. Menand. p. 91. Arist. Ran. 1302. ex Menandri fabula cognomine Caecilius *Carinam* suam expressit. O. Ribbeck. Com. Rom. fr.[2] p. 53. Hesych. *Καρῖναι· θρηνῳδοὶ μουσικαί, αἱ τοὺς νεκροὺς τῷ θρήνῳ παραπέμπουσαι πρὸς τὰς ταφάς... παρελαμβάνοντο δὲ αἱ ἀπὸ Καρίας γυναῖκες.*

114

τρίποδα καὶ κάδον
παραθέμενος ψυκτῆρά τ' οἴνου . . .
μεθύσκεται.

Athenaeus 11, 503 b *ἐν δὲ τῇ Καρίνῃ* (καρνῃ A) *σαφῶς δηλοῦται ὅτι τούτῳ (τῷ ψυκτῆρι) ἐχρῶντο οἰνοχοοῦντες κυάθῳ· εἰπὼν γὰρ τρίποδα — μεθύσκεται, ἐν τοῖς ἑξῆς* (fr. 115) *ποιεῖ αὐτὸν λέγοντα πότος κτλ.* *τρίποδα καὶ | οἴνου κάδον παραθέμενος ψυκτῆρά τε | μεθ.*, numeris non optimis, Dobr. Adv. II 336.

115

πότος ἔσται . . .
σφοδρότερος· οὐκοῦν, εἰ φράσαι τις, οὐκ ἔτι
ἔξεστι κυαθίζειν γάρ . . . . .
τὸν δὲ κάδον ἔξω καὶ τὸ ποτήριον λαβὼν
5 *ἀπόφερε τἄλλα πάντα.*

Athen. 11, 503b (exscr. ad fr. 114). *ἔσται πότος | σφοδρότερος. οὔκουν εἴ φράσων τις; οὐκέτι | ἔξεστι· κυαθίζειν γάρ...* Dobraeus, cuius vestigia secutus Herwerdenus Mnem. nov. VI 64 *ἔσται π. | σφ. οὐκοῦν εἴ φράσων, ὅτι οὐκέτι | ἔξεστι κυαθίζειν παρ' ἡμῖν ἐνθάδε.* G. Hermanni (Mein. V 75) rationem non satis intellego. Athenaeo ipso teste *ὁ μεθυσκόμενος* haec dicit, qui ut

compotatio fortior fiat non iam ut antea vinum aqua mixtum, sed merum bibi iubet. itaque eis vasis quorum ad vinum temperandum usus est ablatis omnibus cadus solus et poculum efferuntur. *κυαθίζειν* enim est *vinum aqua miscere.* cf. Diphil. 107. itaque sic fere fragmentum redintegrandum erit: *ἔσται πότος | σφοδρότερος· οὐκοῦν μὴ κεράσῃ τις· οὐκ ἔτι | ἔξεστι κυαθίζειν γάρ· (ἀλλά, παῖ, τρέχε) | τόν τε κάδον κτλ.* de *γάρ* in fine sententiae posito cf. quae ad 26, 22 adnotavimus.

ΚΙΠΟΤΡΟΣ

116

Athenaeus 13,586a *τῆς Σινώπης...μνημονεύει..Ἀντιφάνης ἐν ..Κηπουρῷ.* cf. 26, 12.

ΚΙΘΑΡΙΣΤΗΣ

Acta est post Ol. 112, 3. cf. fr. 117. 'Pomponii *Citharistam* laudat Nonius v. *irascere.*' cf. O. Ribbeck. Com. Rom. fr.[2] p. 230. falluntur qui *Citharoedum* eandem fabulam esse credunt. Mein. I 313. 4. citharoedus est qui cithara canit. de citharista cf. quae ad Arist. Nub. 964 adnotavimus.

117

οὐκ ἐφύσων οἱ Λάκωνες ὡς ἀπόρθητοί ποτε;
νῦν δ' ὁμηρεύουσ' ἔχοντες πορφυροῦς κεκρυφάλους.

Clearch. Athen. 15, 681 c *ὅρα τοὺς τὸ κοσμοσάνδαλον ἀνευρόντας* (*ἀνείροντας* Mein. in ed. Athen.) *Λακεδαιμονίους, οἳ τὸν παλαιότατον τῆς πολιτικῆς κόσμον συμπατήσαντες ἐξετραχηλίσθησαν. διόπερ καλῶς περὶ αὐτῶν εἴρηκεν ὁ κωμῳδιοποιὸς Ἀντιφάνης ἐν Κιθαριστῇ κτλ.* Aeschin. 3, 133 *Λακεδαιμόνιοι δ' οἱ ταλαίπωροι προσαψάμενοι μόνον τούτων τῶν πραγμάτων ἐξ ἀρχῆς περὶ τὴν τοῦ ἱεροῦ κατάληψιν, οἱ τῶν Ἑλλήνων ποτὲ ἀξιοῦντες ἡγεμόνες εἶναι, νῦν ὁμηρεύσοντες καὶ τῆς συμφορᾶς ἐπίδειξιν ποιησόμενοι μέλλουσιν ὡς Ἀλέξανδρον ἀναπέμπεσθαι.* cf. Harpocration *ὁμηρεύοντας.* (Mein.) Diodor. 17, 73 *Ἀντίπατρος ὁμήρους ἔλαβε τοὺς ἐπιφανεστάτους τῶν Σπαρτιατῶν πεντήκοντα, οἱ δὲ Λακεδαιμόνιοι πρέσβεις ἐξέπεμψαν εἰς τὴν Ἀσίαν, ἀξιοῦντες αὐτοῖς δοῦναι συγγνώμην.* Plut. Mor. 235 b *μετὰ δὲ τὴν Ἄγιδος ἧττον ὁμήρους αἰτοῦντος Ἀντιπάτρου πεντήκοντα παῖδας, Ἐτεοκλῆς ἐφορεύων εἶπε παῖδας μὲν οὐ δώσειν...πρεσβύτας δ' ἢ γυναῖκας, εἰ βούλοιτο, διπλασίους δώσειν.* factum hoc est Ol. 112, 3. quid *πορφυροῖ κεκρύφαλοι* sibi velint nescio, nisi forte poeta significat Lacedaemonios iam mulierum instar esse.

ΚΙΘΑΡΩΙΔΟΣ

118

οὐ ψεῦδος οὐδέν φησιν

Athenaeus 8, 342 d *καὶ Μάτων δὲ ὁ σοφιστὴς ὀψοφάγος ἦν· δηλοῖ δὲ τοῦτο Ἀντιφάνης ἐν Κιθαρῳδῷ οὗ ἡ ἀρχή κτλ.* 'quod exordium fabulae ... sibi commemorandum putavit Athenaeus, eius rei haud alia causa fuisse videtur, quam quod duae Citharoedi editiones ferebantur, quarum altera testimonio de Matone carebat.' Mein.

119

ὀφθαλμὸν ὥρυττέν τις ὥσπερ ἰχθύος
Μάτων προσελθών.

Athen. 8, 342 d. cf. fr. 118. de *Matone* cf. 190, 16. Anaxil. 20. Athen. 7, 307 d. 8, 343 a.

120

εἰσδυόμενος εἰς πόρκον, ὅθεν ἔξω πάλιν
οὐ ῥᾳδίως ἔξειμι τὴν αὐτὴν ὁδόν.

Etymol. m. 683, 27 *Ἀντιφάνης Κιθαρῳδῷ κτλ.* Diphil. 78. Plat. Sophist. 220 c *κύρτους καὶ δίκτυα καὶ βρόχους καὶ πόρκους.* Photius *πόρκος· κύρτος θαλάσσιος ὁ εἰς ἄγραν ἰχθύων.* cf. Hesych. *πόρκος.* Cramer. Anecd. Par. IIII 18, 4.

121

στειλεὰν
ῥαφανῖδα, σικύους τέτταρας.

Athenaeus 3, 74 a sine auctoris fabulaeve nomine. Hesych. *στειλεάν· τὴν μακρὰν ῥάφανον. Ἀντιφάνης ἐν Κιθαρῳδῷ. στειλεάν* Hesych.] *στελέω* A Athen. *ῥαφανῖδα* Porson. Miscell. 234] *ῥαφανίδας.* potest etiam unus trimeter fuisse prima syllaba privatus.

ΚΛΕΟΦΑΝΗΣ

Nomen videtur fictum esse; neque enim, opinor, is Cleophanes significatur, qui in Euboea Phocione duce contra Philippi copias fortiter pugnavit. Plut. Phoc. 13.

122

τὸ δὲ τυραννεῖν ἐστιν
ἢ τί ποτε τὸ σπουδαῖον; ἀκολουθεῖν ἔρις
ἐν τῷ Λυκείῳ μετὰ σοφιστῶν, νὴ Δία,

λεπτῶν ἀσίτων συκίνων, λέγουθ' ὅτι
τὸ πρᾶγμα τοῦτ' οὐκ ἔστιν εἴπερ γίνεται·
οὐδ' ἔστι γάρ πω γινόμενον ὃ γίνεται,
οὔτ' εἰ πρότερον ἦν, ἔστιν ὅ γε νῦν γίνεται·
ἔστιν γὰρ οὐκ ὂν οὐδέν· ὃ δὲ μὴ γέγονέ πω,
οὐκ ἔσθ' ἕωσπερ γέγονεν, ὅ γε μὴ γέγονέ πω·
ἐκ τοῦ γὰρ εἶναι γέγονεν· εἰ δ' οὐκ ἦν ὅθεν,
πῶς ἐγένετ' ἐξ οὐκ ὄντος; οὐχ οἷόν τε γάρ.
εἰ δ' αὐτόθεν ποι γέγονεν, οὐκ ἔσται
κηποι δέποτις εἴη, ποθεν γενήσεται
τοὐκ ὂν εἰς οὐκ ὄν· εἰς οὐκ ὂν γὰρ οὐ δυνήσεται.
ταυτὶ δ' ὅ τι ἐστὶν οὐδ' ἂν ἀπόλλων μάθοι.

Athenaeus 3, 98 f *τί δὲ ἡ ἐπιστολὴ αὕτη δηλοῖ νομίζω 'γὼ μηδὲ τὸν Πύθιον διαναγνῶναι· κατὰ γὰρ τὸν Ἀντιφάνους Κλεοφάνη κτλ.* 4. Athenaeus 13, 565 f *οὐ δεῖ οὖν οὕτως ἐσταλμένους περὶ ἀργύριον ἐπτοῆσθαι καὶ ἐρωμένους περιάγεσθαι ξυρουμένους τὴν ὑπήνην καὶ τὸν ὅρρον, τοὺς ἀκολουθοῦντας ἐν τῷ Λυκείῳ μετὰ σοφιστῶν νὴ Δία λεπτῶν ἀσίτων σκυτίνων, κατὰ τὸν Ἀντιφάνην.*

1. *τυραννεῖν ἐστιν*] *παρανοεῖν ἐστι δή* K. 2. *ἔρις*] *ἐρᾷς* K. conl. Eupol. 326. Timocl. 10. *ἐρεῖς* Scaliger. 3. *λυκίῳ* et *σοφιστῷ* A. 4. *συκίνων*] *σκυτίνων* A 565 f. *λέγουθ'*] *λέγοντα* A. *κλύειν θ'* K. 5. *τοῦτο* A. 6. *οὐκ ἔστι* Dindf. 7. *οὐδ'* Grotius. 9. *ἔσθ' ἕωσπερ* Dobr. Adv. II 301] *ἔστιν ὥσπερ* A. *γέγονε* etiam priore loco A. *ὅ γε* Schweigh.] *ὁ δε* A. *οὐκ ἔστι· πῶς γὰρ γέγονεν ὅ γε μὴ κτλ.* Mein. ed. mai. 11. *ἐγένετο* A. 12—15 sic A. 12. *εἰ δ' αὖ ποθέν, πῶς γέγονεν, οὐκ ὄν; ἔστ' ἄρ' οὐκ οὐδέν ποτ'·* G. Herm. (Mein. V 76). *αὐτόθεν πη* 'ex se ipso natum' Mein. 14. *οὐκ ὄν τ' ἐς οὐκ ὄντ' ἀπιέν' οὐ δυνήσεται* H. Iacobi. 15. *ἀπόλλων* Dindf.] *ἀπόλλων* A.

verba sunt patris seniorisve amici adulescentulum ab argutiis dialecticis revocantis. inridentur captiones Eleaticae inprimis sectae vel potius eorum qui tum talia admirabantur. videtur enim illo tempore potissimum, Platonis maxime Aristotelisque opera, doctrinae Eleaticae cognitio in vulgus permanasse. cf. Aristot. De Xenoph. p. 974. Parmenid. ap. Simplic. Phys. fol. 3. ibid. De caelo f. 27 b. 4. *συκίνων*, ut Theocr. 10, 45 *σύκινοι ἄνδρες*, *qui nihil proficiunt.* Horat. Serm. 1, 8, 1 *olim truncus eram ficulnus, inutile lignum.*

ΚΝΑΦΕΥΣ

123

ὅστις τέχνην πρῶτος κατέδειξε τῶν θεῶν,
οὗτος μέγιστον εὗρεν ἀνθρώποις κακόν.

ὅταν γὰρ ἀπορῆταί τις, ἂν μὲν ἀργὸς ᾖ,
ἐλθὼν ἀπεκινδύνευσεν ἡμέραν μίαν,
5 ὥστ' ἢ γεγονέναι λαμπρὸς ἢ τεθνηκέναι.
ἡμεῖς δ' ἔχοντες ἀρραβῶνα τὴν τέχνην
τοῦ ζῆν, ἀεὶ πεινῶμεν ἐπὶ ταῖς ἐλπίσιν,
ἐξόν τε μικρὸν διαπορηθῆναι χρόνον,
τὸν βίον ἅπαντα τοῦτο δρᾶν αἱρούμεθα.

Stobaeus Floril. 61, 2 Ἀντιφάνους ἐκ Κναφέως A. 1. πρῶτος κατέδειξε A] κατέδειξε πρῶτος. 3. ᾖ Iacobs. Lect. Stob. 101] ἦν. 5. λαμπρὸς Naber. Mnem. nov. VIII 49] λαμπρὸν.

3. ἂν μὲν ἀργὸς ᾖ, i. e. *si artem* (τέχνην) *non habet.* 4. Horat. Serm. 1, 1, 7 *quid enim? concurritur: horae momento aut cita mors venit aut victoria laeta.* ἐλθών, ut nos: *so geht er hin und* cet. ceterum cf. quae de hoc fragmento disputat Birtius Elpid. 34. 71.

ΚΝΟΙΘΙΔΕΥΣ Η ΓΑΣΤΡΩΝ

Photius Κνοιθιδεύς· ὄρος τῆς Ἀττικῆς. 'fortasse *montis* Cnoethidei *genium* introduxerat Antiphanes, quemadmodum Lycabettum Theopompus comicus' fr. 29. Mein. I 331. γάστρων Arist. Ran. 200.

124

ἐγὼ πρότερον μὲν τοὺς κελεύοντας λέγειν
γρίφους παρὰ πότον ᾠόμην ληρεῖν σαφῶς
λέγοντας οὐδέν, ὁπότε προστάξαι τέ τις
εἰπεῖν ἐφεξῆς ὅ τι φέρων τις μὴ φέρει,
5 ἐγέλων νομίζων λῆρον, οὐκ ἂν γενόμενον
οὐδέποτέ γ' οἶμαι πρᾶγμα παντελῶς λέγειν,
ἐνέδρας δ' ἕνεκα. νυνὶ δὲ τοῦτ' ἔγνωχ' ὅτι
ἀληθὲς ἦν· φέρομεν γὰρ ἄνθρωποι δέκα
ἔρανόν τιν', οὐ φέρει δὲ τούτων τὴν φορὰν
10 οὐδείς. σαφῶς οὖν ὅ τι φέρων τις μὴ φέρει,
τοῦτ' ἔστιν, ἦν θ' ὁ γρῖφος ἐνταῦθα ῥέπων.
καὶ τοῦτο μὲν δὴ κἄστι συγγνώμην ἔχον·
ἀλλ' οἷα λογοποιοῦσιν ἐν τῷ πράγματι
οἱ τἀργύριον μὴ κατατιθέντες, ὡς σφόδρα
15 Φίλιππος. ἆρ' ἦν εὐτυχής τις νὴ Δία.

Athenaeus 10, 448 e περὶ δὲ τῶν γρίφων Ἀντιφάνης μὲν ἐν Κνοιθιδεῖ (κνοιθιδι A) ἢ Γάστρωνί φησιν κτλ. 2. πότον] πωτον A. ᾠόμην VL] ὠμην A. 3. προστάξαι τέ K.] προστάξεταί

A. 4. *εἰπεῖν* VL] *εἰπὼν* A. 5. *λῆρον, οὐκ ἂν γενόμενον οὐδέποτέ γ'* Dobr. Adv. II 328] *λῆρον οὐκ ἂν γενόμενον· οὐδέποτέ γ' (γε)* A. 8. *ἄνθρωποι δέκα ἔρανόν τιν'* Scaliger apud Casaub.] *ἔρανόν τιν' ἄνθρωποι δέκα* A. 10. *οὐδείς* Iacobs. Addit. 240] *οὐδὲ εἷς* A. 13. *ἐν*] *ἐπὶ* Herwerd. Mnem. nov. IIII 313. 14. *σφόδρα Φίλιππος* VL] *σφοδροφίλιππος* A. 15. *ἄρ'*] *ἄρ'* A.

ad griphum in convivio propositum singuli eo quo accumbebant ordine deinceps (*εἰπεῖν ἐφεξῆς* v. 4) respondere debebant. — 5. *οἶμαι* rectissime se habet. verba enim hunc in modum construenda sunt: *νομίζων αὐτὸν λέγειν λῆρον, πρᾶγμα οὐκ ἄν, οἶμαι, γενόμενον οὐδέποτε παντελῶς. rem quae numquam opinor fieri possit.* cf. Mnesim. 1. 8. 'decem sumus qui eranum nos conlaturos esse promisimus: sed nemo nostrum est qui ferat eranum: omnes tamen ferre dicimur: ferimus igitur et non ferimus.' Casaub. Demosth. 10, 40 *δεῖ τὸν ὡρισμένον.. ἔρανον... δικαίως φέρειν καὶ ἑκόντα ὑποτελεῖν.* cf. 21, 101. 184. ac sic *εἰσφέρειν* 53, 8. 13—15. hoc dicit: pro pecunia verba dant et excusationibus moras nectunt (*λογοποιοῦσιν*), prorsus ut Philippus, rex Macedoniae scilicet, id facere solet, qui Atheniensibus montes auri pollicebatur, sed numquam quae promiserat faciebat. *ἦν* est prima persona. '*nae ego nunc rem acu tetigi.*'

125

ἄτοπά γε κηρύττουσιν ἐν τοῖς ἰχθύσιν
κηρύγμαθ', οὗ καὶ νῦν τις ἐκεκράγει μέγα
μέλιτος γλυκυτέρας μεμβράδας φάσκων ἔχειν.
εἰ τοῦτο τοιοῦτ' ἐστίν, οὐδὲν κωλύει
5 *τοὺς μελιτοπώλας αὖ λέγειν βοᾶν θ' ὅτι*
πωλοῦσι τὸ μέλι σαπρότερον τῶν μεμβράδων.

Athenaeus 7, 287e *ἔστιν εὑρεῖν (τὸ βεμβρὰς) καὶ διὰ τοῦ μ γραφόμενον. Ἀντιφάνης ἐν Κνοιθιδεῖ κτλ. Κνοιθιδεῖ· ἄτοπά γε* Mein.] *κνοισθιδειατόπον τε* A. *κηρύγμαθ'* Mein.] *κήρυγμα* A. rectissime Meinekius: nam de *multis* id genus proclamationibus unam (*οὗ — τις*) commemorat. de duplici forma (*βεμβράς, μεμβράς*) cf. Phrynich. 50.

ΚΟΡΙΝΘΙΑ

126

ἔπειτα κἀκροκώλιον
ὕειον Ἀφροδίτῃ; γέλοιον. Β. ἀγνοεῖς;
ἐν τῇ Κύπρῳ δ' οὕτω φιληδεῖ ταῖς ὑσίν,
ὦ δέσποθ', ὥστε σκατοφαγεῖν ἀπεῖρξε
5 *τὸ ζῷον . . τοὺς δὲ βοῦς ἠνάγκασεν.*

Athenaeus 3, 95 f *ἀκροκωλίων δὲ μέμνηται . . . Ἀντιφάνης Κορινθίᾳ κτλ.* 1. *κἀκροκ.* Dindf.] *καὶ ἀκροκ.* A. 3. *ὑσὶν*] *ὑεσὶν* A. *ὦ δέσποθ'* anonymus apud Schweigh.] *δέσποτα* A. 4. pro *ἀπεῖρξε* utique scribendum est *ἀπείθισε*, et v. 5 *τὸ ζῷον αὐτή, τ. δ. β. ἦν.*

4. Aeschin. 1, 34 *ταῖς τιμωρίαις τούτους ἀπεθίζειν χρή.* 1, 52 *ἀπεθίζων τοὺς ἀνθρώπους μὴ ἐξ ὑποψίας . . . τὰς κρίσεις ποιεῖσθαι.* 5. *boves Cyprios* veteres dicebant stercore vesci. Diogen. 3, 49 *βοῦς Κύπριος εἶ· ἤτοι κοπροφάγος. τοιοῦτοι γὰρ οἱ ἐκεῖσε βόες.* 5, 80 *Κύπριος βοῦς· ἐπὶ τῶν κοπροφάγων καὶ εἰκαίων.* similiter Apostol. 5, 1. Hesych. *βοῦς Κύπριος* et *Κύπριος βοῦς*, Suid. *βοῦς Κύπριος.* paullo aliter Plin. N. h. 28, 266 *boves in Cypro contra tormina hominum excrementis sibi mederi* (dicunt).

ΚΟΡΟΠΛΑΘΟΣ

Isocr. 15, 2 *ὥσπερ ἂν εἴ τις Φειδίαν τὸν τὸ τῆς Ἀθηνᾶς ἔδος ἐργασάμενον τολμῴη καλεῖν κοροπλάθον.* Bekker. Anecd. 272, 31 *κόρη . . . τὸ μικρὸν ἀγαλμάτιον τὸ γύψινον καὶ πήλινον, ἀφ' οὗ καὶ κοροπλάθος ὁ ταῦτα ποιῶν καλεῖται.* Schol. Dion. Chrysost. 31, 356 d *κόρας· τὰ παρὰ τῶν κοροπλάθων γύψινα πλαττόμενα ἀνδριαντάρια.* Ruhnk. Tim. 165. 6.

127

γύναι, πρὸς αὐλὸν ἦλθες. ὀρχήσει πάλιν
τὴν ἴγδιν . . τὴν θυΐαν ἀγνοεῖς;
τοῦτ' ἔστιν ἴγδις.

Pollux 10, 103 *ἴγδιν αὐτὴν (τὴν θυΐαν) κεκλήκασι Σόλων τε . . . καὶ ἔτι σαφέστερον Ἀντιφάνης Κοροπλάθῳ· γύναι — τὴν ἴγδιν. ἔστι μὲν οὖν ἴγδις καὶ ὀρχήσεως σχῆμα· ὁ δὲ παίζων πρὸς τοὔνομα κωμικῶς ἐπήγαγε· τὴν θυΐαν ἀγνοεῖς; τουτέστιν ἡ ἴγδις.* Etym. m. 464, 49 (Gud. 271, 15) *ἔστι δὲ καὶ εἶδος ὀρχήσεως ἴγδισμα, ἐν ᾗ ἐλύγιζον τὴν ὀσφὺν ἐμφερῶς τῷ δοίδυκι.* Athen. 14, 629 f *γελοῖαι δ' εἰσὶν ὀρχήσεις ἴγδις καὶ μακτρισμός κτλ.* Pollux 4, 101 *βακτριασμὸς δὲ καὶ . . . ἴγδις ἀσελγῆ εἴδη ὀρχήσεων ἐν τῇ τῆς ὀσφύος περιφορᾷ.* Phryn. Ecl. 164 *θυείαν λέγε, μὴ ἴγδιν,* ubi cf. Lobeck. Herwerden. Stud. crit. 83 *ὀρχήσει πάλιν τὴν ἴγδιν. Β. ἴγδιν; Α. τὴν θυΐαν ἀγνοεῖς;* dubitans an extrema verba Meinekius non recte Antiphanis fragmento adiecerit. — videtur nescio quis mulierem simplicem duplici vocis *ἴγδις* significatione decipere. *πρὸς αὐλὸν ἦλθες*, i. e. 'tempore venisti: tibia enim canitur'.

ΚΟΥΡΙΣ

Κουρίδα Amphidis *tonstricem* Grotius, *novaculam* interpretatur Dalecampius. at Helladius Phot. Bibl. 530, 13 *τὰς νῦν λεγομένας*

κουρίδας οἱ Ἀττικοὶ κομμωτρίας (Arist. Eccl. 737) *ἐκάλουν.* hominis rustici et simplicis imaginem in hac fabula poetam exhibuisse censet Meinek. I 332. 406. est etiam Alexidis *Κουρίς* et Cn. Naevii *Commotria.* O. Ribbeck. Com. Rom. fr.[2] p. 12.

128

ἐλθών τε πρὸς τὸν τεμαχοπώλην περίμενε,
παρ' οὗ φέρειν εἴωθα· κἂν οὕτω τύχῃ,
Εὔθυνος . . ἀπολοπίζων αὐτόθι
χρηστόν τι περίμεινον κέλευσον μὴ τεμεῖν.

Athenaeus 3, 120a *Εὐθύνου δὲ τοῦ ταριχοπώλου μέμνηται Ἀντιφάνης ἐν Κουρίδι οὕτως κτλ.* 3. *εὔθυνος* A. lacunam indicavit Dindorf. *Εὔθυνος αὐτὸς* Mein. V 76. *ἀπολοπίζων* Fritzsch. Daetal. 106 not.] *ἀπολογίζων* A. 4. *περιμένων — μοι* Schweigh. de *Euthyno* cf. 190, 1. Euphron. 1, 9. fortasse idem est quem commemorat Aristot. Rhet. 2, 19 *Ἰσοκράτης ἔφη δεινὸν εἶναι, εἰ ὁ μὲν Εὔθυνος ἔμαθεν, αὐτὸς δὲ μὴ δυνήσεται.* 2. cf. Xenoph. Hellen. 4, 1, 34 *καὶ ἐὰν οὕτω τύχωσιν, ἔστιν ὅτε καὶ ἀπέκτειναν ἀλλήλους.* (Fritzsch.) 4. *χρηστόν τι*, ut 145. Arist. Pac. 563. mihi v. 3 sic scribendus videtur *Εὔθυνον ὄψον ἀπολοπίζοντ' αὐτόθι χρηστόν τι, Παρμένων, κέλευσόν μοι τεμεῖν.*

129

Α. ὁ μὲν ἀγρῷ τρεφόμενος
θαλάττιον μὲν οὗτος οὐδὲν ἐσθίει,
πλὴν τῶν παρὰ γῆν, γόγγρον τιν' ἢ νάρκην τιν' ἢ
θύννης τὰ πρὸς τῆς ποια τὰ κάτωθεν λέγω.
5 *Β. τούτους φάγοις ἄν; Γ. τοὺς γὰρ ἄλλους νενόμικα*
ἀνθρωποφάγους ἰχθῦς. Β. τὸ δεῖνα δ' ἐσθίεις;
τουτι κακόνωτα πλοῖα Γ. Κωπᾶδας λέγεις;
ἀγρίως γε. Β. παρὰ λίμνην γὰρ γεωργῶν τυγχάνω·
τὰ δ' ἐγχέλεια γράψομαι λιποταξίου.
10 *κομιδῇ γὰρ οὐκ ἦν οὐδαμοῦ.*

Athenaeus 7, 303. 4 *τῆς θυννίδος τὸ οὐραῖον ἐπαινεῖ καὶ Ἀντιφάνης ἐν Κουρίδι οὕτως κτλ. τούτων τῶν ἰαμβείων ἔνια ἔστιν εὑρεῖν καὶ ἐν Ἀκεστρίᾳ καὶ ἐν Ἀγροίκῳ ἢ Βουταλίωνι.* v. 9 Eustathius 1240, 22 *ὅθεν Ἀντιφάνης ὑποκοριστικῶς* (!) *ἔφη· τὰ ἐγχέλια κτλ.* personarum notas posuit Dobraeus Adv. II 316. 2. *μὲν* habet etiam A. *ὁ μὲν ἐν* Cobet. N. l. 129. *ὁ δ' ἐν* Mein. in ed. Ath. *θαλάττιον ὄψον* Mein. ed. mai. *ὄψον θαλάττιον* Casaub. 3. *πλὴν* C] *πρὶν* A. 4. sic A. 6. *τὸ δεῖνα δ' ἐσθίεις* Schweigh.] *τὸ δ'*

ἵνα δ' ἐσθιηις (*ηι* in rasura fort. m.[1]) A. 7. sic A, nisi quod *Κωπαΐδας* habet et personarum notis ut solet caret. 8. *παρὰ* del. Dindf., *γὰρ* Iacobs. 9. *ἐγχέλεια* Schweigh.] *ἐγχέλια* A et Eustath. *γράψομαι λιποταξίου* Mein. et Pors.] *γράφομαι λειποταξίου* A et Eustatb. 10. *κυμιδῆ γὰρ οὐκ*] *ἐνταῦθα γὰρ* Eustath.

scaenam apud salsamentarium esse suspicatur Dobraeus Adv. II 316. similis videtur esse fr. 68. *Γ* est simplex ille et agrestis homo, *B* agricola, fortasse Atheniensis, unus ex Philippi *κληρούχοις*, conl. Demosth. 18, 41 *τοὺς Θηβαίους ἐλεεῖς, κτῆμα ἔχων ἐν τῇ Βοιωτίᾳ καὶ γεωργῶν τὰ ἐκείνων.* de *A* nihil ego constituerim. ceterum ecloga est obscurissima. v. 4 Mein. cum Schweigh. *θύννης τὰ πρὸς τῇ B. ποῖα; A. τὰ κάτωθεν λ.*, ad *τῇ* intellegi *οὐρᾷ* monens. cuius timiditatis causam ego non perspicio. *τὰ πρὸς γῆς* Cobetus: 'lepide enim *τὰ κάτωθεν* ita adpellavit. *τὰ πρὸς γῆς* dictum est ut *τὰ πρὸς ποδῶν* et similia.' v. 7 H. Iacobi ap. Mein. V 77 et ed. min. xv *κακόνωτα ταυτὶ χἀπαλά*; cf. etiam, si tanti est, Herwerd. Nov. add. crit. 19. Naber. Mnem. nov. VIII 50. in emendando hoc versu id ante omnia tenendum est, prorsus inepta esse *κακόνωτα πλοῖα* et verbis interrogantis contineri debere paraphrasin anguillae, eamque tam perspicuam, ut adpareat cur alter statim illas significari intellegat. fortasse *Γ. τὸ τί; B. τὰ Βοιωτῶν λοιπά; Γ. Κωπᾷδας λέγεις; ἀγρίως γε* (*ἐσθίω*). anguillas solas dicit (post Chaeronensem calamitatem et Thebarum excidium) in Boeotia relictas esse. de correpta *Βοιωτῶν* syllaba prima cf. Arist. Eq. 479. 80 et quae ibidem ad 139 adnotavimus.

ΚΥΒΕΥΤΑΙ

Cf. quae ad Eubuli *Κυβευτάς* adnotavimus.

130

ῥίσκος ἦν ὃν εἶπεν

Pollux 10, 137 *χηλοί, κιβωτοί...κίσται καὶ κιστίδες...παρὰ δὲ τοῖς νεωτέροις ῥίσκοι, ὡς Ἀντιφάνης ἐν Κυβευταῖς κτλ.* cf. Posidipp. 9 Mein. Terent. Eun. 754 (cistella cum monumentis) *sitast in risco.*

ΚΥΚΛΩΨ

Polyphemum ipsum loquentem induci testis est Eustathius fr. 133. Philoxenum Cytherium secutus est Antiphanes: nam ut videtur amari Cyclopem a Galatea fecit. cf. Cyclopis Philoxenei fragmenta apud Bergkium Poet. lyr. gr. et Nonn. 6, 300 sq. 39, 257 sq. 40, 555 sq. E. Rohde Griech. Rom. 77. 8.

131

κέρμα γάρ τι τυγχάνω

παρ' Ἀντιφάνει ἐν τῷ Κύκλωπι Pollux 9, 88. idem 7, 170 *κέρμα ἑνικῶς... Ἀντιφάνης ἐν Κύκλωπι. λαβών* in fine add. Meinek.

132

ἔστω δ' ἡμῖν κεστρεὺς τμητός,
νάρκη πνικτή, πέρκη σχιστή,
τευθὶς σακτή, συνόδων ὀπτός,
γλαύκου προτομή, γόγγρου κεφαλή,
5 *βατράχου γαστήρ, θύννου λαγόνες,*
βατίδος νῶτον, κέστρας ὀσφύς,
ψήττας κίσχος, μαινίς, καρίς,
τρίγλη, φυκίς·
τῶν τοιούτων μηδὲν ἀπέστω.

Athenaeus 7, 295 f *Ἀντιφάνης δ' ἐν Κύκλωπι ὑπερακοντίζων τὸν τένθην Ἀρχέστρατόν φησιν κτλ.* 1. *ἡμῖν* A] *ὑμῖν* C. cf. 133, 1. *τμητός* Porson.] *ὑμήττιος* A. *νῆστις* Schweigh. 6. *ὀσφυς* et *κισχος*, *μενις* sine acc. A. 7. *κίσχος*] *ἰξὺς* Porson. (*ψήττης*). *ψῆττα*, *ξιφίας* Mein., conl. Archestr. Athen. 7, 314 e. Hesych. *ξιφίας· ἰχθὺς ποιός.* addo Ovid. Halieut. 97 *durus xiphias.* Plin. N. h. 32, 15 *xiphiam* (dicunt) *rostro mucronato esse; ab hoc naves perfossas mergi.* an *ψῆττα*, *σκίνδος*? cf. Anaxandr. 27, 4. nam xiphias quidem prorsus dissimilis est eorum qui hic commemorantur.

133

τῶν χερσαίων δ' ὑμῖν ἥξει
παρ' ἐμοῦ ταυτί·
βοῦς ἀγελαῖος, τράγος ἠλιβάτας,
αἶξ οὐρανία, κριὸς τομίας,
5 *κάπρος ἐκτομίας, ὗς οὐ τομίας,*
δέλφαξ, δασύπους, ἔριφοι, . .
τυρὸς χλωρός, τυρὸς ξηρός,
τυρὸς κοπτός, τυρὸς ξυστός,
τυρὸς τμητός, τυρὸς πηκτός.

Athenaeus 9, 402 e *παρ' Ἀντιφάνει... ἐν Κύκλωπι κτλ.* v. 2 Eustath. 1753, 22 *παρὰ δὲ Ἀντιφάνει ἐπαινῶν αἶγα ὁ Κύκλωψ λέγει οὐρανίαν αἶγα ἐν τῷ βοῦς ἀγελαῖος, ταῦρος ἠλιβάτας, αἶξ οὐρανία, κριὸς τομίας καὶ ἑξῆς· λέγοι δ' ἂν αἶγα οὐρανίαν ὡς οἷον μεγάλην.* v. 4. 5. 7—9 adfert idem 1524, 13. v. 7 Eustath. 1001,

51 χλωρὸς τυρὸς ὁ νεοπαγής. v. 8 idem 872, 11 παρ' ᾧ ('Αθηναίῳ) καὶ ὁ κοπτὸς τυρὸς καὶ ὁ τμητὸς ὁ αὐτὸς ἂν εἴη τῷ κνηστῷ.

3. ἠλιβάτας Eustath.] ὑλιβάτας A Ath. 6. lacunam indicavit Dindf. — 'ἠλίβατον dicitur quidquid magnitudine excellit. ita ἠλίβατον κακὸν Damox. 2, 22.' Mein. ἠλιβάτας fortasse a Philoxeno adscivit. αἶγα οὐρανίαν per iocum inmiscuit. cf. Cratin. 244. — fr. 132. 3, quibus non recte adicit 302, in unum coniungi posse censet Meinek. I 325. videtur Polyphemus speratas Galateae nuptias adornare. ac pisces quidem a sponsa praeberi cupit (ἔστω δ' ἡμῖν fr. 132) utpote dea marina; gregum fetus 133 de suo promittit.

ΚΩΡΥΚΟΣ

Duhium est ntrum ὁ τῶν ἀθλητῶν κώρυκος an hominis nomen proprium significetur. Mein. I 338. cf. Timocl. 29. C. F. Hermann. Ant. gr. pr. 37, 17. Hemsterh. Polluc. 10, 172. quamquam hominem quidem Κώρυκον adpellatum non novi. fortasse fabula Κωρυκαῖος inscripta erat. Strab. 14, 644 πάντα τὸν πολυπράγμονα καὶ κατακούειν ἐπιχειροῦντα τῶν λάθρα καὶ ἐν ἀπορρήτῳ διαλεγομένων Κωρυκαῖον καλοῦμεν, καὶ ἐν παροιμίᾳ φαμέν· τοῦ δ' ἄρ' ὁ Κωρυκαῖος ἠκροάζετο. cf. Menand. 149 Mein. Dioxipp. 2 (3 Mein.). Zenob. 4, 75. Append. prov. Leutsch. 4, 96. Steph. Byz. Κώρυκος.

134

τῶν θαλαττίων δ' ἀεὶ
ὄψων ἓν ἔχομεν, διὰ τέλους δὲ τοῦθ', ἅλας.
. . . . . ἐπὶ δὲ τούτοις πίνομεν
οἰνάριον εἶδος, νὴ Δί', οἰκίας τρόπον
5 πόσειδος οἷον τοῖς παροῦσι συμφέρει
ἀπαξάπασιν ὀξυβάφῳ ποτηρίῳ.

Athenaeus 9, 366 bc ἀνηδύντων δὲ ἁλῶν πλήρεις οἱ Κυνικοί, παρ' οἷς κατὰ τὸν 'Αντιφάνην, λέγει δ' ἐν Κωρύκῳ τις ἄλλος κύων, κτλ. 1. αἰεὶ A. 2. ἔχομεν] ἔχ' ὁ μὲν A. τοῦθ' ἅλας Schweigh.] τοῦτο ἅλα A. 3. lacunam indicavit Dindorf. 4. εἶδος] ἥδος Schweigh. 6. ἀπαξάπασιν] ἀπαξαναπασιν A. Cobet. N. l. 15. 16 v. 4. 5 ita scribit οἰνάριον, εἶδος νὴ Δία σκιᾶς τρόπον. Β. πῶς εἶδος; Α. οἷον κτλ.

Eustath. 1417, 19 ἧδος δὲ τὸ μὲν ὄφελος ψιλοῦσιν οἱ πλείους ...ἐπὶ δὲ ὄξους δασύνουσιν (ἧδος). Αἴλιος γοῦν Διονυσιός φησιν· ἧδος τὸ ὄξος δασύνουσιν 'Αττικοί. Athen. 2, 67 c ὄξος· τοῦτο μόνον 'Αττικοὶ τῶν ἡδυσμάτων ἧδος (scr. ἧδος) καλοῦσι. Poll. 6, 65 τὸ δὲ ὄξος καὶ ἧδος ἐκάλουν. Hesych. ἧδος· ἡδονή. καὶ ὄφελος...καὶ ὄξος. itaque ἧδος, proprie Chalcidensium (Schol. Plat. 9), etiam Atticis non inusitatum fuit, quamquam vulgo ὄξος dicebant.

conloquuntur autem tres, cynicae disciplinae sectator, cynicorum contemptor, adulescens, quem cynicus suae scholae ut videtur conciliare studet. uno de marinis fructibus etiam cynicos uti dicit, sale. bibere se autem vinum vilissimum. non vinum, inquit cynicorum contemptor, sed acetum nequissimum (ἧδος). quod quid sit cum adulescens nesciat, cynicus adversarium praevertens 'tale' inquit 'vinum quod omnibus prosit'. itaque v. 3 sq. ita scribo: *Α. ἅλας* (*καθαρούς, ἀκραιφνεῖς* cf. Aristoph. fr. 32)· *ἐπὶ δὲ τούτοις πίνομεν | οἰνάριον — Β. ἧδος, νὴ Δία, κοιλιοστρόφον. Γ. πῶς ἧδος; Α. οἷον τοῖς παροῦσι συμφέρειν ἁπαξάπασιν, ὀξ. π.* cf. Aristoph. fr. 462. *κοιλιοστροφία* Schol. Nic. Al. 596. et de adv. *πῶς* sic posito Alexid. 143, 2. Cobet. N. l.

135

πρῶτον μὲν ὥσπερ πυθαγορίζων ἐσθίει
ἔμψυχον οὐδέν, τῆς δὲ πλείστης τοὐβολοῦ
μάζης μελαγχρῆ μερίδα λαμβάνων λέπει.

Athenaeus 4, 161 a *Ἀντιφάνης ... ἐν τῷ κυρίως* (*κυρίωι* A) *Κωρύκῳ ἐπιγραφομένῳ* (cf. quae ad fr. 160 adnot.) *φησί κτλ.* v. 3 Eustathius 1863, 56 *τοῦ δὲ λέπειν ... χρῆσις μὲν καὶ ἐν τῇ Ἰλιάδι, ἔτι δὲ καὶ παρὰ τῷ εἰπόντι τὸ μάζης κτλ.* 3. *μελαγχρη* sine acc. A. — *πλείστης τοὐβολοῦ*, contrarium *μικρόν ἐστι τοὐβολοῦ* Eupol. 185. Append. prov. 1, 93 *δέκα τοῦ ὀβολοῦ· ἐπὶ τῶν μηδενὸς ἀξίων, ἐπεὶ τὰ δέκα τοῦ ὀβολοῦ πιπρασκόμενα πάνυ ἐστὶν εὐτελῆ.* cf. Hesych. et Apostol. 5, 93 f. *μελαγχρῆ*, ut Cratin. 425. Eupol. 430. *λέπει*, ut Eupol. 255. 427.

136

ἐν ὅσῳ δ' ἀκροῶμαί σου, κέλευσόν μοί τινα
φέρειν ἀπονίψασθαι. Β. δότω τις δεῦρ' ὕδωρ
καὶ σμῆμα.

Athenaeus 9, 409 c d *ἐχρῶντο δὲ εἰς τὰς χεῖρας, ἀποπλύνοντες αὐτάς, καὶ σμήματι ἀπορρύψεως* (*ἀπορύψεως* A) *χάριν, ὡς παρίστησιν Ἀντιφάνης ἐν Κωρύκῳ κτλ.* Eustath. 1401, 6 *οἷς* (*τοῖς εἰς χειρὸς νίμμα καταχεομένοις*) *πολλάκις καί τι προσεδίδοτο καταρτικὸν* (scr. *καθαρτικὸν*) *χειρῶν, κατὰ τὸ 'δότω τις δεῦρο ὕδωρ καὶ σμῆμα', ὥς φησιν Ἀντιφάνης.* 1. *μοι* add. Koppiers. Observ. 41. 2. *δεῦρο* A.

ΛΑΜΠΑΣ

Lampadem et *Lamponem* unam fuisse fabulam censent Fabricius et Schweighaeuserus, distinguit Meinekius, aut *λαμπαδηδρομίαν* aut meretricem Lampadem dici censens I 313. 400. fuit etiam Alexidis *Λαμπάς*.

137

τράπεζα φυστημινεις ἀλλὰ μὴν δαίμονος
ἀγαθοῦ μετάνιπτρον, ἐντραγεῖν, σπονδή, κρότος.

Athenaeus 11, 486 f *μετάνιπτρον· ἡ μετὰ τὸ δεῖπνον, ἐπὴν ἀπονίψωνται, διδομένη κύλιξ. Ἀντιφάνης Λαμπάδι δαίμονος κτλ.* idem 487 b *Ἀντιφάνης Λαμπάδι τράπεζα — μετάνιπτρον.* 1. sic A. prorsus futilia sunt quae Dindorfius edidit *τράπεζ' ἐφ' ἡμῖν ἐστιν, ἀλλὰ δ.* neque magis probanda quae Nauckius excogitavit (Philol. VI 416) *τράπεζα, φυστή, μαινίς, ἅλιμα, δαίμονος κτλ.* nam primum *τράπεζα* et *φυστή* cum reliquis non eiusdem sunt generis, deinde potio quae in genii honorem fiebat *post cenam* ante compotationem dabatur, simulque *mensa auferebatur* et tibicinae veniebant. cf. Athen. 2, 138 d. 15, 675 c. Nicostr. 20. Plat. Symp. 176 a. e. itaque scribo (*ἀπῄρετο*) *τράπεζ', ἐφυσᾶτ'· ἦλθε φιάλη δαίμονος κτλ.* cf. Arist. Vesp. 954. Av. 859 et Xenarch. 2.

ΛΑΜΠΩΝ

Vatem Lamponem, ab antiquae comoediae poetis exagitatum, dici posse Meinekius negat I 313, nisi forte Antiphanes 'Lamponis nomine symbolice usus sit', ut crescentem in dies hariolorum adrogantiam inluderet'.

138

κεστρεῖς ἔχων, ἀλλ' οὐ στρατιώτας, τυγχάνεις
νήστεις.

Athenaeus 7, 307 d *ὅτι δὲ εἶδος κεστρέων οἱ νήστεις ... Ἀντιφάνης Λάμπωνι κτλ.* *ἀλλ' οὐ* Mein.] *ἄλλους* A. fragmentum sic ut traditum est prorsus obscurum.

139

ὁ δεῖν' Ἰᾶπυξ, κέρασον εὐζωρέστερον.

Athenaeus 10, 423 d *Ἀντιφάνης... ἐν Λάμπωνι κτλ.* *ὁ δεῖνα ἰαπυξ* A. cf. quae adnotavimus ad Arist. Ran. 918. servus Iapyx adpellatur.

ΛΕΠΤΙΝΙΣΚΟΣ

Praeter eum Leptinem, contra quem habita est oratio Demosthenis 20, alii quoque homines tum eodem nomine fuerunt, veluti *ὁ ἐκ Κοίλης* Dem. 22, 60.

140

οἶνον Θάσιον πίνοις ἄν; Β. εἴ τις ἐγχέαι.
Α. πρὸς ἀμυγδάλας δὲ πῶς ἔχεις; Β. εἰρηνικῶς.

μαλακὰς σφόδρα, δι' ἃς μέλιτι προσπαίζειν βία.
Α. μελίπηκτα δ' εἴ σοι προσφέροι; Β. τρώγοιμι καὶ
5 *ᾠὸν δὲ καταπίνοιμ' ἄν. Α. ἄλλου δεῖ τινος;*

Athenaeus 14, 641 f *ἐδίδοτο δὲ καὶ ᾠὸν ἐν τῇ δευτέρᾳ τραπέζῃ, ὥσπερ καὶ λαγῷα καὶ κίχλαι κοινῇ μετὰ τῶν μελιπήκτων εἰσεφέρετο, ὡς Ἀντιφάνης ἐν Λεπτινίσκῳ φησὶν οὕτως κτλ.* Eustathius 1401, 52 *αἱ δεύτεραι τράπεζαι ... ἐν αἷς λαγῷα καὶ κίχλαι καὶ μελίπηκτα καὶ ᾠὰ περιεφέροντο. διὸ ἀστείως Ἀντιφάνης φησὶν ἐν ἐρωτήσει καὶ ἀποκρίσει ταῦτα· οἶνον — καταπίνοιμ' ἄν.* 2. *ἀμυγδαλας δέ πως* A. post v. 2 lacunam statuit Dindf. 3. *διας* A. *βίᾳ*] *βιαι* A. *δέδοται* Eustath. *δείαν* in compendio codicis C agnoscere sibi videbatur Schweigh. 4. *δ' εἴ*] *δεῖ* A. *προσφέροι* A] *προσφέρει* Eust. *τρώγοιμι καὶ* A] *τρώγοιμ' ἂν* C et Eust. 5. *δεῖ* Dobr. Adv. II 348] *δή*.

λαγῷα καὶ κίχλαι, quae commemorat Athenaeus, non inveniuntur in Antiphanis verbis. v. 3 graviter corruptum esse adparet, siquidem *μαλακάς* ad *ἀμυγδάλας* pertinere nullo modo potest, et interrogationem simul et responsum contineri his verbis necesso est. locutionem *πῶς ἔχεις* inlustravit Cobetus Mnem. IIII 304 conl. Plat. Reip. 1, 329 b *πῶς ἔχεις πρὸς τἀφροδίσια*; Symp. 174 b. 176 b. Menand. 313, 1 Mein. addo Theophil. 4, 3. Sosip. 51.

ΛΕΥΚΑΔΙΟΣ

Sic an *Λευκαδία* inscripta fuerit dubium est. Mein. I 323. 330.

141

ἐνταῦθ' ἀναρίστητος εὐθὺς κιθαριεῖ.

Suidas *ἀνάριστος· μᾶλλον δ' ἀναρίστητος... Ἀντιφάνης Λευκαδίῳ κτλ.* cf. Aristoph. fr. 454.

142

ἀσταφίδος, ἁλῶν, σιραίου, σιλφίου, τυροῦ, θύμου,
σησάμου, νίτρου, κυμίνου, ῥοῦ, μέλιτος, ὀριγάνου,
βοτανίων, ὄξους, ἐλαῶν, εἰς ἀβυρτάκην χλόης,
καππάριδος, ᾠῶν, ταρίχους, καρδάμων, θρίων, ὀποῦ.

Athenaeus 2, 68 a *ἀρτύματα ταῦτα καταλέγει που Ἀντιφάνης* (sine fabulae nomine) *κτλ.* Pollux 6, 66 *εἴη δ' ἂν ἐκ τῶν ἡδυσμάτων καὶ λίτρον. Ἀντιφάνης ἐν Λευκάδι (Λευκαδίῳ) σησάμου — χλόης.* 2. *νίτρου*] *λίτρου* Poll. *ῥοῦ μέλιτος* desunt in Ath. 3. *βοτανίων* Ath.] *βατανίου* Poll. *ἐλαῶν* Ath.] *ἐλαίου* Poll.

adparet in tali condimentorum indice neque *βοτάνια* neque *βατάνια* apta esse. scr. *βαλανίων*, cf. Pherecr. 186. Hermipp. 63, 20, inprimis Nicoch. 15 et de *ἀβυρτάκῃ* Theopomp. 17.

ΛΕΩΝΙΔΗΣ

143

ἀλλὰ πρὶν δεδειπνάναι
ἡμᾶς παρέσται.

Athenaeus 10, 422 e *Ἀντιφάνης ἐν Λεωνίδῃ κτλ.* cf. Hermipp. 60.

ΛΗΜΝΙΑΙ

Fortasse argumentum simile fuit *Lemniarum* Aristophanis et Nicocharis. Meinek. I 330. 455. *Lemnia* praeterea est Alexidis, *Lemniae* Diphili et lat. Sexti Turpilii. O. Ribbeck. Com. Rom. fr.[2] p. 96.

144

εἶτ' ἔστιν ἢ γένοιτ' ἂν ἡδίων τέχνη
ἢ πρόσοδος ἄλλη τοῦ κολακεύειν εὐφυῶς;
ὁ ζωγράφος πονεῖ τι καὶ πικραίνεται,
ὁ γεωργὸς ἐν ὅσοις ἐστὶ κινδύνοις πάλιν.
πρόσεστι πᾶσιν ἐπιμέλεια καὶ πόνος.
ἡμῖν δὲ μετὰ γέλωτος ὁ βίος καὶ τρυφῆς·
οὐ γὰρ τὸ μέγιστον ἔργον ἐστὶ παιδιά,
ἁδρὸν γελάσαι, σκῶψαί τιν', ἐκπιεῖν πολύν,
οὐχ ἡδύ; ἐμοὶ μὲν μετὰ τὸ πλουτεῖν δεύτερον.

Athenaeus 6, 258 d *Ἀντιφάνης ἐν Λημνίαις τέχνην τινὰ εἶναι ὑποτίθεται τὴν κολακείαν ἐν οἷς λέγει κτλ.* 7. *οὐ*] *οὐ* A. 8. *αδρὸν* sine spir. A. *ἐκπιεῖν*] *ἐμπιεῖν* Herwerd. Obs. crit. 49. post v. 4, quoniam miles et nauta vix potuerint omitti, lacunam statuit Iacobs. Addit. 157.

145

παρετέθη τρίπους
πλακοῦντα χρηστόν, ὦ πολυτίμητοι θεοί,
ἔχων ἐν ἀργυρῷ τε τρυβλίῳ μέλι.

Athenaeus 6, 230 de *Ἀντιφάνης ἐν Λημνίαις κτλ.* *χρηστόν*, ut 128.

ΛΥΔΟΣ

146

Κολχὶς ἄνθρωπος πάροινος

Athenaeus 10, 445 c *ὁ δὲ πάροινος παρα τίνι κεῖται;... Ἀντιφάνης ἐν Λυδῷ εἴρηκε κτλ.* serva significatur ex Colchide oriunda. *ἡ ἄνθρωπος* frequentissime apud oratores.

ΛΥΚΩΝ

'Fortasse a Lycone Scarphensi, celeberrimo illis temporibus histrione, nomen inditum est, quem aliquando in comoedia quam actitabat versum, quo munus ab Alexandro magno peteret, inseruisse tradit Plutarchus Mor. 334 f. cf. Athen. 12, 538 f. in eundem Phalaeci exstat epigramma Anal. Brunck. I 421.' Mein. I 327.

147

τά τ' ἄλλα δεινούς φασι τοὺς Αἰγυπτίους
εἶναι τὸ νομίσαι τ' ἰσόθεον τὴν ἔγχελυν·
πολὺ τῶν θεῶν γάρ ἐστι τιμιωτέρα.
τῶν μὲν γὰρ εὐξαμένοισιν ἔσθ' ἡμῖν τυχεῖν,
5 *τούτων δὲ δραχμὰς τοὐλάχιστον δώδεκα*
ἢ πλέον ἀναλώσασιν ὀσφρέσθαι μόνον.
οὕτως ἐσθ' ἅγιον παντελῶς τὸ θηρίον.

Athenaeus 7, 299 e *Ἀντιφάνης ἐν Λύκωνι κωμῳδῶν τοὺς Αἰγυπτίους φησί κτλ.* Eustathius 1240, 29 *Ἀντιφάνης τά τε ἄλλα δεινούς φησι τοὺς Αἰγυπτίους εἶναι καὶ νομίσαι ἰσόθεον τὴν ἔγχελυν, ὃς καὶ εἰπὼν πολὺ τῶν θεῶν αὐτὴν τιμιωτέραν εἶναι...ἐπάγει οὕτως ἐσθ' — τὸ θηρίον.* 1. *τά τ' ἄλλα* A] *τά τε ἄλλα* Eustath. 2. *τε* A. 5. *δώδεκα*] *ιβ'* A. 6. *ὀσφρέσθαι* Elmsl. Med. 147 not. extr.] *ὀσφρᾶσθαι* A. 7. *οὕτω 'στὶν* Porson. at numquam sic comici. *οὕτως ἅγιόν γε* Koppiers. Obs. 43. *οὕτως ἅγιόν τι* Dindorf., Antiphanis tamen haec non esse suspicatus. — 3. *τιμιωτέρα carior* et *honoratior*. cf. Arist. Ach. 759. v. 4 utique scribendum *θιγεῖν*, siquidem qui deos precabantur simulacra eorum tangere solebant: contra anguillas *tangere* non licet, sed cum plurimum *olfacere*.

ΜΑΛΘΑΚΗ

Cf. Meinek. I 328. 9. Theophil. 11. Lucian. Rhet. praec. 12 *Αὐτοθαῖδα τὴν κωμικὴν ἢ Μαλθάκην ἢ Γλυκέραν τινά.*

148

ἔρχεται,
μετέρχετ' αὖ, προσέρχετ' αὖ, μετέρχεται,
ἥκει, πάρεστι, ῥύπτεται, προσέρχεται,
σμῆται, κτενίζετ', ἐκβέβηκ', ἐντρίβεται,
5 *λοῦται, σκοπεῖται, στέλλεται, μυρίζεται,*
κοσμεῖτ', ἀλείφετ'· ἂν δ' ἔχῃ τι ἀπάγχεται.

Clemens Alex. Paedag. 3, 2, 7 *τοῦτο αὐτὸ γάρ τοι καὶ Ἀντιφάνης ὁ κωμικὸς ἐν Μαλθάκῃ τὸ ἑταιρικὸν τῶν γυναικῶν ἐπι-*

σκώπτει, τὰ κοινὰ πάσαις ῥήματα εἰς τὴν κατατριβὴν ἐξηυρημένα λέγων κτλ. 2. μετέρχετ' αὖ, προσέρχετ' αὖ Pierson. Moer. 337] μετέρχεται αὕτη, προσέρχεται, οὐ. Herwerd. Obs. crit. 49. 50 μετέρχεται, προσέρχετ', αὖ μετέρχεται. v. 3 ante 2 ponit G. Herm. Mein. V 77. v. 3 Grotius, v. 2 Meinekius eicit. 4. σμῆται Klotz] σμήχεται. ἐκβέβηκε BFNR. ἐκβέβληκε V. ἐμβέβηκε MP. ἐκβέβηκ', ἐντρίβεται Mein. ante Cobet. Mnem. VI 182] ἐκβέβηκε, τρίβεται. 5. λοῦται Pierson.] λούεται. praeterea libri plene κτενίζεται, κοσμεῖται, ἀλείφεται. 6. ἔχῃ Sylb.] ἔχοι. ἂν τύχῃ δ' ἀπάγχεται Mein. ed. mai. an ἀλείφεθ'· ὃς ἂν ἔχῃ δ', ἀπάγχεται?

3. προσέρχεται corruptum videtur. ῥύπτεται, ut Arist. Ach. 17. Lys. 377 εἰ ῥύμμα τυγχάνεις ἔχων, λουτρόν γ' ἐγὼ παρέξω. 4. pro ἐκβέβηκ' scribendum est ἐκδέδυκ', *vestes exuit.* Arist. Lys. 920. 925. Menand. 190 Mein. 5. 'σκοπεῖται sc. in speculo' Mein.; mihi dubia res est. — sunt excusationes servulae dominam aliis negotiis occupatam esse viro vel amasio fingentis. describitur autem mulier Myrrhines in Lysistrata similis.

ΜΕΛΑΝΙΩΝ

Distichon elegiacum in comoedia locum non habere existimabat Valckenar. Diatr. 279. at ne tragoedia quidem alienum putavit Euripides Andr. 103—116. Mein. I 297. *Μελανίων*, non *Μειλανίων* (ut A Athen.) scripsi propter Arist. Lys. 785. 796. 807.

149

τοῦτον ἐγὼ κρίνω μετανιπτρίδα τῆς Ὑγιείας
πίνειν ζωροτέρῳ χρώμενον οἰνοχόῳ.

Athenaeus 10, 423 d Ἀντιφάνης Μελανίωνι κτλ.

ΜΕΛΕΑΓΡΟΣ

Fuit et tragoedia *Meleager* Antiphontis (Nauck. 615) et comoedia Antiphanis. Meinek. I 314. 5. 6.

150

ἀσκοπυτίνην τινὰ
δίψους ἀρωγόν

Pollux 10, 73 ἀλλὰ καὶ ἀσκοπυτίνη· καὶ γὰρ τοῦτ' ἄν τις εὕροι ἐν Ἀντιφάνους Μελεάγρῳ κτλ. ut ἀσκοφύλακος, ἀσκοπήρα. cf. Aristoph. fr. 174. 577. Diphil. 55, 2. Menand. 259 Mein. 'erant duo genera πυτινῶν, alterae viminibus erant obductae, alterae corio' (ἀσκοπυτῖναι). Fritzsch. Q. Arist. 295.

ΜΕΛΙΤΤΑ

Meretrix videtur esse quae postea *Mania* dicebatur. Macho Athen. 13, 578 cd. Meinek. I 329.

151

ἐπὶ χρήμασιν δ' ὧν ἔμπορος φρονεῖ μέγα,
ὧν ἐστι πάντων ἐνίοτ' ἄνεμος κύριος.

Stobaeus Floril. 59, 17 *Ἀντιφάνους Μελίττης* A. 1. *χρήμασιν δ' ὧν* Dobr. (Pors. Arist. 108)] *χρήμασ' ἰνδῶν* Voss. Arsen. B. Gesn. marg. *χρήμασ' ἴδων* A. *φρονεῖ*] *φρονεῖς* Dobr. — *πάντων χρημάτων*, i. e. quae mercatoris sunt.

Praeterea cf. fr. 302.

ΜΕΤΟΙΚΟΣ

152

προσέλαβον ἐλθὼν τουτονὶ
τραπεζοποιόν, ὃς πλυνεῖ σκεύη, λύχνους
ἑτοιμάσει, σπονδὰς ποιήσει, τἄλλ' ὅσα
τούτῳ προσήκει.

Athenaeus 4, 170 d *τῶν δὲ μαγείρων διάφοροί τινες ἦσαν οἱ καλούμενοι τραπεζοποιοί. εἰς ὃ δὲ οὗτοι παρελαμβάνοντο σαφῶς παρίστησιν Ἀντιφάνης ἐν Μετοίκῳ κτλ.* 2. *λύχνους*] *λύχνους τ'* A. *σπονδὰς ποιεῖν*, quod est *τοῦ τραπεζοποιοῦ*, prorsus diversum a *σπονδὰς ποιεῖσθαι*, quod est convivarum. cf. Athenion. 40. 1. Menand. 266 Mein.

ΜΗΔΕΙΑ

Antiphonti tragico tribuere volebat Ruhnkenius, non recte: sunt enim *Medeae* etiam Strattidis, Eubuli, Canthari. Meinek. I 314. 6.

153

ἦν χιτὼν ἀμόργινος,
ἕτερος δὲ περιηγητός ἐστιν οὑτοσί.

Pollux 7, 57 *Ἀντιφάνης ἐν Μηδείᾳ κτλ. ἦν ἄρα καὶ ὁ περιηγητὸς εἶδος χιτῶνος. ἦν ἐν μηδείᾳ χ.* A. *ἦν* 'en tibi tunicam am.' Mein. *οὑτοσί· ἦν ἄρα* Bekker.] *οὑτοσὶν ἄρα* A. *οὑτοσὶ δ' ἄρα* ceteri. Stephan. Byz. *Ἀμοργός· νῆσος μία τῶν Κυκλάδων . . . τὸ δ' ἀμόργινος χιτὼν χρώματος ἴδιον.* Photius et Hesych. *περιήγητος· ὁ περιπόρφυρος χιτών* (*περιήτητος* cod. Phot.). cf. Boeckh. C. I. I 248a.

ΜΗΤΡΑΓΥΡΤΗΣ

Μηναγύρτης Bekker. Anecd. 88, 18, nullo significationis discrimine. cf. 159, 8. Ruhnk. Tim. 10. 11. Lobeck. Aglaoph. 645 et Menandri *Μηναγύρτης*. Meinek. I 338. — *Ἀγύρτης* fuit Philemonis, *Ariolus* Cn. Naevii. O. Ribbeck. Com. Rom. fr.[2] p. 9.

154

τήν τε παῖδ' ἀλείμματα
παρὰ τῆς θεοῦ λαβοῦσαν εἶτα τοὺς πόδας
ἐκέλευ' ἀλείφειν πρῶτον, εἶτα τὰ γόνατα.
ὡς θᾶττον ἡ παῖς δ' ἥψατ' αὐτοῦ τῶν ποδῶν
ἔτριψέ τ', ἀνεπήδησεν.

Athenaeus 12, 553c *Ἀντιφάνης ἐν Μητραγύρτῃ φησί κτλ.* 1. *παῖδα* A. *ἄλειμμά τι* Naber. Mnem. VIII 50. 4. *δ' ἥψατ'* Koppiers. Obs. 38] *διήψατο* A.

μητραγύρται 'dei *deaeve* alicuius effigiem vel humeris portantes vel iumento inponentes per oppida et vicos vagabantur et verbo deis, re ipsa sibi stipem quaerebant'. Ruhnken. Tim. 10. eidem aegrotis se mederi posse simulabant, et talis prodigiosa curatio, claudi puto, hic narratur. agebant autem prorsus ut hodie quoque in Italia pharmacopolae circumforanei (*ciarlatanos* dicunt), quorum artificia in foro Neapolitano ipse plus quam semel vidi. scilicet talis *μηναγύρτης* nescio quem hominem conduxerat, qui claudum se esse simularet. iam cum in forum plebes confluxisset, claudum produxit et puellulam aliquam, filiolam suam opinor, istis artibus iam adsuefactam, ex manibus deae iubet unguentum ferre eoque claudi pedes perungere. quo facto ille sanatus exsilit. — unum mutandum est: v. 5 scrib. *ἐνέτριψέ τ'*: nam aliud est *τοὺς πόδας τρίβειν*, *fricare*, aliud *ἐντρίβειν φάρμακον τῷ ποδί*, *perungere* pedem.

155

δεδιῳκημένα

Ἀντιφάνης Μηναγύρτῃ. Bekker. Anecd. 88, 18.

ΜΗΤΡΟΦΩΝ

156

διδοῦσιν

οὐ διδόασιν· Ἀριστοφάνης Μητροφῶντι. Bekker. Anecd. 88, 24. *Ἀντιφάνης* Meinek. I 328. cf. Aristoph. fr. 936. *Ἀριστοφῶν* Bergkius apud Mein. II 899, cuius memoriam apud grammaticos non fere inveniri monuit Mein. ed. mai.

ΜΙΔΩΝ

Μίδων ἢ ἱπποτρόφος titulus est dialogi Platoni adscripti Diog. L. 3, 62. eodem nomine fabulam docuit Alexis. Meinek. I 401.

157

ἀργυροθήκην

Ἀντιφάνης ἐν Μίδωνι εἴρηκεν. Pollux 10, 152.

ΜΙΝΩΣ

Cretae rex significari videtur. fuit fortasse etiam Alexidis *Minos.*

158

τρώγοντες μολόχης ῥίζαν

Athenaeus 2, 58 d *μαλάχαι...ἐν πολλοῖς ἀντιγράφοις εὗρον τοῦ Ἀντιφάνους Μίνωος διὰ τοῦ ο γεγραμμένον.* cf. Eustath. 1406, 57 (*τρώγοντας*). dactylici vel quod probabilius videtur anapaestici versus particula (*καὶ τρ. κτλ.*).

ΜΙΣΟΠΟΝΗΡΟΣ

159

εἶτ' οὐ σοφοὶ δῆτ' εἰσὶν οἱ Σκύθαι σφόδρα,
οἳ γενομένοισιν εὐθέως τοῖς παιδίοις
διδόασιν ἵππων καὶ βοῶν πίνειν γάλα;
κοὐ μὰ Δία τίτθας εἰσάγουσι βασκάνους,
καὶ παιδαγωγοὺς αὖθις, ὧν μεῖζον (κακὸν
οὐκ ἔστιν οὐδέν, μετά) γε μαίας νὴ Δία·
αὗται δ' ὑπερβάλλουσι, μετά γε νὴ Δία
τοὺς μητραγυρτοῦντάς γε· πολὺ γὰρ αὖ γένος
μιαρώτατον τοῦτ' ἔστιν, εἰ μὴ νὴ Δία
τοὺς ἰχθυοπώλας βούλεταί τις λέγειν,
. . . μετά γε τοὺς τραπεζίτας· ἔθνος
τούτου γὰρ οὐδέν ἐστιν ἐξωλέστερον.

Athenaeus 6, 226 d *ἐμφανίζει δ' αὐτῶν (τῶν ἰχθυοπωλῶν) καὶ τὸ σκαιόν, ἔτι δὲ μισάνθρωπον Ἀντιφάνης ἐν Μισοπονήρῳ πρὸς τοὺς ἐν τῷ βίῳ κακίστους τὴν σύγκρισιν αὐτῶν ποιούμενος διὰ τούτων κτλ.* 3. *διδόασιν* Grotius Excerpt. 615] *διαδιδόασιν* A. 4. *κοὐ* Hanov. Exerc. crit. 149] *οὐχὶ* A. 5. 6 lacunam explevit Grotius. quamquam multa eaque probabiliora possunt excogitari. cf. Cobet. N. l. 130. 8. *μητραγυρτοῦντάς* Schweigh.] *μητραρπατωντας γυργοῦντάς* A, de quo corruptelarum genere bene disseruit

G. Kaibelius in Ind. lect. Rost. aest. 1883 p. 4 sq. 10. *βούλεταί τις* B] *τις βούλεται* A. 11. lacunam indicavit Dindorf. *μάλιστα* vel *ὀρθῶς γε* supplet Dobr. Adv. II 310. *τούτους δὲ* H. Iacobi V 77. nihil nisi *εἰ μὴ νὴ Δία τοὺς ἰχθυοπώλας...μετά γε τοὺς τραπεζίτας* genuinum putat Cobetus, verba *τις βούλεται λέγειν* 'Graeculi hiulcam sententiam utcumque sarcientis additamentum' censens. 'deinde editoris (Meinekii) temeritate *γέ* additum' (*βούλεταί γέ τις*).

cum v. 4 cf. Arist. Eq. 716, et de accentu nominis *τίτθη* Herodian. I 311, 30. cum v. 12 Arist. Eccl. 1053. 1070. Plut. 443. Diphil. 87 comparavit Nauckius Trag. gr. adesp. 345 *ὁ δ' αὖτ' ἐκείνου φθόγγος ἐξωλέστερος*. addo Anaxil. 22, 31.

ΜΝΗΜΑΤΑ

160

τῶν Πυθαγοριστῶν δ' ἔτυχον ἄθλιοί τινες
ἐν τῇ χαράδρᾳ τρώγοντες ἅλιμα καὶ κακὰ
τοιαῦτα συλλέγοντες ἐν τῷ κωρύκῳ.

Athenaeus 4, 161a *τί οὐ τοὺς Πυθαγορικοὺς ἐκείνους ζηλοῖς, περὶ ὧν φησιν Ἀντιφάνης ἐν Μνήμασι τάδε κτλ.* 1. *Πυθαγοριστῶν* Elmsl. Cens. Edinb. III 191] *Πυθαγορικῶν*. *δ' ἔτυχον* Porson.] *δὲ τυχὸν* A. 2. *αλιμα* (sic) A. *ἄλιμον* Nauck. Philol. VI 417. 3. *ἐν τῷ κωρύκῳ* add. Koppiers. Obs. 41: sequuntur enim apud Athenaeum haec *κἀν τῷ κυρίως Κωρύκῳ δ' ἐπιγραφομένῳ φησί* (fr. 135).

Πυθαγόρειοι et *Πυθαγορικοί* plerumque ipsius Pythagorae amici et discipuli dicuntur, *Πυθαγοριστάι* inepti victus eius morumque imitatores. itaque *Πυθαγοριστάι* fere comici, Alexis bis *Πυθαγόρειοι*. *Πυθαγοριστής* comoedia fuit Aristophontis. — *ἅλιμον* Theophrastus semper singulari numero; Wimmerus *ἅλιμον*. Hist. pl. 4, 16, 5 *χαλεπὸς ὁ κύτισος· ἀπόλλυσι γὰρ πάνθ' ὡς εἰπεῖν· ἰσχυρότερον δὲ τούτου τὸ ἅλιμον· ἀπόλλυσι γὰρ τὸν κύτισον.*

ΜΟΙΧΟΙ

161

οὐκ ἔστιν οὐδὲν θηρίον τῶν ἰχθύων
ἀτυχέστερον· τῷ μὴ γὰρ ἀποχρῆν ἀποθανεῖν
αὐτοῖς ἁλοῦσιν, εἶτα κατεδηδεσμένοις
εὐθὺς ταφῆναι, παραδοθέντες ἄθλιοι
5 *τοῖς ἰχθυοπώλαις τοῖς κακῶς ἀπολουμένοις*
σήπουθ', ἕωλοι κείμενοι δύ' ἡμέρας
ἢ τρεῖς· μόλις δ' ἐάν ποτ' ὠνητὴν τυφλὸν
λάβωσιν, ἔδοσαν τῶν νεκρῶν ἀναίρεσιν

τούτῳ· κομίσας δ' ἐξέβαλεν . . οἴκαδε
10 *τὴν πεῖραν ἐν τῇ ῥινὶ τῆς ὀσμῆς λαβών.*

Athenaeus 6, 225 de *ὅτι δὲ καὶ νεκροὺς πωλοῦσι τοὺς ἰχθῦς καὶ σεσηπότας, ἐπισημαίνεται ὁ Ἀντιφάνης ἐν Μοιχοῖς διὰ τούτων κτλ.* v. 2. 3 Eustath. 1179, 36 *ἀποχρῆν εὕρηται ἐν τοῖς τοῦ Ἀθηναίου, οἷον τῷ γὰρ μὴ — ἁλοῦσι.* *τῷ μὴ γὰρ* Erfurdt. Obs. 455] *τὸ γὰρ μὴ* A. 7. *ἐάν* Porson. Adv. 50] *ἄν* A. 8. *ἔδοσαν* Herwerd. Mnem. nov. VI 63] *ἔδωκαν* A. 10. *ὀσμῆς* Mein.] *ὀδμῆς.*

2. '*τῷ μὴ ἀποχρῆν* i. q. *διὰ τὸ μὴ ἀποχρῆν*'. Mein. 4. Gorgias 'vultures *ἐμψύχους τάφους*' dicebat [Longin.] De subl. 3, 2. Mein. 9. *οἴκαδε* cum *κομίσας* coniungendum est. excidit autem, ut v. 4 et 8 monstrant, nihil aliud quam *ἀτάφους*.

ΜΥΛΩΝ

I. e. *pistrinum*. 'compares *Ergastulum* Pomponii.' Meinek. I 325. O. Ribbeck. Com. Rom. fr.[2] 232. scribendum autem non *μύλων*, quod perperam ipse quoque in volumine primo aliquotiens reliqui, sed *μυλῶν*.

162

βυβλιδίου κόλλημα

Ἀντιφάνης ἐν τῷ Μυλῶνι εἴρηκε. Pollux 7, 211. *βυβλ.* K.] *βιβλ.*

ΜΥΣΤΙΣ

Aut nomen proprium aut a *μύστης* derivatum est. cf. 163, 4.

163

σὺ δ' ἀλλὰ πῖθι. Β. τοῦτο μέν σοι πείσομαι·
καὶ γὰρ ἐπαγωγόν, ὦ θεοί, τὸ σχῆμά πως
τῆς κύλικός ἐστιν ἄξιόν τε τοῦ κλέους
τοῦ τῆς ἑορτῆς. οὗ μὲν ἦμεν ἄρτι γὰρ
5 *ἐξ ὀξυβαφίων κεραμεῶν ἐπίνομεν·*
τούτῳ δέ, τέκνον, πολλὰ κἀγάθ' οἱ θεοὶ
τῷ δημιουργῷ δοῖεν, ὃς ἐποίησέ σε,
τῆς συμμετρίας καὶ τῆς ἀφελείας εἵνεκα.

Athenaeus 10, 446 bc *Ἀντιφάνης ἐν Μύστιδι κτλ.* idem 11, 494 cd *ὅτι δ' ἐστὶ τὸ ὀξύβαφον εἶδος κύλικος μικρᾶς κεραμεᾶς, σαφῶς παρίστησιν Ἀντιφάνης ἐν Μύστιδι διὰ τούτων· γραῦς ἐστι φίλοινος, ἐπαινοῦσα κύλικα μεγάλην καὶ ἐξευτελίζουσα τὸ ὀξύβαφον (τὴν κύλικα* A) *ὡς βραχύ. εἰπόντος οὖν τινος πρὸς αὐτήν 'σὺ δ' ἀλλὰ πῖθι' λέγει τοῦτο μέν κτλ.* v. 5 adfertur a Polluce 10, 67.

1. δὲ A. perperam Epit. et Eustath. 1253, 58 τὸ πίσομαι παρὰ Ἀντιφάνει ἀντὶ τοῦ πίω. ac πίσομαι pro πείσομαι 494 etiam A. 4. οὔ μὲν ἦμεν Dindf.] ουμενημεν A 446. οὔ μεν οὐ μὲν A 494. οὔ μενοῦμεν Dobr. Adv. II 327. οὔ 'τελοῦμεν Lob. Agl. 628. ἄρτι] ἀρτίως A 494. 5. κεραμεῶν] κεραμέων A utrubique. 6. πολλὰ κἀγαθὰ A 494] πόλλ' ἀγαθὰ A 446. 7. ἐποίησέ σε] ἐποίησε A 494. 8. ἀφελείας A 446] ἀσφαλείας A 494. cf. Cobet. N. l. 136. εἵνεκα K.] οὕνεκα.

in v. 6 τέκνον producta syllaba priore, tragicorum more. 8. neque ἀσφαλείας neque ἀφελείας aptum videtur, siquidem illa ὀξυβάφια κεραμεᾶ certe multo et ἀσφαλέστερα et ἀφελέστερα erant. scr. τῆς τ' ὠφελείας εἵνεκα. Arist. Thesm. 183.

164

ταῖς εὐτελείαις οἱ θεοὶ χαίρουσι γάρ·
τεκμήριον δ'· ὅταν γὰρ ἑκατόμβας τινὲς
θύωσιν, ἐπὶ τούτοις ἅπασιν ὕστατος
. . . πάντων καὶ λιβανωτὸς ἐπετέθη,
ὡς τἄλλα μὲν τὰ πολλὰ παραναλούμενα
δαπάνην ματαίαν οὖσαν αὐτῶν εἵνεκα,
τὸ δὲ μικρὸν αὐτὸ τοῦτ' ἀρεστὸν τοῖς θεοῖς.

Porphyrius De abstin. carn. 2, 17 ὅθεν καὶ τῶν ποιητῶν τισι διὰ τὸ γνώριμον ἀποφαίνεσθαι ἐδόκει τὰ τοιαῦτα, ὡς Ἀντιφάνει ἐν Μύστιδι λέγεται κτλ. 3. 4. ὕστατον | πόπανον ἁπάντων vel ὕστ. πάντων πόπανόν τε Meinek ὕστατος ἁπαξαπάντων et v. 7 ἀρέσκον Cobet. N. l. 131. 419. 6. εἵνεκα K.] οὕνεκα.

v. 3. 4 scribendum videtur ἐπὶ τοῖς βουσὶ πᾶσιν ὕστατος | πέλανος ὑπ' αὐτῶν κτλ. 6. αὐτῶν, i. e. τῶν θυόντων εἵνεκα.

165

βούλει καὶ σύ, φιλτάτη, πιεῖν;
Β. καλῶς ἔχει μοι. Α. τοιγαροῦν φέρε . . .
μέχρι γὰρ τριῶν δεῖν φασι τιμᾶν τοὺς θεούς.

Athenaeus 10, 441c οἷαι δ' εἰσὶ παρὰ τοῖς Ἕλλησι μεθύουσαι αἱ γυναῖκες παραδίδωσιν Ἀντιφάνης . . . ἐν Μύστιδι (γυναῖκες δέ εἰσιν αἱ διαλεγόμεναι) κτλ. 2. prorsus sic A. in fine φέρ' ἐγὼ πίω G. Herm. ἐμοὶ φέρε Cobet. N. l. 132. 3. δεῖν add. Dindf.

de καλῶς ἔχει μοι, blande recusandi formula, cf. Arist. Ran. 508. duae mulieres conloquuntur, quarum altera alteri potionem offert, sed cum illa recuset, ipsa bibit.

ΝΕΑΝΙΣΚΟΙ

166

ἐγὼ τέως μὲν ᾠόμην τὰς Γοργόνας
εἶναί τι λογοποίημα, πρὸς ἀγορὰν δ' ὅταν
ἔλθω, πεπίστευκ'· ἐμβλέπων γὰρ αὐτόθι
τοῖς ἰχθυοπώλαις, λίθινος εὐθὺς γίνομαι,
5 ὥστ' ἐξ ἀνάγκης ἔστ' ἀποστραφέντι μοι
λαλεῖν πρὸς αὐτούς· ἂν ἴδω γὰρ ἡλίκον
ἰχθὺν ὅσου τιμῶσι, πήγνυμαι σαφῶς.

Athenaeus 6, 224 cd Ἀντιφάνης ἐν Νεανίσκοις φησίν κτλ. 1. ᾠόμην Grotius Excerpt. 619] ᾤμην A. 3. ἐμβλέπων γὰρ αὐτόθι| τοῖς Porson. Toup. Emend. IIII 501] εὐθὺς ἐμβλέπων γὰρ αὐτοῖς A. 6. ἂν Dindf.] ἐὰν A. ἡλίκον, i. e. *quam exiguum*.

167

ὁ πλοῦτός ἐστι παρακάλυμμα τῶν κακῶν,
ὦ μῆτερ, ἡ πενία δὲ περιφανές τε καὶ
ταπεινόν.

Stobaeus Floril. 97, 8 Ἀντιφάνους ἐκ Νεανίσκων A. 2. δὲ add. Grot. τε καὶ ταπεινόν] καὶ σαπρόν B. — 1. τῶν κακῶν, i. e. *miseriarum* integumentum.

ΝΕΟΤΤΙΣ

Scriptam esse circ. Ol. 109, 2 ex fr. 169 conlegit Meinekius I 329 conl. Clinton. Fast. Hellen. 153 Kr. eodem fere tempore actae sunt Anaxilae *Εὐανδρία*, Alexidis *Ἀδελφοί* et *Στρατιώτης*, fortasse etiam Timoclis *Ἥρωες*. *Νεοττίς* meretricis nomen videtur esse. cf. Pherecr. *Corianno* et Eubuli *Νεοττίς*.

168

παῖς ὢν μετ' ἀδελφῆς εἰς Ἀθήνας ἐνθάδε
ἀφικόμην ἀχθεὶς ὑπό τινος ἐμπόρου,
Σύρος τὸ γένος ὤν· περιτυχὼν δ' ἡμῖν ὁδὶ
κηρυττομένοις ὀβολοστάτης ὢν ἐπρίατο,
5 ἄνθρωπος ἀνυπέρβλητος εἰς πονηρίαν,
τοιοῦτος οἷος μηδὲν εἰς τὴν οἰκίαν
μηδ' ὢν ὁ Πυθαγόρας ἐκεῖνος ἤσθιεν,
ὁ τρισμακαρίτης, εἰσφέρειν ἔξω θύμου.

Athenaeus 3, 108 e τὰ ἐκ Νεοττίδος (νεοτίδος A) Ἀντιφάνους τάδε κτλ. 4. ἐπρίατο] ἐπριᾶτο A. 7. ἤσθιεν] εἴσθιεν A.

Harpocrat. 134, 17 et Photius *ὀβολοστάτας δ' ἔλεγον τοὺς δανειστάς, ὡς ... πολλάκις ἐν τῇ κωμῳδίᾳ* (*ἡ κωμῳδία* Phot., cf. Arist. Nub. 1155). 5. *πονηρία* est avaritia et quae ex ea oritur inopia atque miseria victus.

169

ὁ δεσπότης δὲ πάντα τὰ παρὰ τοῦ πατρὸς
ἀπέλαβεν ὥσπερ ἔλαβεν. Β. ἠγάπησεν ἂν
τὸ ῥῆμα τοῦτο παραλαβὼν Δημοσθένης.

Athenaeus 6, 223 de *ἀποδίδομέν σοι τὰ .. λείψανα, καὶ οὐ δίδομεν, ὡς ὁ Κοθωκίδης φησὶ ῥήτωρ* (Aeschin. 3, 83) *Δημοσθένην χλευάζων, ὃς Φιλίππου Ἀθηναίοις Ἁλόννησον διδόντος συνεβούλευε μὴ λαμβάνειν εἰ δίδωσιν ἀλλὰ μὴ ἀποδίδωσιν, ὅπερ Ἀντιφάνης ἐν Νεοττίδι παιδιὰν θέμενος ἐρεσχηλεῖ τόνδε τὸν τρόπον κτλ.* v. 2. 3 Plutarchus Demosth. 9 *τῶν δὲ κωμικῶν ὁ μέν τις ... ὁ δὲ παρασκώπτων ὡς χρώμενον τῷ ἀντιθέτῳ, φησὶν οὕτως· ἀπέλαβεν κτλ.* 2. *ὥσπερ*] *ὅσαπερ* Dobr. Arist. Nub. 1382 et Advers. II 309. 3. *ἠγάπησεν ἂν*] *ἠγάπησε γὰρ* Plut. *ἠγάπησέ γ' ἂν* Dobr.

Aeschin. 3, 83 *Ἁλόννησον ἐδίδου* (*Φίλιππος*)· *ὁ δ' ἀπηγόρευε μὴ λαμβάνειν, εἰ δίδωσιν ἀλλὰ μὴ ἀποδίδωσι, περὶ συλλαβῶν διαφερόμενος.* Argum. or. Hal.: *Ἁλόννησος ἦν μὲν τῶν Ἀθηναίων ἀρχαῖον κτῆμα, κατὰ δὲ τοὺς Φιλίππου καιροὺς ὑπὸ λῃστῶν κατείχετο, οὓς ἐκβαλὼν ὁ Φίλιππος ἀπαιτοῦσι μὲν τοῖς Ἀθηναίοις τὴν νῆσον οὐκ ἀποδίδωσιν* (*ἑαυτοῦ γὰρ εἶναί φησιν*), *αἰτοῦσι δ' ὑπισχνεῖται δώσειν.* Philipp. Epist. 14 *οἱ ῥήτορες λαμβάνειν μὲν οὐκ εἴων, ἀπολαβεῖν δὲ συνεβούλευον.* [Demosth.] 7, 5 *ἕξετε τὴν νῆσον, ἄν τε λάβητε, ἄν τ' ἀπολάβητε.* cf. Anaxil. 9. Alexid. 7. 209. Timocl. 18, 4. — adfirmat servus erum suum hereditatem a patre relictam non ut donum a tutoribus vel nescio quo alio, sed ut debitum accepisse. itaque scribendum *ἀπέλαβεν, οὐ παρέλαβεν.*

170

Athenaeus 13, 586a *μνημονεύει δὲ* (*Σινώπης*) *Ἀντιφάνης ... ἐν Νεοττίδι.* cf. 22. 26, 12. 41.

ΟΒΡΙΜΟΣ

Nomen proprium videtur esse Meinekio I 327.

171

ἂν κελεύῃ με σταθμοῦχος — Β. ὁ σταθμοῦχος δ' ἐστὶ τίς;
ἀποπνίξεις δέ με καινὴν πρός με διάλεκτον λαλῶν.
Α. εἰ 'πιτάττοι μοι στέγαρχος —

Pollux 10, 21 *εἴρηται τοίνυν ἐν Αἰσχύλου Σισύφῳ 'σὺ δ' ὁ σταθμοῦχος εὖ κατιλλώψας ἄθρει.' Ἀντιφάνης δὲ ἐν Ὀβρίμῳ φησίν κτλ.* 1. *ὁ* Bentl.] *ἢ*. fort. *ἂν κελεύῃ με σταθμοῦχός τις* — *B. σταθμ. κτλ.* 2. *δέ*] *γάρ* ABC. *ἀλλ' ἀποπνίξεις* quod coniecit Bekkerus metro adversatur. *νὴ Δί' ἀποπνίξεις με* G. Hermann. 3. *εἰ 'πιτάττοι μοι στέγαρχος* Bentl.] *ητε τὰκτοιμιστεγαρχον* C. *εἴ τι τάττοι μοι στ.* Mein. ed. mai. propius ad id quod codices praebent accedit *ἢ 'πιτάττῃ μοι στέγαρχος.*

Hesych. *σταθμοῦχος· ὁ τῆς οἰκίας κύριος· καὶ ξενοδόχος.* Aesch. fr. 222 N. 'binae sunt personae, quarum prior novo vocabulo utitur *σταθμούχῳ* pro *οἰκοδεσπότῃ*, quod altera se negat intellegere. prior vero ineptire pergit et quasi *σαφέστερόν τι* aliud verbnm adhibet aeque ignotum' *στέγαρχος*. Bentl. Epist. Hemsterh. 52.

ΟΙΝΟΜΑΟΣ Η ΠΕΛΟΨ

Hippodamiae fabula comoediae argumentum videtur fuisse.

172

τί δ' ἂν Ἕλληνες μικροτράπεζοι
φυλλοτρῶγες δράσειαν; ὅπου
τέτταρα λήψει κρέα μίκρ' ὀβολοῦ.
παρὰ δ' ἡμετέροις προγόνοισιν ὅλους
5 *ὀπτῶσιν βοῦς, ἐλάφους, ἄρνας·*
τὸ τελευταῖον δ' ὁ μάγειρος ὅλον
τέρας ὀπτήσας μεγάλῳ βασιλεῖ
θερμὴν παρέθηκε κάμηλον.

Athenaeus 4, 130 e *Ἀντιφάνης ὁ κωμῳδιοποιὸς ἐν Οἰνομάῳ ἢ Πέλοπι διαπαίζων ἔφη κτλ.* Eustathius 245, 24 *διὸ σκώπτων Ἀντιφάνης ἔφη· τί δ' ἂν Ἕλληνες μακροτράπεζοι φιλοτρῶγες δράσειαν;* 3. *λήψηι* et *μικρὰ* A. 5. *ὀπτῶσιν βοῦς* K.] *βοῦς ὀπτῶσιν* A.

2. iure Dobraeus Adv. II 304 in quantitate vocis *φυλλοτρῶγες* offendit. neque vero Graeci *φύλλοις* vescebantur, sed *φυλλάδι*, cf. Call. 4. Mnesim. 4, 31. Diphil. 18, 4. itaque necessario scribendum *φυλλαδοτρῶγες*.

comparat Persa Graecorum in victu tenuitatem cum Persarum magnificentia, neque de praeterita popularium suorum, sed de praesenti opulentia gloriatur: namque etiam *παρέθηκε* v. 8 aoristus est consuetudinis. quapropter v. 4 scribo *παρὰ δ' ἡμετέροις προδίμοισιν*. cum v. 8 Meinekius contulit Herod. 1, 133 *οἱ εὐδαίμονες αὐτῶν (Περσῶν) βοῦν καὶ ὄνον καὶ ἵππον καὶ κάμηλον προτιθέαται ὅλους ὀπτοὺς ἐν καμίνοις.* Hieron. adv. Iov. 2, 17. *Arabes et Saraceni et omnis eremi* (i. e. solitudinis) *barbaria camelorum lacte et carnibus vivit.*

ΟΙΩΝΙΣΤΗΣ

Hanc fabulam ab initio usque ad finem a Menandro in *Δεισιδαίμονι* expressam esse Caecilius tradit apud Porphyr. Euseb. Praep. ev. 10, 2. dempto plagii crimine Menandrum Antiphanis fabulam imitatum esse et nonnulla in suam transtulisse existimat Meinekius I 32. 338. fragmenta non exstant.

ΟΜΟΙΟΙ

Cf. Meinek. I 338. Schol. Aristot. Eth. Nic. 4, 12, 1127 a 10 *ὥσπερ ὁ ὑπὸ τῶν κωμῳδιοποιῶν προαγόμενος Ὅμοιος, ἀηδής τις πᾶσιν, ὃν καὶ δύσκολόν φασιν εἶναι.* unde in omnibus comoediis, quae *Ὅμοιος* vel *Ὅμοιοι* inscribuntur, duo homines in ceteris rebus pares, moribus diversos, fratrum illorum Terentianorum similes, sibi oppositos alterumque morosum fuisse Usenerus coniecit Mus. Rhen. XXVIII 405 sq.

173

εὖ δ' ἐγίνεθ' ὅτι φακῆν
ἕψειν μ' ἐδίδασκε τῶν ἐπιχωρίων τις εἷς.

Athenaeus 4, 158 c *Ἀντιφάνης Ὁμοίαις κτλ.* 1. *εὖ δεγινεθἠφακην εψειημεδίδασκε* A. *εὖ δ' ἐγίνεθ' ὅτι* Porson. *ἕψεῖν μ' ἐδίδασκε* Iacobs. Addit. Ath. 99. *τις εἷς*] *τισεις* A.

174

εἶτ' ἐπεισῆγεν χορείαν ἢ τράπεζαν δευτέραν,
καὶ παρέθηκε γέμουσαν πέμμασι παντοδαποῖς.
ὡς δ' ἐδείπνησαν, συνάψαι βούλομαι γὰρ τὰν μέσῳ,
καὶ Διὸς σωτῆρος ἦλθε θηρίκλειον ὄργανον,
5 *τῆς τρυφερᾶς ἀπὸ Λέσβου σεμνοπότου σταγόνος*
πλῆρες, ἀφρίζον, ἕκαστος δεξιτερᾷ δ' ἔλαβεν.

v. 1. 2 Athenaeus 14, 642 a *Ἀντιφάνης... ἐν Ὁμοίοις εἶτ' ἐπεισῆγεν — παντοδαποῖς.* v. 3—6 Athenaeus 11, 471 c *μνημονεύει τοῦ ἐκπώματος καὶ Ἀντιφάνης ἐν Ὁμοίοις οὕτως· ὡς δ' ἐδείπνησαν κτλ.* ad unum fragmentum coniunxit Meinekius. 3. *τὰν* Koppiers. Obs. 50] *τὰ* A. 5. *σεμνοπότου* Casaub.] *σεμνοπόνου* A.

1. *δευτέραν* etiam ad *χορείαν* pertinet. mensas enim primas et secundas sermone elatiore tamquam quasdam choreas praedicat. v. 2. 5. 6 Antiphanes aut ex *Cena* Philoxeni Cytherii (de quo cf. quae ad *Cyclopem* adnotavimus) descripsit aut ad imitationem eius composuit. ceterum, ut tetrametri trochaici versusque dactylici inter se excipiant, v. 5 ante 4 ponendus videtur et scribendum *σεμνόποτοι σταγόνες.* — ceterum cf. Cobet. N. l. 132. 3.

ΟΜΟΠΑΤΡΙΟΙ

175

ἐν Ἡλίου μέν φασι γίνεσθαι πόλει
φοίνικας, ἐν Ἀθήναις δὲ γλαῦκας. ἡ Κύπρος
ἔχει πελείας διαφόρους, ἡ δ' ἐν Σάμῳ
Ἥρα τὸ χρυσοῦν, φασίν, ὀρνίθων γένος,
τοὺς καλλιμόρφους καὶ περιβλέπτους ταῶς.

Athenaeus 14, 655 b *Ἀντιφάνης ἐν τοῖς Ὁμοπατρίοις φησίν κτλ.* Eustathius 1035, 44 *ὁ δ' αὐτὸς (Ἀντιφάνης) τοὺς ταὼς ἐπαινῶν φησιν· ἐν Ἀθήναις γλαῦκες, ἐν δὲ Κύπρῳ πέλειαι διάφοροι, ἡ δ' ἐν Σάμῳ Ἥρα τὸ χρυσοῦν ὀρνίθων γένος, τ. κ. κ. π. τ.* 3. *διαφόρους* P] *διφόρους* A. 4. *Ἥρα τὸ*] *ἤρατο* A. 5. *ταῶς* Mein.] *ταώς*. cf. quae ad Arist. Av. 102 adnotavimus.

1. *Heliopoli* in Solis templo tabulae erant pictae fabulosam avem phoenicem monstrantes. Herodot. 2, 73. Varro R. r. 3, 6, 2 (Mein. V CLXIX) *pavonum greges agrestes transmarini esse dicuntur in insulis, Sami in luco Iunonis.* idem apud Gellium 6, 16, 5 *pavus e Samo* (praestat). Menodot. Sam. Athen. 14, 655 a *οἱ ταοὶ ἱεροί εἰσι τῆς Ἥρας. καὶ μήποτε πρώτιστοι καὶ ἐγένοντο καὶ ἐτράφησαν ἐν Σάμῳ καὶ ἐντεῦθεν εἰς τοὺς ἔξω τόπους διεδόθησαν.* Herwerdenus quod Mnem. nov. IIII 322 v. 2 propter *δέ* ante *γλ* non productum vix sanum censet, antiquam comoediam cum nova confundit.

ΟΜΦΑΛΗ

Lydorum regina ex Herculis fabula nota. non multo post Ol. 100 comoediam actam esse indicat Meinekius I 305.

176

πῶς γὰρ ἄν τις εὐγενὴς γεγὼς
δύναιτ' ἂν ἐξελθεῖν ποτ' ἐκ τῆσδε στέγης;
ὁρῶν μὲν ἄρτους τούσδε λευκοσωμάτους
ἰπνὸν κατέχοντας ἐν πυκναῖς διεξόδοις,
ὁρῶν δὲ μορφὴν κριβάνοις ἠλλαγμένους,
μίμημα χειρὸς Ἀττικῆς, οὓς δημόταις
Θεαρίων ἔδειξεν.

Athenaeus 3, 112 c *τῶν δ' Ἀττικῶν ἄρτων ὡς διαφόρων μνημονεύει καὶ Ἀντιφάνης ἐν Ὀμφάλῃ οὕτως κτλ.* 1. *γεγως* VL] *γεγονὼς* A. 2. *ποτ' ἐκ τῆσδε* Porson. Miscell. 178] *ποτε δ' ἐκ τῆς* A. 3. *ὁρῶν μὲν*] *ὁρῶμεν* A. *τούσδε*] *τοὺς δὲ* A. 4. *κατέχοντας* Mein. Quaest. Menandr. 24] *κατεμπέχοντας* A, quod nihil aliud est quam duae

scripturae in unam conflatae *κατέχοντας* et *ἐπέχοντας*. 6. *δημόταις* Porson.] *δηγοναις* A.

'videntur haec Herculis verba esse apud Omphalen voluptatibus dediti'. Mein. in furno sedere videtur. 4. *διέξοδοι* proprie sunt solis siderumque caelestium orbes et circuitus, hic panum non minus splendentium ordines. tragicam gravitatem adfectari recte monuit Meinekius. 6. nisi *ἔκμαγμα χ. Ἀττ.* scribendum est (cf. Arist. Thesm. 514. Cratin. 255. Poll. 9, 130. 1), panes dicit qui apud Omphalen conficiantur Atticorum esse simillimos. de *Thearione* cf. Aristoph. fr. 1.

177

ἐν χύτρᾳ δέ μοι
ὅπως ὕδωρ ἕψοντα μηδέν' ὄψομαι·
οὐ γὰρ κακὸν ἔχω μηδ' ἔχοιμ'· ἐὰν δ' ἄρα
στρέφῃ με περὶ τὴν γαστέρ' ἢ τὸν ὀμφαλόν,
5 *παρὰ Φερτάτου δακτύλιος ἔστι μοι δραχμῆς.*

Athenaeus 3, 123 b *Ἀντιφάνης ἐν Ὀμφάλῃ κτλ.* 2. *μηδένα* A. 3. an *οὐ κακὸν ἔχω γάρ? ἔχοιμι* A. 4. *γαστέρα* A. 5. *ἐστιν* A. — de syntaxi *οὐκ ἔχω μηδ' ἔχοιμι* cf. Soph. Ant. 500.

Hercules calidam potionem aqua admixta sibi adparari vetat: neque enim aegrotum se esse (*οὐ κακὸν ἔχω*). scilicet merum praefert. *Phertatus* medicus vel pharmacopola non cognitus aliunde, nisi forte idem est quem Demosthenes 32, 17 *κοινωνὸν τοῦ Πρώτου* dicit. *anulus* est magicus. cf. Eupol. 87. Aristoph. fr. 250. Plut. 884.

178

οὐ φιλοτάριχος οὐδαμῶς εἰμ', ὦ κόρη.

Athenaeus 3, 125 ab *κεῖται ὁ φιλοτάριχος παρ' Ἀντιφάνει ἐν Ὀμφάλῃ οὕτως κτλ.* videtur hic quoque Hercules loqui.

Ad hanc fabulam fr. 276 refert Meinekius.

ΟΜΩΝΥΜΟΙ

179

οἷα δ' ἡ χώρα φέρει
διαφέροντα πάσης, Ἱππόνικε, τῆς οἰκουμένης,
τὸ μέλι, τοὺς ἄρτους, τὰ σῦκα. Β. σῦκα μὲν νὴ τὸν Δία
πάνυ φέρει. Α. βοσκήματ', ἔρια, μύρτα, θύμα, πυρούς, ὕδωρ,
5 *ὥστε καὶ γνοίην ἂν εὐθὺς Ἀττικὸν πίνων ὕδωρ.*

Athenaeus 2, 43 bc *οὐ γὰρ Ἀντιφάνει τῷ κωμικῷ πεπίστευκα λέγοντι κατὰ πολλὰ τὴν Ἀττικὴν διαφέρουσαν τῶν ἄλλων καὶ ὕδωρ*

κάλλιστον ἔχειν· φησὶ γάρ κτλ. v. 1—4 idem 3, 74d *Ἀττικὸν μὲν (σῦκον) οὗ μνημονεύει Ἀντιφάνης ἐν Ὁμωνύμοις· ἐπαινῶν γὰρ τὴν χώραν τὴν Ἀττικὴν τάδε λέγει· οἷα — πάνυ φέρει.* 2. *διαφέροντα*] *διαφέρουσα* Mein. *πάσης*] *πᾶσιν* Mein. *τῆς ἁπάσης, Ἱππόνικ, οἰκουμένης* Porson. 4. *θυμα* Dobr. Adv. II 296] *θύματα. θυμιάματα* Porson. *πυρούς*] *τυρούς* VL. *ὕδωρ* Dobr.] *ὕδωρ διαφέρον.* 5. *πίνων ὕδωρ* Porson.] *ὕδωρ πίνων.*

v. 3. 4 altera persona plurimos in Attica ali sycophantas significat. 5. fort. scribendum *ὥστ' ἀναγνοίην ἂν εὐθὺς κτλ.*, sc. *αὐτήν, τὴν χώραν.*

Cf. praeterea fr. 316.

ΟΡΦΕΥΣ

180

βύστραν τιν' ἐκ φύλλων τινῶν.

Pollux 10, 172 *τοῦτο (βύσμα) βύστραν ἕτεροι κεκλήκασιν, ὡς . . . Ἀντιφάνης Ὀρφεῖ κτλ.* Hesych. *βύστραι· αἱ τῶν λαχάνων ἐνθέσεις. ἔνιοι δὲ τοὺς ἐκ τῶν λαχάνων ψωμούς* (?).

ΠΑΙΔΕΡΑΣΤΗΣ

181

τῆς τε βελτίστης μεσαῖον θυννάδος Βυζαντίας
τέμαχος ἐν τεύτλου λακιστοῖς κρύπτεται στεγάσμασιν.

Athenaeus 7, 303 f *Ἀντιφάνης ἐν Παιδεραστῇ κτλ.* 2. *τλεύτλου* et *κρύπτε ταῖ* A. cf. fr. 72.

ΠΑΡΑΣΙΤΟΣ

Posterior Alexidis Parasito. Mein. I 339. 377. 381.

182

ἄλλος ἐπὶ τούτῳ μέγας
ἥξει τις ἰσοτράπεζος εὐγενής — Β. τίνα
λέγεις; Α. Καρύστου θρέμμα, γηγενής, ξέων —
Β. εἶτ' οὐκ ἂν εἴποις; ὕπαγε. Α. κάκκαβον λέγω.
5 *σὺ δ' ἴσως ἂν εἴποις λοπάδ'. Β. ἐμοὶ δὲ τοὔνομα*
οἶει διαφέρειν, εἴτε κάκκαβόν τινες
χαίρουσιν ὀνομάζοντες εἴτε σίττυβον;
πλὴν ὅτι λέγεις ἀγγεῖον οἶδα.

Athenaeus 4, 169ef *ἐν Παρασίτῳ ὁ Ἀντιφάνης καὶ τάδε εἴρηκεν κτλ.* v. 4—7 Pollux 10, 106 *καὶ κάκκαβον δὲ τὴν κακκάβην*

κατὰ τὴν τῶν πολλῶν χρῆσιν Ἀντιφάνης κέκληκεν εἰπὼν Παρασίτῳ κάκκαβον — σίττυβον; Eustathius 872, 14 *καὶ ἀρσενικῶς κάκκαβος λέγεται, οἷον· 'κάκκαβον λέγω, σὺ δ' ἂν ἴσως εἴποις λοπάδα, τὴν καὶ σίττυβον', ὡς δηλοῖ ἐπαχθὲν τὸ 'ἐμοὶ δὲ τοὔνομα οὐ διαφέρει, εἴτε κάκκαβον ὀνομάζουσί τινες εἴτε σίττυβον'.* 5. *λοπάδα* et *τοὔνομ'* A. 7. *χαίρουσιν ὀνομάζοντες* B et Poll.] *χαίροντες ὀνομάζουσιν* A.

2. *ἰσοτράπεζος* 'fortasse ex Philoxeni *Cena* Athen. 4, 147 b'. Mein. *ἰσοτράπεζος ὅλος νῆστις συνόδων.* pro *εὐγενής* vide an scribendum sit *εὐπινής*. cf. Cratin. 414. 3. *Καρύστου θρέμμα*, olla Carystia. Matron Athen. 4, 135 e *αὐτὰρ ἀπ' Εὐβοίης λοπάδες τόσαι ἐστιχόωντο. γηγενής*, idem quod *κύτος πλαστὸν ἐκ γαίας* 52, 2. 3. *κάκκαβος*, vulgo *κακκάβη*. cf. quae adnotavimus ad Nicoch. 14. 4. *ὕπαγε*, *perge* dicere. cf. Arist. Ran. 174.

183

οἷα δ' ἐστὶν οἶσθα σύ,
γύναι· σκόροδα, τυρός, πλακοῦντες, πράγματα
ἐλευθέρι', οὐ τάριχος, οὐδ' ἡδύσμασιν
ἀρνεῖα καταπεπλησμέν', οὐδὲ θρυμματὶς
5 *τεταραγμένη καὶ λοπάδες, ἀνθρώπων φθοραί.*
καὶ μὴν ῥαφάνους γ' ἕψουσι λιπαράς, ὦ θεοί,
ἔτνος θ' ἅμ' αὐτοῖς πίσινον.

Athenaeus 9, 370 e *Ἀντιφάνης δ' ἐν Παρασίτῳ ὡς εὐτελοῦς βρώματος τῆς κράμβης μέμνηται ἐν τούτοις κτλ.* 1. *σὺ* add. L. 2. *γυναι τοῖ σκοροδατυρος* A, unde Mein. in Athen. ed. *οἷα δ' ἔστ', οἶσθ', ὦ γύναι, | ἄρτοι, σκόροδα.* 3. *ἐλευθεριου* A. 4. *καταπεπλησμενουδὲ θριμματις* A. 3 et 4 emendavit Tyrwhitt. Toup. Emend. IIII 422. *καταπεπασμέν' οὐδὲ* Iacobs. *θρυμματὶς* L. 6. *ἕψουσι* P] *ἑψοῦσιν* A. 7. *θ' ἅμ'* Casaub.] *θαῦμ'* A. *αὐτοῖς*] *αὐταῖς* Mein.

res libero viro dignas esse quas non adpetat homo mollis et delicatulus monet Schweighaeuserus. 4. *ἀρνεῖα*. Lobeck. Paralip. 323 not. Photius *θρυμματίς· σκεύασμα διὰ στέατος καὶ σεμιδάλεως καὶ συκαλλίδων.* 5. *τεταραγμένη*. cf. Amips. 18. erus simplex et parcus coniugem iubet cenam non sumptuosam parare. nam v. 6 sine dubio scribendum est *ῥαφάνους πέψον σὺ λιπαράς*, et in fine, cum Athenaeus Antiphanis ecloga utatur, ut eum *ὡς εὐτελοῦς βρώματος τῆς κράμβης* meminisse demonstret, in eis autem quae hodie scripta leguntur ne syllaba quidem de crambe inveniatur, addendum *ἢ κράμβην τινά*.

184

ἐγὼ περὶ τὴν ὀψωνίαν μὲν οὐ πάνυ
ἐσπούδακ', οὐδ' αὖ συνέτεμον λίαν πάνυ,
ὡς ἄν τις ἄλλως ἐξενεχθεῖσιν ὅπου
τοῦ διαλάβοι κραιπάλην ἑλληνικῶς.

Athenaeus 8, 358d *ταῦτα καὶ παρ' ἡμῶν ἔχετε, ἄνδρες φίλοι, ὀψωνησάντων κατὰ δύναμιν τὴν ἑαυτῶν ὑγιεινῶς. κατὰ γὰρ τὸν Ἀντιφάνους Παράσιτον ἐγὼ περὶ τὴν — κραιπάλην ἑλληνικῶς. ἀλλὰ μὴν οὐδὲ οὕτως εἰμὶ φίλιχθυς ὡς ὁ παρὰ τῷ αὐτῷ ποιητῇ ἐν Βουταλίωνι.* 1. *πάνυ* Casaub.] *πάνυ τι* A. 2. *ἐσπούδακα* A. 3. *ἄλλοις* et *πότου* Casaub. 'reliquis triclinio elatis', quo nihil proficitur. G. Hermannus conl. Alexid. 9, 7—9 *ὡς ἄν τις ἄλλοις ἐξενεχθεὶς ἐκ πότου | μὴ διαβάλῃ τὴν κτλ.* ac *διαβάλοι* v. 4 Koppiers. Obs. 52. Herwerd. Mnem. nov. VI 64 *οὐδ' αὖ σύντονον λίαν πότον, ὡς ἄν τις ἄλλος ἐξενεχθείς, εἰ ξένος πότου διαβάλοι κτλ.* 'qui si quis alius *succenserem*, si qui hospes convivii graeci diffamaret temulentiam.' nihil horum sufficit.

185

χοιρίων
σκέλη καπύρ'. Β. ἀστεῖόν γε νὴ τὴν Ἑστίαν
ἄριστον. Α. ἑφθὸς τυρὸς ἐπεδόνει πολύς.

Athenaeus 3, 96b *Ἀντιφάνης Παρασίτῳ κτλ.* 1. *χοιρίων* Schweigh.] *χοιρέων.* 2. *καπύρ'* L] *καπυρά* A. de *ἑφθῷ τυρῷ* cf. Eubul. 151, 2 et de verbo *ἐπιδονεῖν* Eubul. 37.

186

τάριχος ἀντακαῖον ἐν μέσῳ
πῖον, ὁλόλευκον, θερμόν.

Athenaeus 3, 118d *Ἀντιφάνης ὁ ποιητὴς...ἐν Παρασίτῳ κτλ.* cf. fr. 77.

ΠΑΡΕΚΔΙΔΟΜΕΝΗ

Videtur significari puella non legitime in matrimonium data. cf. *παραπαίειν, παραληρεῖν, παρακρούεσθαι, παραφρυκτωρεῖν* al. — Seleucus cum Diodoro teste (20, 53) Ol. 118, 2 regem se adpellari iusserit, fragmentum 187 adparet scribi non potuisse ab eo qui Ol. 112 mortuus est. itaque Clinton Mus. phil. I 607 Alexidis fabulam esse *Παρεκδιδομένην* censet, Meinekius aut Euphronis *Παραδιδομένην* significari aut Antiphanem non eo quo Suidas testatur tempore mortuum esse, sed vitam fortasse ad Ol. 119, aetatis annum centesimum quartum (*ρδ'* pro *υδ'*) produxisse conicit. I 305. 6. 7. 478.

187

ὄμνυμι δ' ὑμῖν, ἄνδρες, αὐτὸν τὸν θεόν,
ἐξ οὗ τὸ μεθύειν πᾶσιν ἡμῖν γίνεται,
ἢ μὴν ἑλέσθαι τοῦτον ἂν ζῆν τὸν βίον
ἢ τὴν Σελεύκου τοῦ βασιλέως ὑπεροχήν.
ῥοφεῖν φακῆν ἐσθ' ἡδὺ μὴ δεδοικότα,
μαλακῶς καθεύδειν ἄθλιον δεδοικότα.

Athenaeus 4, 156 cd *κατὰ τὸν ἡδὺν Ἀντιφάνη, ὃς ἐν τῇ Παρεκδιδομένῃ ἔφη κτλ.* 1. *δὲ* A. 2. *ἡμῖν* Mein.] *ὑμῖν* A. 3. *ἢ μὴν* Casaub.] *ἡμῖν* A. 4. *φακὴν* A. 6. *μαλακῶς δὲ δειπνεῖν* scribendum aut totum versum Antiphani abiudicandum esse Herwerdenus censet Mnem. nov. VI 65. coniungenda sunt verba *ἄθλιόν ἐστι μαλακῶς* (i. e. *ἐν στρώμασι μαλακοῖς*) *καθεύδειν δεδοικότα.*

ΠΑΡΟΙΜΙΑΙ

'Dubitari non potest quin hominem exhibuerit Sanchonis Pansae' vel Sam Welleri 'instar proverbiis iocularitер ludentem'. Meinek. I 278.

188

ἐγὼ γὰρ ἄν τι τῶν ὑμετέρων φάγοιμι,
μύκητας ὠμοὺς ἂν φαγεῖν ἐμοὶ δοκῶ
καὶ στρυφνὰ μῆλα κεῖ τι πνίγει βρῶμά τι.

Athenaeus 2, 60 de *Κηφισόδωρος ὁ Ἰσοκράτους μαθητὴς ἐν τοῖς κατὰ Ἀριστοτέλους . . . ἐπιτιμᾷ τῷ φιλοσόφῳ ὡς οὐ ποιήσαντι λόγου ἄξιον τὸ παροιμίας ἀθροῖσαι, Ἀντιφάνους ὅλον ποιήσαντος δρᾶμα τὸ ἐπιγραφόμενον Παροιμίαι, ἐξ οὗ καὶ παρατίθεται τάδε κτλ.* 1. *ἔγωγ' ἂν εἰ τῶν* Porson. *φάγοιμί τι* Casaub. 2. *ἐμοὶ* add. Casaub. 3. *κεῖ τι* Dindf.] *καὶ εἴ τι.* *πνίγει* C] *πνίγοι.* *βρῶμ' ἔτι* Dindf. *βρωμάτων* Mein.

primus versus nondum persanatus videtur. aversatur nescio quis Pythagoristarum opinor vel cynicorum victum, vel acerbissima et tristissima alimenta istorum cenis se praeferre dicens.

189

στίμμιν, κάτοπτρα, κρωβύλους, κεκρυφάλους.

Photius *στίμμι καὶ στίμμιν· ὅ τινες στίβην* (*στῖβι*). *Ἀντιφάνης Παροιμιαζομένῳ κτλ.* *κροβύλους* cod. Herodian. I 354, 7. II 767, 4 *στίμμι, ὅπερ γυναῖκες κατὰ τοὺς ὀφθαλμοὺς χρίονται.* II 767, 17 *εὑρέθη δὲ καὶ τὸ στίμμι θηλυκῶς λεγόμενον οἷον ἡ στίμμις στίμμεος ἰωνικῶς καὶ στίμμεως ἀττικῶς, ἡ αἰτιατικὴ στίμμιν οἷον Ἴων Ὀμφάλῃ* (fr. 25 N.).

ΠΛΟΥΣΙΟΙ

190

Εὔθυνος δ' ἔχων
σανδάλια καὶ σφραγῖδα καὶ μεμυρισμένος
ἐλογίζετο τῶν πραγμάτων οὐκ οἶδ' ὅ τι·
Φοινικίδης δὲ Ταυρέας θ' ὁ φίλτατος,
ἄνδρες πάλαι ὀψοφάγοι τοιοῦτοί τινες,
οἷοι καταβροχθίζειν ἐν ἀγορᾷ τὰ τεμάχη,
ὁρῶντες ἐξέθνῃσκον ἐπὶ τῷ πράγματι,
ἔφερόν τε δεινῶς τὴν ἀνοψίαν πάνυ.
κύκλους δὲ συναγείροντες ἔλεγον ἂν τάδε,
ὡς οὐ βιωτόν ἐστιν οὐδ' ἀνασχετὸν
τῆς μὲν θαλάττης ἀντιποιεῖσθαί τινας
ὑμῶν ἀναλίσκειν τε πολλὰ χρήματα,
ὄψου δὲ μηδὲν . . εἰσπλεῖν μηδὲ γρῦ.
τί οὖν ὄφελος τῶν νησιαρχῶν ἐστι; δεῖ
νόμῳ κατακλεῖσαι τοῦτο, παραπομπὴν ποιεῖν
τῶν ἰχθύων. νυνδὶ Μάτων συνήρπακεν
τοὺς ἁλιέας, καὶ Διογείτων νὴ Δία
ἅπαντας ἀναπέπεικεν ὡς αὐτὸν φέρειν,
κοὐ δημοτικόν γε τοῦτο δρᾷ τοσαῦτα φλῶν.
γάμοι δ' ἐκείνοις καὶ πότοι νεανικοὶ
ἦσαν.

Athenaeus 8, 342e *Ἀντιφάνης δ' ἐν Πλουσίοις κατάλογον ποιεῖται ὀψοφάγων ἐν τούτοις κτλ.* v. 8. Eustath. 867, 58 *εὐρψία... καὶ ἡ ἀνάπαλιν ἀνοψία κατὰ τὸ δεινῶς πάνυ τὴν ἀν. φέροντας.* 2. *σανδάλια* Koppiers. Obs. 55] *σανδάλιον* A. 3. *ἐλογίζετ' ἰὼν* Dobr., *ἐλογίζετ' ἐλθὼν πραγμάτιον* Cobet. N. l. 133. scribendum est *ἐλογίζετ' ὄψων πραγμάτιον*, *cum venditore pretium computabat obsonii.* cf. Alex. 179. 186. 5. sic A. scribendum *πολὺ πάντων ὀψοφαγίστατοί τινες*, atque *ὀψοφαγίστατοι* iam Iacobs. Addit. 190. 7. *ἐξέθνησκον* A. 9. *ἂν* add. Dobr. Arist. Plut. 980 p. 121. *ἔλεγον τοιαδί* Mein. in Ath. ed. 11. 12. *πάλαι* | *ἡμᾶς* vel *τινας* | *μάτην* vel *τινας* | *νήσων τ'* Dobr. 13. *μηδὲν*] *μηδὲ* A. *μηδὲν ἐνθάδ'* Casaub. *δεῦρο μηδὲν* Mein. in Ath., *μηδὲν μήποτ'* antehac Menandr. p. 181. 14. *νησιαρχῶν*] *νησιάρχων* Mein. in Ath. *νησιωτῶν* Herwerd. Anal. crit. 33. *ἔστι; δεῖ* VL] *ἐστιν δὴ* A. *ἔστιν εἰ νόμῳ κατακλεῖσται* (?) Porson. 16. *νυνδὶ Μάτων* Dindf.] *νῦν δὲ μακρῶι* A. 17. *καὶ δὴ Διογ.* Mein. melius *ὁ δὲ Διογ.* 18. *ἅπαντας* Muret. V. l. 19, 3] *πάντας* A. 19. *τοσαῦτα*

Iacobs.] *τοιαῦτα* A. 20. *ἐκείνοις* Koppiers. 54] *ἐκεῖνοι* A. *νεανικοὶ*] *νεανίσκοι* A.

de *Euthyno* cf. 128, de *Phoenicide* et *Taurea* 48, de *Matone* sophista et lurcone 119. quis *Diogiton* significetur nescio. Euthynus ut unus de *σφραγιδονυχαργοκομήταις* describitur. 7. *ἐκθνήσκειν* dicuntur qui deliquium animi passi mortuorum similes sunt. Wyttenbach. Plut. De sera num. vind. p. 94. cf. Plat. Leg. 12, 959 a. 15. Meinekius confert Demosth. 4, 33 *ἂν πᾶσαν τὴν δύναμιν νόμῳ κατακλείσητε ἐπὶ τῷ πολέμῳ μένειν. παραπομπὴν ποιεῖν*, i. e. novam oportet piscium vendendorum rationem institui, ut publice *certus eorum numerus viritim in singulas domos mittatur.* sic ab Atheniensibus *σκάφη εἰς τὴν τοῦ σίτου παραπομπὴν εἰς Ἑλλήσποντον* mittebantur Demosth. 18, 73. Xen. Hell. 7, 2, 23 *οἱ δὲ Κορίνθιοι... τὰ ζεύγη καὶ τὰ ὑποζύγια πάντα σίτου γεμίσαντες εἰς τὸν Φλιοῦντα παρήγαγον· καὶ...ἑκάστης ἡμέρας παραπομπαὶ ἐγίγνοντο.* cf. Aeschin. 2, 168. 20. '*γάμοι* non verae sunt nuptiae, sed epulae quales in nuptiis parari solent.' Iacobs. tales epulas singulos homines privatos sibi parare ceteris esurientibus Phoenicides et Taureas palam conqueruntur.

ΠΟΙΗΣΙΣ

Casaubonum pro Antiphane apud Athen. 6, 222 a Aristophanis nomen restituentem refellit Meinekius I 339. cf. 272.

191

μακάριόν ἐστιν ἡ τραγῳδία
ποίημα κατὰ πάντ', εἴ γε πρῶτον οἱ λόγοι
ὑπὸ τῶν θεατῶν εἰσιν ἐγνωρισμένοι,
πρὶν καί τιν' εἰπεῖν· ὥσθ' ὑπομνῆσαι μόνον
δεῖ τὸν ποιητήν· Οἰδίπουν γὰρ ἂν μόνον
φῶ, τἄλλα πάντ' ἴσασιν· ὁ πατὴρ Λάιος,
μήτηρ Ἰοκάστη, θυγατέρες, παῖδες τίνες,
τί πείσεθ' οὗτος, τί πεποίηκεν. ἂν πάλιν
εἴπῃ τις Ἀλκμέωνα, καὶ τὰ παιδία
πάντ' εὐθὺς εἴρηχ', ὅτι μανεὶς ἀπέκτονεν
τὴν μητέρ', ἀγανακτῶν δ' Ἄδραστος εὐθέως
ἥξει πάλιν τ' ἄπεισι . . . . .
ἔπειθ' ὅταν μηδὲν δύνωντ' εἰπεῖν ἔτι,
κομιδῇ δ' ἀπειρήκωσιν ἐν τοῖς δράμασιν,
αἴρουσιν ὥσπερ δάκτυλον τὴν μηχανήν,
καὶ τοῖς θεωμένοισιν ἀποχρώντως ἔχει.
ἡμῖν δὲ ταῦτ' οὐκ ἔστιν, ἀλλὰ πάντα δεῖ

εὑρεῖν, ὀνόματα καινά, τὰ διῳκημένα
πρότερον, τὰ νῦν παρόντα, τὴν καταστροφήν,
20 τὴν εἰσβολήν. ἂν ἕν τι τούτων παραλίπῃ
Χρέμης τις ἢ Φείδων τις, ἐκσυρίττεται·
Πηλεῖ δὲ ταῦτ' ἔξεστι καὶ Τεύκρῳ ποιεῖν.

Athenaeus 6, 222 a ὑπομνήσομεν τὰ παρ' Ἀντιφάνει λεγόμενα ἐν Ποιήσει τόνδε τὸν τρόπον κτλ. 2. πάντα A. κατὰ πάνθ'· ἧς γε G. A. Hirschig. Annot. crit. 3. 4. ὥσθ' K.] ὡς A. 5. ἂν μόνον | φῶ, τἄλλα Dindorf.] φῶ τὰ δ' ἄλλα A. at μόνον post v. 4 vix credibile. scr. Οἰδίπουν γὰρ ἂν φράσω, τά γ' ἄλλα κτλ. 9. Ἀλκμέωνα Dindf.] Ἀλκμαίωνα. cf. quae nos ad Amphidis Alcmeonem et quae Nauck. Tr. gr. fr. ad Eurip. Alcmeonem adnotavit ac praeterea Timocl. 6, 12. 10. εἴρηχ' Dindf.] εἴρηκεν A. 11. μητέρα et δὲ A. 12. 13. τ' ἄπεισι . . . ἔπειθ' Casaub.] ταπεισιθ' A. ἄπεισιν, εἶθ' ἥξει πάλιν Herwerd. Nov. add. crit. 20. μηδὲν Schweigh.] μηθὲν A. 14. ἀπειρήκωσιν Dindf.] ἀπειρηκόσιν A. 18. καινά, τὰ Casaub.] καινὰ κἄπειτα τὰ A. deinde διωκημένα A. διῳχημένα Herwerden. 20. παραλείπῃ A. 21. φίδων A. 22. ταῦτ'] πάντ' Mein. Anal. Athen. 95.

2. οἱ λόγοι sunt *argumenta* fabularum. Metagen. 14. Arist. Vesp. 54. 5. Οἰδίπουν φάναι numquam Graecos dixisse arbitror ita, ut idem esset quod Oedipi nomen pronuntiare. 9. Hyperid. Euxen. XXXIIII 1 οἱ ἄλλοι Ἀθηναῖοι ἴσασι καὶ τὰ παιδία τὰ ἐκ τῶν διδασκαλείων. 11. quomodo in Alcmeonis fabula *Adrastus* dudum mortuus venire possit et abire non exputo. scribendum est ἀγανακτῶν δὲ δράσας εὐθέως *statim* post matris caedem *indignatus tantum facinus.* verba ἥξει πάλιν τ' ἄπεισι pertinere videntur ad errores Alcmeonis post matris caedem. profectus enim est primum ad Oeclem in Arcadiam, ab hoc ad Phegeum (ἐς Ψωφῖδα), deinde ad Acheloum, unde Psophidem revertitur et inde profectus a Phegei filiis interficitur. 15. Plat. Cratyl. 425 d οἱ τραγῳδοί, ἐπειδάν τι ἀπορῶσιν, ἐπὶ τὰς μηχανὰς καταφεύγουσι θεοὺς αἴροντες. cf. Cic. N. d. 1, 53. Grotius Exc. 622 *tam facile quam digitulum tollunt machinam* (Mein.), i. e. nullo negotio. 18. τὰ διῳκημένα Antiphanes scribere vix potuit. cf. 155. at Herwerdeni διῳχημένα neque usitatum Atticis est neque sententiae satisfacit. scr. τῳκονομημένα. Aristot. Poet. 13 Εὐριπίδης εἰ καὶ τἄλλα μὴ εὖ οἰκονομεῖ. cf. Plut. Mor. 347 e. 20. τὴν εἰσβολήν, ut [Longin.] De subl. 38, 2 (Ἰσοκράτης) εὐθὺς ἐν τῇ εἰσβολῇ (τοῦ Πανηγυρικοῦ) ταῦτα τίθησιν. — ceterum cf. Diphil. 30, 4. 5.

ΠΟΝΤΙΚΟΣ

Ponticos, quorum multi aut mercaturae causa aut ut philosophorum scholis interessent Athenis versabantur, saepe ludibrio ha-

bitos osse ab Atheniensibus adnotavit Meinekius I 330. 387. fuerunt Alexidis, Epigenis, Timoclis comoediae cognomines.

192

ὅστις ὠψώνηκ' ἴσως
τούτους μεγαλείως ταῖς κάκιστ' ἀπολουμέναις
ὑπογάστρι' ἐλθών, ὅσα Ποσειδῶν ἀπολέσαι.
τάττειν τε γεννικῶς παρασκευάζεται
5 *πλευρὰν μετ' αὐτῶν.*

Athenaeus 7, 302 f *ἐπὶ ἰχθύων μὲν ὑπογάστριον λέγουσι, σπανίως δὲ ἐπὶ χοίρων καὶ τῶν ἄλλων ζῴων. ἄδηλον δὲ ἐπὶ τίνων ἔταξε τὸ ὑπογάστριον Ἀντιφάνης ἐν τῷ Ποντικῷ ὅταν λέγῃ κτλ.* 1. *ὀψώνηκε* A. 2. *ποσειδων ἀπολεσαι* A. 3. *ταττειν* A.

pro *τούτους* v. 2 cum Herwerdeno Mnem. nov. IIII 307 *ταύταις*, pro *ὅσα* v. 3 *ἃς* et pro *τάττειν* v. 4 utique *βράττειν* scribendum est. cf. Arist. Ach. 1005. Pac. 1197. Ran. 510. 553. fr. 271. Pherecr. 108, 23. 130, 10. 183. Aristomen. 8. videtur servus indignari quod erus cum meretricibus patrimonium profundat.

ΠΡΟΒΑΤΕΥΣ

Pollux 7, 184 *προβατεῖς, προβατευταί.* possessorem potius quam pastorem ovium dici arbitror.

193

Βοιώτιαι μὲν ἐγχέλεις, μῦς Ποντικοί,
θύννοι Μεγαρικοί, μαινίδες Καρύστιαι,
φάγροι δ' Ἐρετρικοί, Σκύριοι δὲ κάραβοι.

Athenaeus 7, 295 c *Ἀντιφάνης ἐν Προβατεῖ* (sine accentu A) *φησίν κτλ.* 1. *βοιωτία* A. 2. *θύννοι* A] supra scr. *γλαῦκοι* C. scilicet animadverterat librarius eum de quo dicturus erat Athenaeus piscem non commemorari. at saepissime is ea verba quibus quod dicit confirmare voluerat, excerpere oblitus est. exempli causa cf. fr. 183. quamquam Archestratus quoque glaucum Megarensem laudat Athen. ibid. ceterum cf. 236.

ΠΡΟΒΛΗΜΑ

Argumento haud dissimilis Cleobulinarum Cratini, Cleobulinae Alexidis, Sapphus Antiphanis. Mein. I 277. 8. cf. Birt. Elpid. 49.

194

Α. ἰχθύσιν ἀμφίβληστρον ἀνὴρ πολλοῖς περιβάλλειν
οἰηθείς, μεγάλῃ δαπάνῃ μίαν εἵλκυσε πέρκην·

καὶ ταύτην ψευσθεὶς ἄλλην κεστρεὺς ἴσον αὐτὴν
ἦγεν. βουλομένη δ' ἕπεται πέρκη μελανούρῳ.
5 Β. κεστρεύς, ἀνήρ, μελάνουρος, οὐκ οἶδ' ὅτι λέγεις·
οὐδὲν λέγεις γάρ. Α. ἀλλ' ἐγὼ σαφῶς φράσω.
ἔστι τις ὃς τὰ μὲν ὄντα διδοὺς οὐκ οἶδε δεδωκὼς
οἷσι δέδωκ', οὐδ' αὐτὸς ἔχων ὧν οὐδὲν ἐδεῖτο.
Β. διδούς τις οὐκ ἔδωκεν οὐδ' ἔχων ἔχει;
10 οὐκ οἶδα τούτων οὐδέν. Α. οὐκοῦν ταῦτα καὶ
ὁ γρῖφος ἔλεγεν· ὅσα γὰρ οἶσθ' οὐκ οἶσθα νῦν,
οὐδ' ὅσα δέδωκας, οὐδ' ὅσ' ἀντ' αὐτῶν ἔχεις.
τοιοῦτο τοῦτ' ἦν. Β. τοιγαροῦν κἀγώ τινα
εἰπεῖν πρὸς ὑμᾶς βούλομαι γρῖφον. Α. λέγε.
15 Β. πίννη καὶ τρίγλη φωνὰς ἰχθῦ δύ' ἔχουσαι
πόλλ' ἐλάλουν, περὶ ὧν δὲ πρὸς ὅν τ' ᾤοντο λέγειν τι
οὐκ ἐλάλουν· οὐδὲν γὰρ ἐμάνθανεν, ὥστε πρὸς ὃν μὲν
ἦν αὐταῖς ὁ λόγος, πρὸς δ' αὐτὰς πολλὰ λαλούσας
αὐτὰς ἀμφοτέρας ἡ Δημήτηρ ἐπιτρέψει.

Athenaeus 10, 450c Ἀντιφάνης ἐν τῷ Προβλήματί φησιν κτλ. 1. περιβάλλειν Herwerd. Obs. crit. 52] ἐπιβάλλων A. ἐπιβάλλειν Dalecamp. 3. κἆτ' αὐτὴν Cobet. N. l. 134. 11. οἶσθ'] οἶσθα A. 15. ἰχθυ δυ A. 15. πίννη] πίνη Mein. 16. περι'ων δε προς σον A. 19. ἐπιτρέψαι] ἐπιτρίψει Casaub. ἐπιτρίψαι Dobr. an ἐπέτριψεν?

1. contulit Herwerdenus Herodot. 1, 141 ὡς δὲ ψευσθῆναι τῆς ἐλπίδος, λαβεῖν (Κῦρον) ἀμφίβληστρον καὶ περιβαλεῖν τε πλῆθος πολλὸν τῶν ἰχθύων καὶ ἐξειρύσαι. 3. Dalecampius et Casaubonus καὶ ταύτης ψευσθέντ', ἄλλην κεστρεὺς ἴσον αὐτῇ ἦγεν, aenigma ita interpretantes: quidam libidinosus multis meretricibus rete iniecerat magnoque sumptu unam extraxit. cum et ab ista elusus fuisset, leno aliam priori parem ei adduxit: volens autem sequitur scortum scortatorem. ego ἐπέχω. 4. Numen. Halieut. Athen. 7, 320e πέρκαισι καθηγητὴν μελάνουρον. inproborum societatem hoc proverbio notari arbitrantur. utrumque piscem saxatilem esse et nigrum docet Gesner. De aquatil. 542. 7. quomodo explicari haec posse putaverit Dobraeus, ipse exponit Advers. II 328. mihi admodum dubia est non minus illius quam Casauboni interpretatio. 13. τοιοῦτο τοῦτ' ἦν interrogative personae *B* recte ut videtur tribuit Meinekius. versibus 15 sq. ipsae illae aenigmatum antea propositorum praestigiae inrideri videntur: 'nihil enim (sani) dicentes tamen aliquid dicere videntur, quod tamen nemo intellegit, ut quibus dicuntur non dicantur et eis solis qui dicunt dicantur'. οὐδὲν γὰρ ἐμάνθανεν is scilicet cui proponebantur. v. 18 nondum persanatus est.

ΠΡΟΓΟΝΟΙ

Non *avi*, sed *privigni privignaeve* dici videntur. cf. Eurip. Ion. 1329. 30. fuit etiam Titinii *Privigna* et Afranii *Privignus*. O. Ribbeck. Com. Rom. fr.[2] p. 143. 195.

195

τὸν τρόπον μὲν οἶσθά μου
ὅτι τῦφος οὐκ ἔνεστιν, ἀλλὰ τοῖς φίλοις
τοιουτοσί τίς εἰμι, τύπτεσθαι μύδρος,
τύπτειν κεραυνός, ἐκτυφλοῦν τιν' ἀστραπή,
φέρειν τιν' ἄρας ἄνεμος, ἀποπνῖξαι βρόχος,
θύρας μοχλεύειν σεισμός, εἰσπηδᾶν ἀκρίς,
δειπνεῖν ἄκλητος μυῖα, μὴ 'ξελθεῖν φρέαρ,
ἄγχειν, φονεύειν, μαρτυρεῖν, ὅσ' ἂν μόνον
τύχῃ τις εἰπών, ταῦτ' ἀπροσκέπτως ποιεῖν
ἅπαντα. καὶ καλοῦσί μ' οἱ νεώτεροι
διὰ ταῦτα πάντα σκηπτόν· ἀλλ' οὐδὲν μέλει
τῶν σκωμμάτων μοι· τῶν φίλων γὰρ ὧν φίλος
ἔργοισι χρηστὸς οὐ λόγοις ἔφυν μόνον.

Athenaeus 6, 238 d *Ἀντιφάνης ἐν Προγόνοις κτλ.* v. 3—7 Eustathius 1951, 45 *τούτοις προσθετέον ἐκεῖθεν (ἐξ Ἀθηναίου) καὶ τὸ τύπτεσθαι μύδρος εἰμί — φρέαρ.* 3. *τοιουτοσί τίς εἰμι* Dobr. Arist. Plut. 361 p. 44] *τοιοῦτος εἰ μὴ δή τις* A. 4. *τυφλοῦν* Eust. *τινα* A. 5. *ἄρας ἄνεμος* Lobeck. Aglaoph. 1307] *αἰραντανεμος* A. 7. *ἀκλήτως* Eust. *μὴξελθεῖν* A. 8. *ὅσ'* C] *ὅσ* A. 9. *ταῦτα* A. *ἀπεριοσκέπτως* Naber. Mnem. nov. VIII 51. *ἀπρόσκεπτος* Mein. in Ath.

7. aut *ἐξελθεῖν* aut *φρέαρ* corruptum est. 12. pro *ὧν* scr. *οὖν*. nam *ἔφυν* cum participio non coniungitur. verba extrema ex Euripidis fabula aliqua excerpta esse censet Herwerden. Nov. add. crit. 20. 1. ceterum cf. Aristophont. 4 et de syntaxi quae adnotavimus ad Arist. Nub. 260. Teleclid. 19.

[ΠΥΡΑΥΝΟΣ]

Non recte Antiphani dedit Meinekius quae Euphanis est fabula.

ΣΑΠΦΩ

Athenaeus 10, 450 e *ἐν δὲ Σαπφοῖ ὁ Ἀντιφάνης αὐτὴν τὴν ποιήτριαν προβάλλουσαν ποιεῖ γρίφους, ἀπολυομένου τινός.*

196

Σ. ἔστι φύσις θήλεια βρέφη σῴζουσ' ὑπὸ κόλποις
αὐτῆς, ὄντα δ' ἄφωνα βοὴν ἵστησι γεγωνὸν
καὶ διὰ πόντιον οἶδμα καὶ ἠπείρου διὰ πάσης
οἷς ἐθέλει θνητῶν, τοῖς δ' οὐδὲ παροῦσιν ἀκούειν
5 *ἔξεστιν, κωφὴν δ' ἀκοῆς αἴσθησιν ἔχουσιν . . . .*
Β. ἡ μὲν φύσις γὰρ ἣν λέγεις ἐστὶν πόλις,
βρέφη δ' ἐν αὐτῇ διατρέφει τοὺς ῥήτορας.
οὗτοι κεκραγότες δὲ τὰ διαπόντια
τἀκ τῆς Ἀσίας καὶ τἀπὸ Θρᾴκης λήμματα
10 *ἕλκουσι δεῦρο, νεμομένων δὲ πλησίον*
αὐτῶν κάθηται λοιδορουμένων τ' ἀεὶ
ὁ δῆμος οὐδὲν οὔτ' ἀκούων οὔθ' ὁρῶν.
Σ. πῶς γὰρ γένοιτ' ἄν, ὦ πάτερ, ...
ῥήτωρ ἄφωνος, ἢν μὴ ἁλῷ τρὶς παρανόμων;
15 *Β. καὶ μὴν ἀκριβῶς ᾠόμην ἐγνωκέναι*
τὸ ῥηθέν . . . . ἀλλὰ δὴ λέγε.
Σ. θήλεια μέν νύν ἐστι φύσις ἐπιστολή,
βρέφη δ' ἐν αὐτῇ περιφέρει τὰ γράμματα·
ἄφωνα δ' ὄντα ταῦτα τοῖς πόρρω λαλεῖ
20 *οἷς βούλεθ', ἕτερος δ' ἂν τύχῃ τις πλησίον*
ἑστὼς ἀναγινώσκοντος, οὐκ ἀκούεται.

Athenaeus 10, 450e *ἐν Σαπφοῖ* (*Ἀντιφάνους*) *ἡ μὲν* (*ποιήτρια*) *φησίν* (v. 1—5). *ταῦτά τις ἐπιλυόμενός φησιν* (v. 6—16). *ἔπειτα ποιεῖ τὴν Σαπφὼ διαλυομένην τὸν γρῖφον οὕτως* (v. 17—21). 1. *σώιζουσ'* A. 2. *αὐτῆς* et 18 *αὐτῇ* Dindf.] *αὐτῆς, αὐτῇ.* *ὄντα* Porson.] *ητα* A. 3. *ἠπείρου διὰ πάσης*] *ἠπείρους διὰ πάσας* K., syntaxi Homerica, ut in versu epico. 4. *θνητῶν*] *νήσων* invenisse videtur in suo libro Basilius Boisson. Anecd. gr. III 450. *δ' οὐδὲ παροῦσιν* Dobr. Adv. II 328] *δὲ οὐδὲ παρεοῦσιν* A. 10. *νεμομένων*] *φθεγγομένων* K. 11. *αἰεὶ* A. ante v. 13 nonnulla exciderunt, quibus Sappho non recte solutum esse griphum indicabat. *οὐδὲν λέγεις* initio inserit Iacobs. Addit. Ath. 242. 14. *ἢν μὴ ἁλῷ τρὶς*] *ην ἀλλω τρις* A. *ἢν ἁλῷ* Cobet. N. l. 5. 6, personae *B* ea verba tribuens. scribendum est *πρὶν ἂν ἁλῷ κτλ.* cf. Arist. Ran. 1380. Menand. 609 Mein. 15. *ᾠόμην* Dindf.] *ᾤμην* A. *Σ. παίζεις ἔχων. Β. καὶ μὴν ἀκριβῶς ᾠόμην | ἐγνωκέναι τὸ ῥ. ἀλλ' ἤδη λέγε* Cobet. 17. *μέν νυν* Erfurdt. Obs. 466] *μὲν οὖν* A. *ἐστιν* A. 19. *ταῦτα* add. Grotius Excerpt. 627. 21. *ἀκούεται* (sc. *τὰ γράμματα*) K.] *ἀκούσεται.*

2. Hesych. *γεγωνόν· τὸ ἐξάκουστον, μεγαλόφωνον.* contulit

Basilii aenigma politicis versibus scriptum (Boissonad. Anecd. gr. III 450) Meinekius in ed. mai. 14. qui ter *παρανόμων* convictus erat, *ῥήτωρ* iam esse non poterat. cf. Meier. De bonis damnat. p. 130. C. F. Hermann. Ant. gr. 132, 1. verba *ἀπολύεσθαι*, *ἐπιλύεσθαι*, *διαλύεσθαι* ab Athenaeo promiscue posita inlustravit Lehrs. Aristarch. 205 adn. extr.

197

βυβλιογράφος

παρὰ Ἀντιφάνει ἐν Σαπφοῖ. Pollux 7, 211. *βυβλ.* K.] *βιβλ.*

ΣΚΛΗΡΙΑΙ

Aut *Σκυρίας*, quo nomine Sophoclis Euripidisque ferebantur tragoediae fabulam Achillis a patre in Scyro insula abditi tractantes, aut *Σκληρίαν* titulum comoediae fuisse coniecit Meinekius I 312. III 114.

198

ἔστιν παρ' αὐτὴν τὴν δίφορον συκῆν κάτω

Athenaeus 3, 77 d *διφόρου δὲ συκῆς μνημονεύει Ἀντιφάνης ἐν Σκληρίαις κτλ.* *ἔστιν παρ'* Porson.] *ἔστιν γὰρ παρ'* A. *ἔστη παρ'* Iacobs. Addit. Ath. 57. cf. Arist. Eccl. 708.

ΣΚΥΘΑΙ Η ΤΑΥΡΟΙ

Ταῦροι sunt chersonesi Tauricae gens. fortasse *Σκύθαι Ταῦροι* vel (conl. Plin. N. h. 4, 85 *iugum ipsum Scythotauri tenent*) *Σκυθόταυροι* verus fabulae titulus fuit. cf. Peripl. Pont. Eux. p. 6 Huds.

199

ἐπὶ κῶμον δοκεῖ
ἴωμεν ὥσπερ ἔχομεν. Β. οὐκοῦν δᾷδα καὶ
στεφάνους λαβόντες. Χαιρεφῶν οὕτως . .
μεμάθηκε κωμάζειν ἄδειπνος.

Athenaeus 6, 243 c *Ἀντιφάνης ἐν Σκύθῃ κτλ.* 1. *εἰ δοκεῖ* Dindf. 2. *δᾷδα* Mein.] *καὶ δᾷδα* A. 3. lacunam indicavit Dindf. 4. *μεμάθηκε κωμάζειν* Casaub.] *μεμάθηκ' ἐγκωμάζειν* A.

1. Thucyd. 1, 3, 1 (*ἡ Ἑλλὰς*) *δοκεῖ μοι οὐδὲ τοὔνομα τοῦτο ξύμπασά πω εἶχεν.* Plat. Menex. 236 b *ὅτε μοι δοκεῖ συνετίθει τὸν ἐπιτάφιον λόγον.* verba *Χαιρεφῶν κτλ.* fortasse personae *A* tribuenda sunt. ad explendum v. 3 multa possunt excogitari. ceterum *Chaerephon* qui ab Antiphane commemoratur parasitus non confundendus est cum Socratis amico, mortuo ante Socratem (Plat. Apol. 21 a).

200

ταχὺ γὰρ γίνεται
κἀκκλησιαστὴς οἰκόσιτος.

Athenaeus 6, 247f *καλεῖται δ' οἰκόσιτος ὁ μὴ μισθοῦ ἀλλὰ προῖκα τῇ πόλει ὑπηρετῶν. Ἀντιφάνης Σκύθῃ κτλ.* 2. *κἀκκλ.*] *ἐκκλ.* A. *οἰκόσιτος* est qui domi cenat; deinde qui sine convivis cenat; deinde qui de suo patrimonio vivit; denique qui gratis aliquid facit. hic si recte Athenaeus vocem interpretatus est, sententia haec esse videtur: ut inopia Athenienses coegit ut sumptus publicos coercerent, mox etiam qui contionibus populi intersunt mercedem accipient nullam. ceterum nomen *ἐκκλησιαστής* comicis praeterea non fuisse in usu adnotavit Cobet. V. l.[2] 345. 6.

201

σαράβαρα καὶ χιτῶνας πάντες ἐνδεδυκότες.

Pollux 7, 59 *ἐν δὲ τοῖς Σκύθαις Ἀντιφάνης ἔφη κτλ. τὰ δὲ τοιαῦτα ὀνόματα μηνύειν με καὶ μὴ κρίνειν* (*probare*) *νόμιζε.* et 10, 168 *Ἀντιφάνης ἐν Σκύθαις ἢ Ταύροις κτλ.* Bekkerus utrubique sic ut scripsimus *ἐνδεδυκότες.* initio *καὶ* addendum esse, nisi *σαράβαρα* primam tertiamque producat, Meinekius admonet. Phot. *σαράβαρα· ἐσθὴς Περσική· ἔνιοι δὲ λέγουσι βρακία. σάραπις· χιτὼν Περσικὸς μεσόλευκος.* Hesych. *σαράβαρα· τὰ περὶ τὰς κνημῖδας* (*κνήμας?*) *ἐνδύματα.* et *σκέλεαι· τὰ τῶν σκελῶν σκεπάσματα. Πάρθοι σαράβαρα.* Lobeck. Pathol. prol. 112 '*σαράβαρα* quae eodem modo a Latinis scribuntur, derivata fortasse a vestimenti Persici nomine *σάραπις.*' cf. Tertullian. Pall. 4. Resurr. carn. 58. Gesenius סַרְבָּלִין.

ΣΤΡΑΤΙΩΤΗΣ Η ΤΥΧΩΝ

Cf. Meinek. I 336. Hesych. *Τύχων· ἔνιοι τὸν Ἑρμῆν, ἄλλοι δὲ τὸν περὶ Ἀφροδίτην.* Strab. 13, 588 *οὐδὲ γὰρ Ἡσίοδος οἶδε Πρίαπον, ἀλλ' ἔοικε τοῖς Ἀττικοῖς Ὀρθάνῃ καὶ Κονισάλῳ* (cf. Plat. com. 174, 12. 13) *καὶ Τύχωνι καὶ τοῖς τοιούτοις.* Diodor. 4, 6 *τοῦτον δὲ τὸν θεὸν* (*Πρίαπον*) *τινὲς μὲν Ἰθύφαλλον ὀνομάζουσι, τινὲς δὲ Τύχωνα.* Clement. Alex. Protrept. 10, 102 *τί γὰρ ἡγεῖσθε τὸν Τυφῶνα* (Meursius *Τύχωνα*) *Ἑρμῆν;* Etym. m. 773, 1 *Τύχων Τύχωνος· δαίμων ἐστὶ* (*τῶν*) *περὶ τὴν Ἀφροδίτην.* poterat tamen etiam miles ipse *Τύχων* adpellari, i. e. *Fortunae filius*: ut non reicienda videantur quae de hoc titulo et similibus Ritschelius disputavit Parerg. Plaut. 164. 5.

202

. . *ἐν Κύπρῳ φῆς, εἰπέ μοι, διήγετε*
πολὺν χρόνον; Β. τὸν πάνθ' ἕως ἦν ὁ πόλεμος.

Α. ἐν τίνι τόπῳ μάλιστα; λέγε γάρ. Β. ἐν Πάφῳ.
οὗ πρᾶγμα τρυφερὸν διαφερόντως ἦν ἰδεῖν
ἄλλως τ' ἄπιστον. Α. ποῖον; Β. ἐρριπίζετο
ὑπὸ τῶν περιστερῶν, ὑπ' ἄλλου δ' οὐδενός,
δειπνῶν ὁ βασιλεύς. Α πῶς; ἐάσας τἄλλα γὰρ
ἐρήσομαί σε τοῦθ'. Β. ὅπως; ἠλείφετο
ἐκ τῆς Συρίας ἥκοντι τοιούτῳ μύρῳ
καρποῦ σύχν' οἷόν φασι τὰς περιστερὰς
τρώγειν. διὰ τὴν ὀσμὴν δὲ τούτου πετόμεναι
παρῆσαν, οἷαί τ' ἦσαν ἐπικαθιζάνειν
ἐπὶ τὴν κεφαλήν· παῖδες δὲ παρακαθήμενοι
ἐσόβουν. ἀπαίρουσαι δὲ μικρόν, οὐ πολύ,
τοῦ μήτ' ἐκεῖσε μήτε δεῦρο παντελῶς,
οὕτως ἀνερρίπιζον, ὥστε σύμμετρον
αὐτῷ τὸ πνεῦμα, μὴ περίσκληρον, ποιεῖν.

Athenaeus 6, 257 d *Ἀντιφάνης ὁ κωμῳδιοποιὸς ἐν Στρατιώτῃ τὰ ὅμοια λέγει περὶ τῆς τῶν ἐν Κύπρῳ βασιλέων τρυφῆς. ποιεῖ δέ τινα ἀναπυνθανόμενον στρατιώτου τάδε κτλ.* et 258 b *οὐκ ἂν διαμάρτοι τις τὸν τοῦ μειρακίου τούτου τοῦ Κυπρίου βίον ὑγρὸν ὀνομάζων.* 1. *ἐν τῇ Κ.* Dindorf. quidni *ἀλλ' ἐν?* 5. *ἄλλως τ'* Dindf.] *ἄλλως γ'* A. 6. *δὲ* A. 7. *τἄλλα* B] *τἀμὰ* A. 8. *τοῦθ'· Β. ὅπως;* Cobet. N. l. 16] *τοῦτο· πῶς;* 10. *σύχν' οἷον* Porson.] *συχνοῦ ὂν* A. *σύχν' οὗπερ* Dobr. scr. *σύχν' οἵου* et v. 9 *τοιούτου.* 14. *ἀπαίρουσαι* Herwerd. Mnem. nov. VI 65] *ἐπαίρουσαι* A.

praeterea v. 12 scribo *ἰταμαί τ' ἦσαν ἐπικ.* cf. Alexid. 105, 3. 234, 5. 246, 4. de genetivo v. 15 Meinekius confert Heindorf. Plat. Gorg. 457 e. quamquam quae ille adfert exempla huic versui non omnia conveniunt.

203

ἐκ τῶν μαγειρείων βαδίζων ἐμβαλὼν
εἰς τοὔψον.

Pollux 9, 48 *καὶ μαγειρεῖα... ὁ τόπος, ὅθεν μισθοῦνται τοὺς μαγείρους, ὡς Ἀντιφάνης ἐν Στρατιώτῃ ὑποδηλοῦν ἔοικεν κτλ.*
ἐμβαλὼν] fort. *ἐνέβαλον.*

204

ὅστις ἄνθρωπος δὲ φὺς
ἀσφαλές τι κτῆμ' ὑπάρχειν τῷ βίῳ λογίζεται,
πλεῖστον ἡμάρτηκεν· ἢ γὰρ εἰσφορά τις ἥρπακεν

τἄνδοθεν πάντ', ἢ δίκῃ τις περιπεσὼν ἀπώλετο,
ἢ στρατηγήσας προσῶφλεν, ἢ χορηγὸς αἱρεθεὶς
ἱμάτια χρυσᾶ παρασχὼν τῷ χορῷ ῥάκος φορεῖ,
ἢ τριηραρχῶν ἀπήγξατ', ἢ πλέων ἥλωκέ ποι,
ἢ βαδίζων ἢ καθεύδων κατακέκοφθ' ὑπ' οἰκετῶν.
οὐ βέβαιον οὐδέν ἐστι, πλὴν ὅσ' ἂν καθ' ἡμέραν
εἰς ἑαυτὸν ἡδέως τις εἰσαναλίσκων τύχῃ.
οὐδὲ ταῦτα σφόδρα τι· καὶ γὰρ τὴν τράπεζαν ἁρπάσαι
κειμένην ἄν τις προσελθών· ἀλλ' ὅταν τὴν ἔνθεσιν
ἐντὸς ἤδη τῶν ὀδόντων τυγχάνῃς κατεσπακώς,
τοῦτ' ἐν ἀσφαλεῖ νόμιζε τῶν ὑπαρχόντων μόνον.

Athenaeus 3, 103e καὶ παρ' Ἀντιφάνει ἐν Στρατιώτῃ ἢ (ἢ om. A) Τύχωνι παραινέσεις εἰσφέρων ἄνθρωπος τοιοῦτός ἐστιν, ὃς φησιν κτλ. 1. δὲ φὺς] γεγὼς Valck. Eurip. Phoen. 1282. 5. ἢ χορηγὸς Casaub.] χορηγὸς A. 6. χρυσᾶ Grot. Excerpt. 627] καὶ χρυσια A. ῥάκκος A. 9. οὐθέν A. 10. εἰσαναλίσκων Casaub.] εἰσαναλίσκειν A. τύχῃ Pors.] τύχοι A. 11. οὐδὲ] κοὐδὲ? 13. τυγχάνῃς C] τυγχάνῃ A.

3. de perfecto consuetudinis, quod rarius quidem est aoristo, sed nequaquam inusitatum, cf. quae adnotavi ad Arist. Eq. 718. Anaxandr. 34. Alexid. 257. Theophil. 4. et infra v. 7. 8. 7. ἀπήγξατο 'propter sumptuum magnitudinem, qui totum saepe patrimonium funditus evertebant'. Casaub. ποι coniungendum cum participio πλέων, ἥλωκε, a praedonibus videlicet. 8. βαδίζων, in itinere, ut πλέων in navigatione. cum v. 13. 14 cf. Amphid. 8. Athen. 11, 478e πολλὰ μεταξὺ πέλει κοτύλης καὶ χείλεος ἄκρου. Cato cens. Gell. 13, 17 *saepe audivi inter os atque offam multa intervenire posse; verumvero inter offam atque herbam, ibi vero longum intervallum est.* 14. Eurip. Hec. 981 ἐν ἀσφαλεῖ γὰρ ἥδ' ἐρημία. Hippol. 785 τὸ πολλὰ πράσσειν οὐκ ἐν ἀσφαλεῖ βίου contulit Valck. addo Iph. T. 762 ἐν ἀσφαλεῖ γάρ. Heracl. 397 ἐν ἀσφαλεῖ τε τῆσδ' ἱδρύσεται χθονός. nusquam sic in eis quae exstant fabulis Aeschylus aut Sophocles, neque vero comici praeter hunc versum, non tamen cum Hirschigio (Ann. crit. 3) temptandum. Demosth. 19, 152. 262 contulit Cobetus Mnem. VII 66. 7. semel quod sciam Plat. Leg. 10, 892e.

205

τῶν ταὼν μὲν ὡς ἅπαξ τις ζεῦγος ἤγαγεν μόνον,
σπάνιον ὂν τὸ χρῆμα, πλείους εἰσὶ νῦν τῶν ὀρτύγων·
χρηστὸν ἄνθρωπον δ' ἐάν τις ἕνα μόνον ζητῶν ἴδῃ,
ὄψετ' ἐκ τούτου πονηροὺς πέντε παῖδας γεγονότας.

v. 1. 2 Athenaeus 9, 397 a *ὅτι σπάνιος οὗτος ὁ ὄρνις (ταῶς) δηλοῖ Ἀντιφάνης ἐν Στρατιώτῃ ἢ Τύχωνι λέγων οὕτως τῶν ταῶν — ὀρτύγων.* v. 1—4 idem 14, 654 e *τοσοῦτον γάρ ἐστι τὸ πλῆθος τούτων τῶν ὀρνίθων ἐν τῇ Ῥώμῃ, ὡς δοκεῖν προμεμαντευμένον τὸν κωμῳδιοποιὸν Ἀντιφάνην ἐν Στρατιώτῃ ἢ Τύχωνι εἰρηκέναι τάδε κτλ.* Eustathius 1035, 44 *ὁ κωμικὸς Ἀντιφάνης εἰπεῖν λέγεται ὅτι κτλ.* 1. *τῶν* A 397] *τὸν* A 654 et Eust., qui *μὲν* et *μόνον* omittit. *ταὼν* A. *ἅπαξ τις* A 654] *ἀπάξης* A 397. 2. *ὄν*] *ἦν* Casaub. *τὸ* om. Eust. *τι* Dobr. *πλείους* A 654] *πλείους δ'* A 397. 3. *δὲ ἄν* et *εἴδῃ* A. *χρηστὸν δὲ ἄνθρωπον ἐάν* Eust.

quod v. 1 G. A. Hirschigius Ann. crit. 3 temptabat *ἤγαγ' ἓν μόνον*, necessarium certe non est, quamquam adsentitur Cobet. N. l. 136.

ΤΙΜΩΝ

Egregius est de Timone locus Plutarch. Anton. 69. 70. cf. Arist. Av. 1549. Lys. 808. Phrynich. 18. Plat. com. 218 et quae ad Arist. Ran. 130 adnotant editores. hunc ipsum Timonem iam diu mortuum — fuit enim sub exitum belli Peloponnesiaci — significari et ex Antiphanis fabula potissimum Luciani dialogum expressum esse praeter Meinekium I 275. 327. 8 docuit Engerus Annal. Fleckeis. LXXVII 557.

206

ἥκω πολυτελῶς ἀγοράσας εἰς τοὺς γάμους,
λιβανωτὸν ὀβολοῦ τοῖς θεοῖς καὶ ταῖς θεαῖς
πάσαισι, τοῖς δ' ἥρωσι τὰ ψαίστ' ἀπονέμων.
ἡμῖν δὲ τοῖς θνητοῖς ἐπριάμην κωβιούς.
ὡς προσβαλεῖν δ' ἐκέλευσα τὸν τοιχωρύχον,
τὸν ἰχθυοπώλην, 'προστίθημι', φησί, 'σοὶ
τὸν δῆμον αὐτῶν· εἰσὶ γὰρ Φαληρικοί.'
ἄλλοι δ' ἐπώλουν, ὡς ἔοικ', Ὀτρυνικούς.

Athenaeus 7, 309 d *Ἀντιφάνης δ' ἐν Τίμωνι ἐπαινῶν τοὺς κωβιοὺς καὶ ὁπόθεν εἰσὶ κάλλιστοι δηλοῖ διὰ τούτων κτλ.* 3. *ψαῖστ'* (sic) C] *ψαιστὰ* A. *ἀπονέμων*] *ἀπονεμῶ* recte Cobet. V. l.[2] 400. 4. *θνητοῖσιν* et ut solet *κωβίους* A. 5. *δὲ* et *τοιχωρυχον* A. 6. *φησί* Casaub.] *φημί* A.

'cum in emendis gobiis iuberem piscarium *ἐπιδόσεως* loco aliquid adicere, ille *ego vero auctarii loco adicio gobiorum patriam: sunt enim Phalerici: quo nomine carius eos vendere debebam.* gobii enim Phalerici tantum ceteris praestare credebantur quantum Otrynici ab aliis vinci.' Casaub. *ὡς ἔοικε* per ironiam, *scilicet.* *οἱ Ὀτρυνῆς*, pagus *τῆς Αἰγηίδος*, noti ex [Demosth.] 44, 9. 35. 7. 8. 9. 44. 52. cf. Kirchhoff. I. A. 324 p. 175.

ΤΡΑΥΜΑΤΙΑΣ

207

μὴ μεστὰς ἀεὶ
ἕλκωμεν, ἀλλὰ καὶ λογισμὸς εἰς μέσον
παταξάτω τις, καί τι καὶ μελίσκιον,
στροφὴ λόγων παρελθέτω τις. ἡδύ τοι
ἐστὶν μεταβολὴ παντὸς ἔργου πλὴν ἑνός
. . . . . παραδίδου δ' ἑξῆς ἐμοὶ
τὸν ἀρκεσίγυιον, ὡς ἔφασκ' Εὐριπίδης.
Α. Εὐριπίδης γὰρ τοῦτ' ἔφασκεν; Β. ἀλλὰ τίς;
Α. Φιλόξενος δήπουθεν. Β. οὐδὲν διαφέρει,
ὦ 'τάν· ἐλέγχεις μ' ἕνεκα συλλαβῆς μιᾶς.

Athenaeus 10, 446 a *Ἀντιφάνης ἐν τῷ Τραυματίᾳ κτλ.* 1. *αἰεὶ* A. 2. *λογισμὸς*] *διάλογος* Herwerd. Mnem. nov. VI 65. scr. *λογίσκος, scrmunculus,* ut *μελίσκιον.* cf. *οἰνίσκος, οἰκίσκος.* 3. *παταξάτω*] *παραξάτω* Mein., quod verbum nimis est violentum. scr. *παρεισίτω.* cf. Nicostr. 4 et quae ad Eubul. 37 congessi. 4. *στροφὴ λόγων* Porson.] *στροφὴ* A. *ἡδύ τοι* Porson.] *ἡ αὐτὴ λέγων* A. *ἡδύ τι* Grot. Excerpt. 629. 5. *ἐστὶ* A. 6. *παραδίδου — ἀρκεσίγυιον* Athenaei verba esse indicat Dindorfius, post v. 5 plura excidisse censens. 7. *τὸν* Casaub.] *οἶνον* A. 9. *οὐθὲν* A. 10. *ὥταν ἐλέγχεις* A.

4. Clement. Alex. Strom. 6, 8, 70 *ἐπίσταται στροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων* confert Meinekius V 78, quod longe aliter dictum est. 5. *τὴν μεταβολὴν τοῦ ἡδέος εἰς τὸ ἐναντίον* non suavem esse recte interpretatur Valck. Diatr. 229, unde (nisi a *παραδίδου* alterum fragmentum incohandum est) facile suppleas *τοῦ γ' ἡδέος αὐτοῦ.* aliter Herwerd. Obs. crit. 10. 6. non bene Athenaeum suum intellexit Eustathius 1910, 48 *ὅτε καιρὸν ἡ πόσις ἔχει τοῦ οἴνου, τότε κατὰ τὴν Εὐριπίδειον μοῦσαν ἀρκεσίγυιός ἐστιν.* Bergkius eam vocem in Philoxeni fragmentis (17) inter *τὰ ἄδηλα εἴδη* recepit. mihi Antiphanes ita demum intellegi posse videtur, si Euripides re vera vinum, in cantico puto, *τὸν ἀρκεσίγυιον* (fort. *ἀερσίγυιον*) dixit. id epitheton alter tam alienum ducit poesi Euripidea, ut Philoxeno potius dignum iudicet.

208

κατεσκευασμένος
λαμπρότατον ἰατρεῖον εὐχάλκοις πάνυ
λουτηρίοισιν, ἐξαλείπτροις, κυλιχνίσιν,
σικύαισιν, ὑποθέτοισιν.

Pollux 4, 183 *ἐν Ἀντιφάνους Τραυματίᾳ καὶ ταῦτα τῶν ἰατρικῶν σκευῶν κτλ.* Pollux 10, 46 *καὶ τοῦτο τοὔνομα (λουτήριον)... ἐπὶ τῶν παρὰ τοῖς ἰατροῖς ἐκλούτρων ὀνομαζομένων Ἀντιφάνης ἐν Τραυματίᾳ κτλ.* 2. *εὐχάλκοις* Mein.] *ἐγχάλκοις* vel *εὐλάμπροις*.
3. Arist. Ach. 1063 *ὕπεχ' ὧδε τοὐξάλειπτρον.* Eq. 906 *ἐγὼ δὲ κυλίχνιόν γέ σοι καὶ φάρμακον δίδωμι.* Hesych. *κυλιχνίδες· ...ἄλλοι πυξίδας ἰατρικάς.* Phot. *κυλιχνίδα· τὴν ἰατρικὴν πυξίδα.* 4. de *σικύαις* cf. Eubul. 147. Cratet. 41. Arist. Pac. 542.

ΤΡΙΤΑΓΩΝΙΣΤΗΣ

Scriptam esse post Ol. 100, 1 ex fr. 209, 5 cognoscitur.

209

πολύ γ' ἐστὶ πάντων τῶν ποιητῶν διάφορος
ὁ Φιλόξενος. πρώτιστα μὲν γὰρ ὀνόμασιν
ἰδίοισι καὶ καινοῖσι χρῆται πανταχοῦ·
ἔπειτα τὰ μέλη μεταβολαῖς καὶ χρώμασιν
ὡς εὖ κέκραται. θεὸς ἐν ἀνθρώποισιν ἦν
ἐκεῖνος, εἰδὼς τὴν ἀληθῶς μουσικήν·
οἱ νῦν δὲ κισσόπλεκτα καὶ κρηναῖα καὶ
ἀνθεσιπότατα μέλεα μελέοις ὀνόμασιν
ποιοῦσιν ἐμπλέκοντες ἀλλότρια μέλη.

Athenaeus 14, 643 d *ὁ Κυθήριος Φιλόξενος, ὃν ἐπαινῶν Ἀντιφάνης ἐν τῷ Τριταγωνιστῇ φησιν κτλ.* 2. *πρώτιστα* Dobr. Adv. II 349] *πρῶτα* A. 3. *ἰδίοισι* Grotius Excorpt. 629] *ἰδίοις* A. *καινοῖσι* Grotius] *κοινοῖσι* A. *κοὐ κοινοῖσι* Bergk. ap. Mein. V 78. 4. *τὰ* add. Casaub. 5. *ἦν* A. 6. *τὴν ἀληθῶς* Grot.] *τ' ἀληθῶς* A. 7. *κισσόπλεκτα* Mein.] *κισόπληκτα* A. consulto formis non vulgaribus utitur. 8. *ἀνθεσιπότατα* Elmsl. Arist. Ach. 1151] *ἀνθεσιπότατά τε* A. *flores circumvolitantia* apum instar. *μέλεα* epitheton est, non substantivum. perstringit lyricos, quod ex sola rerum natura imagines petant. *μέλεα μελιπτέρωτα Μοισᾶν* poeta apud Athen. 14, 633 a.

ΤΥΡΡΗΝΟΣ

Antiphanis et Axionici fabulis hoc nomine inscriptis lucem adforre videtur ad quem Meinekius V 78 relegat Athenaeus 13, 607 f *οἶδα δὲ καὶ Πολύστρατον τὸν Ἀθηναῖον, μαθητὴν δὲ Θεοφράστου, τὸν ἐπικαλούμενον Τυρρηνόν, ὅτι τῶν αὐλητρίδων τὰ ἱμάτια περιέδυε.* erat enim is mos Tyrrhenorum. Timaeus Athen. 12, 517 d *παρὰ δὲ Τυρρηνοῖς... αἱ θεράπαιναι γυμναὶ τοῖς ἀνδράσι διακονοῦνται.*

210

ἀρετὴ τὸ προῖκα τοῖς φίλοις ὑπηρετεῖν.
B. λέγεις ἔσεσθαι τὸν Τιθύμαλλον πλούσιον·
εἰ πράξεται γὰρ μισθὸν ἐκ τοῦ σοῦ λόγου
παρ' οἷς ἐδείπνει προῖκα, συλλέξει συχνά.

Athenaeus 6, 240 f Ἀντιφάνης Τυρρηνῷ κτλ. 1. ἀρετὴ Erfurdt. Obs. 447] ἄρετη A. 2. τὸν add. Schweigh. 3. εἰ πράξεται Cobet. N. l. 14] εὐπράξεται A. ἐσπράξεται Casaub. 4. συλλέξει Dindf.] συλλέξειν A. συχνά Cobet.] συχνήν A. praeterea scribendum est παρ' οἶσι δειπνεῖ. παρ' οἷς τε δειπνεῖ Dindorf. — verba personae *B* non satis concinunt cum v. 1.

de *Tithymallo* agit Athenaeus toto cap. 38 libri 6.

211

δήμου δ' Ἁλαιεύς ἐστιν. *B.* ἓν γὰρ τοῦτό μοι
τὸ λοιπόν ἐστι, καὶ κακῶς ἀκούσομαι.
A. τί δῆτα τοῦτο; *B.* θρᾶτταν ἢ ψῆττάν τιν' ἢ
μύραιναν ἢ κακόν τί μοι δώσει μέγα
5 θαλάττιον.

Athenaeus 7, 329 e ὅτι δὲ θρᾶτταν ἔλεγον τὸ θαλάττιον ἰχθύδιον..παρίστησι...καὶ Ἀντιφάνης ἐν Τυρρηνῷ κτλ. 1. τῶν | δήμων Herwerd. Obs. crit. 51. ἁλαιευς sino acc. A. ἓν ἄρα — ἔτι λοιπὸν ἦν, ὅτι καὶ Herwerd. 2. ἐστιν A. ἐστιν, εἰ Naber. Mnem. nov. VIII 52. an ἐστ' εἰ καὶ? 4. δώσει] θήσει ('an μ' ὀνομάσει?') Herwerd. Stud. crit. 84. 5.

Ἁλαί pagus est τῆς Αἰγηίδος, et Ἁλαιεύς Kirchhoff. I. A. 157. 188. 230. 237. Ἁλαιεῖς fabula est Menandri. 'videtur poeta mulierculam induxisse pisces vehementer aversantem et Halaeensi civi, apud quos multam piscium capturam fuisse constat, invito animo nubentem'. Mein. '*muraena* ponitur a Graecis in convicio. Aesch. Cho. 994. Arist. Ran. 477', item 'ψῆττα... Lysistr. 115. Plat. com. 106. nihil certius quam mulierem...respondere, se ab illo, quippe Halaeensi, identidem cognomento aliquo ex eo genere...lacoratum iri.' Herwerd. Stud. crit. 84. 5. de θράττῃ cf. Archipp. 27. mihi non liquet.

ΤΑΡΙΑ

Intellegenda videtur urna ei similis, de qua Horat. Serm. 2, 6, 10.

212

οὗτος δ' ὃν λέγω
ἐν γειτόνων αὐτῷ κατοικούσης τινὸς

ἰδὼν ἑταίρας εἰς ἔρωτ' ἀφίκετο,
ἀστῆς, ἐρήμου δ' ἐπιτρόπου καὶ συγγενῶν,
ἦθός τι χρυσοῦν πρὸς ἀρετὴν κεκτημένης,
ὄντως ἑταίρας· αἱ μὲν ἄλλαι τοὔνομα
βλάπτουσι τοῖς τρόποις γὰρ ὄντως ὂν καλόν.

Athenaeus 13, 572 a Ἀντιφάνης Ὑδρίᾳ (ὕδρα A) κτλ. 2. ἐν rectissime Sauppius Epist. G. Herm. 107] ἐκ. 6. αἱ Dindf.] ἃ A. ἄλλαι VL] ἄλλοι A. 7. ον A. — de particula γάρ insolentius conlocata cf. 26, 22. ceterum ex v. 4 cognoscitur non omnes ἑταίρας fuisse peregrinas: quod moneo propter Schoemann. Ant. gr.[2] I 535.

213

Athenaeus 3, 104 a καὶ παρ' Ἀντιφάνει δὲ ἐν Στρατιώτῃ ἢ Τύχωνι παραινέσεις εἰσφέρων ἄνθρωπος τοιοῦτός ἐστιν, ὅς φησιν... (fr. 204). τὰ αὐτὰ εἴρηκε καὶ ἐν Ὑδρίᾳ.

ΤΙΠΝΟΣ

Alexidi plerumque tribuitur, Antiphani Athen. 13, 572 b. cf. Alexidis fab. cogn. — fr. 331 dubitans huc refert Meinekius, 315 Halbertsma.

ΦΑΩΝ

Dubium utrum fabulosus ille Sapphus amator an famelicus quidam Pythagorista, de quo cf. Alexid. 221, 15, comoediae nomen dederit. Meinek. I 323.

214

στρώματα,
κλίνας, τύλας.

Pollux 7, 192 Ἀντιφάνης ἐν Φάωνι κτλ. et 10, 40 ἐν δὲ Ἀντιφάνους Φάωνι κατὰ τὴν κοινὴν χρῆσιν ἔστιν εὑρεῖν τὰς τύλας, στρώματα, κλίνας, τύλας.

ΦΙΛΕΤΑΙΡΟΣ

Non nomen proprium, sed quod novae comoediae indoli magis convenit, adpellativum esse videtur. Meinek. I 326. Toeppel. Progr. Neobr. 1867, 10. cf. Δημήτριος ἢ Φιλέταιρος Alexidis, Φιλέταιρος Amphidis, Φιλέταιροι Hegesippi.

215

κομψός γε μικρὸς κρωμακίσκος οὑτοσὶ
γαλαθηνός.

Athenaeus 9, 396 ed *Ἀντιφάνης Φιλεταίρῳ κτλ.* *οὗτοσὶ* Schweigh.] *οὗτος* A. *κρωμακίσκος* ab Antiphane scriptum esse non potest: nam *κρώμαξ* est saxorum congeries vel *grumus*. Nauckius Philol. VI 417 *κωραλίσκος*, porcellum laute adparatum intellegens. qui quomodo *puerulus* dialecto dorica dici debuerit non adsequor. mihi *γρυλακίσκος* (a *γρῦλος*, *γρῦλαξ*) scribendum videtur. cf. Bekker. Anecd. 33, 1. Herodian. I 154, 22. II 488, 36. sunt autem permulta in *ᾱξ* desinentia minus usitata. Lobeck. Paral. 276 sq. Pathol. prol. 446 sq. si ut fieri solebat scribebatur *γρυλλακίσκος*, id facile in id quod praebet A transire poterat.

ΦΙΛΙΣΚΟΣ

Fortasse *Philiscus* ille Abydenus, qui ab Ariobarzane cum grandi pecunia in Graeciam missus (Xenoph. Hellen. 7, 1, 27. Diodor. 15, 70) tanta apud Athenienses floruit gratia, ut et civitatem ei donarent et statuam aeneam ponerent, sed post nequissima facinora Lampsaci interfectus est. Demosth. 23, 141. 2. 3. 202. quae coniectura si vera est, adparet fabulam scriptam esse circiter Ol. 103. ceterum fuit etiam Alexidis *Philiscus*.

216

σκεῦός (τι) ὁλοσίδηρον

ὡς ἐν Ἀντιφάνους Φιλίσκῳ. Pollux 10, 176.

ΦΙΛΟΘΗΒΑΙΟΣ

Sicuti antea multi fuerant Athenis qui Spartiatarum habitum moresque imitarentur, sic tum multi ad Thebanorum consuetudines se componebant. eos inrideri sententia est Meinekii I 486 adn. 14.

217

πάντ' ἔστιν ἡμῖν· ἥ τε γὰρ συνώνυμος
τῆς ἔνδον οὔσης ἔγχελυς Βοιωτία
τμηθεῖσα κοίλοις ἐν βυθοῖσι κακκάβης
χλιαίνετ', αἴρεθ', ἕψεται, παφλάζεται,
5 *προσκάεθ'· ὥστε μηδ' ἂν εἰ χαλκοῦς ἔχων*
μυκτῆρας εἰσέλθοι τις, ἐξελθεῖν πάλιν
εἰκῇ· τοσαύτην ἐξακοντίζει πνοήν.
Β. λέγεις μάγειρον ζῶντα; Α. πλησίον δέ γε
ταύτης ἄσιτος ἡμέραν καὶ νύχθ' ὅλην
10 *κεστρεύς, λοπισθείς . . . πασθείς, στραφείς,*
χρωσθείς, ὁμοῦ τι πρὸς τέλος δρόμου περῶν,

σίζει κεκραγώς, παῖς δ' ἐφέστηκε ῥανῶν
ὄξει, Λίβυς τε καυλὸς ἐξηρασμένος
ἀκτῖσι θείαις σιλφίου παραστατεῖ.
15 Β. εἶτ' οὐκ ἐπῳδούς φασιν ἰσχύειν τινές;
ἐγὼ γὰρ ἤδη τρεῖς ὁρῶ μασωμένους,
σοῦ ταῦτα συστρέφοντος. Α. ἥ τε σύννομος
τῆς κυφονώτου σῶμ' ἔχουσα σηπίας,
ξιφηφόροισι χερσὶν ἐξωπλισμένη
20 τευθὶς μεταλλάξασα λευκαυγῆ φύσιν
σαρκὸς πυρωτοῖς ἀνθράκων ῥαπίσμασιν,
ξανθαῖσιν αὔραις σῶμα πᾶν ἀγάλλεται,
δείπνου προφήτην λιμὸν ἐκκαλουμένη.
. . . . . ὥστε γ' εἴσιθι·
25 μὴ μέλλε, χώρει· δεῖ γὰρ ἠριστηκότας
πάσχειν, ἐάν τι καὶ παθεῖν ἡμᾶς δέῃ.

Athenaeus 14, 622 f πάντ' ἔστιν ἡμῖν, κατὰ τὸν ἥδιστον Ἀντιφάνην, ὃς ἐν τῷ Φιλοθηβαίῳ φησίν ἥ τε κτλ. v. 1—4 idem 4, 169 c Ἀντιφάνης δ' ἐν Φιλοθηβαίῳ κτλ. 3. τμηθεῖσα 623 A] μιχθεῖσα 169 A. 4. αἱρεθέξεται A 623. 5. μηδανεῖ χαλκεὺς A. 10. λοπισθείς C] λεπισθείς. Phot. λοπίζειν· οὐ λεπίζειν. cf. Aristophan. fr. 135. Antiph. 128. Cobet. N. l. 12. 14, qui paullo post ἁλσὶ πασθείς, ἐκστραφείς. malim ἁ λ σ ὶ κ α τ α π α σ θ ε ί ς, σ τ ρ α φ ε ί ς. πασθείς C et epit. Hoesch.] σπασθείς A. καταπλυθείς add. Casaub. ἐκπλυθείς Dobr. 11. τέλος Mein.] τέλος μέρος A. 12. σίζει C] ἥξει A. ᾄδει Dobr. παῖς τ' Cobet. ρανων A. 14. παραστρατεῖ A. 15. ἐπῳδὰς Cobet. 17. σύννομον (σῶμα) Herwerd. Nov. add. crit. 22. 18. κυφονώτου Toup. Emend. III 121] κουφονώτου A. σῶμ'] σχῆμ' Koppiers. Observ. 57. σηπίας C] σηπία A. 21. πυρωτοῖς A. πυρωποῖς Mein. ῥιπίσμασιν Abresch. 22. αὐγαῖς Porson. 24. ὥστε γ' A. ὥστ' C. proclive est supplere τοιαῦτά σοι ταῦτ' ἔστιν· ὥστε γ' εἴσιθι.

2. 'nomen puellae fortasse fuit Κωπαῖς'. Mein. Anal. Ath. 299. immo Enchelys, aptissimum meretricis cognomen. 5. προσκάεται iniuria suspectum Meinekio: comice enim id quod cavendum erat ne fieret eis quae fieri debebant addit. 8. tam egregium coquum negat usquam inter vivos reperiri posse. 11. χρωσθείς, '*fried brown*' Dobr. 12. ῥανῶν, aceto *conspersurus*, scil. ubi piscem ab igne removerit. Dorio Ath. 7, 309 f (Mein.) στρέφοντα δὲ (φησὶ δεῖν) ἀλείφειν καὶ ὑποπάσσειν ἁλὶ ὀλίγῳ, ἀφελόντα δὲ ὄξει ῥᾶναι. 13. 14. i. e. caulis et folia laserpitii iuxta posita sunt. Plin. N. h. 19, 45 *folia* (laserpitii) *aurei coloris*. 46 *probatio sinceri prima in colore modice rufo et cum frangitur candido intus, mox*

translucente. 15. 'servus ero dicit se alicunde parasse unde cenent *οἱ τρεῖς* (16), adulescens, amica et ipse servus. miratus adulescens eum adloquitur ut magum et incantatorem.' Dobr. 'et sunt qui nihil posse incantatores putent.' Dalecamp. Cobetus ut suam coniecturam (*ἐπῳδάς*) probet confert Plat. Charmid. 155 e *εἶπον ὅτι τὸ φάρμακον εἴη φύλλον τι, ἐπῳδὴ δέ τις ἐπὶ τῷ φαρμάκῳ εἴη, ἣν εἰ μέν τις ἐπᾴδοι ἅμα καὶ χρῷτο αὐτῷ, παντάπασιν ὑγιᾶ ποιοῖ τὸ φάρμακον· ἄνευ δὲ τῆς ἐπῳδῆς οὐδὲν ὄφελος εἴη τοῦ φύλλου.* ita coquus cibis *ῥῆσιν* suam quasi quandam incantationem addit, ut efficiant quod vult. 17. 'in verbo *συστρέφοντος* ioci cardo est. ut enim magi torto rhombo homines vinciunt, sic coquus' torto obelo. Iacobs. Addit. 334. 19. *ξιφηφ. χ.* dicit anteriores manus in modum ensium prominentes. Schweigh. 22. Meinekius confert Verg. Aen. 6, 204 *discolor auri aura refulsit.*

4. utique scribendum videtur *αἴθεθ'*: nam inter *τὸ χλιαίνεσθαι* et *ἕψεσθαι* anguilla non tollitur, sed *infervescit.* elatiori autem orationi id verbum egregie accommodatum est. 11. piscem comparat cum cursore, qui non multum abest quin metam attingat.

218

οὐ δεινόν ἐστι προσφάτους μὲν ἂν τύχῃ
πωλῶν τις ἰχθῦς, συναγαγόντα τὰς ὀφρῦς
τοῦτον σκυθρωπάζοντά θ' ἡμῖν προσλαλεῖν,
ἐὰν σαπροὺς κομιδῇ δέ, παίζειν καὶ γελᾶν;
τοὐναντίον γὰρ πᾶν ἔδει τούτους ποιεῖν·
τὸν μὲν γελᾶν, τὸν δ' ἕτερον οἰμώζειν μακρά.

Athenaeus 6, 225 f *Ἀντιφάνης... ἐν Φιλοθηβαίῳ φησίν κτλ.* 2. *συναγαγόντα* Grotius Excerpt. 631] *συνάγοντα* A. 4. *κομιδῇ δὲ* Schweigh.] *δὲ κομιδῆι* A.

Fortasse ex Philothebaeo etiam fr. 276 excerptum erat.

ΦΙΛΟΚΤΗΤΗΣ

Fuit etiam Strattidis *Philocteta.* cf. huius editionis I 724. Antiphontis potius tragoediam significari putat Meinekius I 314. 16. cf. Nauck. Tr. gr. 615. 16. ex *Philotide* nomen corruptum esse idem Meinekius suspicatur III 129. Sophocli denique tribuit. Bergkius Ztschr. f. Alt. 1855 p. 110.

219

σοφόν γέ τοί τι πρὸς τὸ βουλεύειν ἔχει
τὸ γῆρας, ὡς δὴ πόλλ' ἰδόν τε καὶ παθόν.

Stobaeus Floril. 115, 15 *Ἀντιφάνους ἐκ Φιλοκτήτου.* *Ἀντι-*

φάνους A] *Σοφοκλέ.* Trinc. et Vind. 1. *ἔχει*] *πέλει* Voss. pr., quo deleto *ἐστί. ἐστί* Trinc. *τοῦστι πρ. τ. β. καλῶς* Bergk. 2. *παθόν* A] *μαθόν.*

ΦΙΛΟΜΗΤΩΡ

Philometorem et *Philopatorem* unam eandemque comoediam fuisse proclivis est coniectura. sed ut Philometori unice aptum est fr. 220, ita Philopatorem quodammodo Turpilii fabula cognominis tuetur. Mein. I 313. 14. O. Ribbeck. Com. Rom. fr.[2] p. 107 sq. ceterum etiam Posidippi *Philopator* fuit.

220

ἔμμητρον ἂν ᾖ τὸ ξύλον, βλάστην ἔχει.
μητρόπολίς ἐστιν οὐχὶ πατρόπολις πόλις.
μήτραν τινὲς πωλοῦσιν ἥδιστον κρέας.
Μητρᾶς ὁ Χῖός ἐστι τῷ δήμῳ φίλος.

Athenaeus 3, 100 d *μνημονεύει τῆς μήτρας καὶ Ἀντιφάνης ἐν Φιλομήτορι οὕτως κτλ.* 1. *ἔνμητρον ἐὰν* A. 2. in exitu *πόλις* add. Mein. 4. *Μητρᾶς* (i. e. *Μητρόδωρος*) Mein.] *μήτρας.*

Theophr. H. pl. 1, 6, 5 *ἅπασαι δ' (αἱ ῥίζαι) ἔμμητροι.* Caus. pl. 5, 17, 2 *τὰ ξύλα τὰ ἔμμητρα διαστρέφεται κατειργασμένα ἤδη μέχρι οὗ ἂν τελέως ἀναξηρανθῇ.* 2. *Μητρόπολις* et *Πατρόπολις* Meinekius. at non opus est nomine proprio: siquidem is qui loquitur matri plus quam patri verecundiae deberi comice exemplis demonstrat. sic *μητρόπολιν* urbem dici ex qua coloniae deducantur, non *πατρόπολιν.* 4. '*Metrodorum* Chium, Anaxarchi Abderitae Ol. 110 clari magistrum commemorat Diog. L. 9, 58.' Mein. *Μητρόδωρος ὁ Χῖος ἐν Τρωικοῖς* Athen. 4, 184 a. *περὶ φύσεως* Cic. Acad. 2, 23, 73.

ΦΙΛΟΠΑΤΩΡ

Cf. *Philopator* Posidippi et Sexti Turpilii. O. Ribbeck. Com. Rom. fr.[2] p. 107.

221

γεγάμηκε δήπου. Β. τί σὺ λέγεις; ἀληθινῶς
γεγάμηκεν, ὃν ἐγὼ ζῶντα περιπατοῦντά τε
κατέλιπον;

Athenaeus 13, 559 d *Ἀντιφάνης ἐν Φιλοπάτορι κτλ.* Eustathius 1552 init. *τῶν τις παλαιῶν φίλον χθὲς μὲν ἄζυγα σήμερον δὲ γυναικὶ ἐκδοθέντα οἰκτισάμενος, οἴμοι, ἔφη, χθὲς ἔζη, ὡς δῆθεν σήμερον τεθνεώς.* 1. *τί σὺ* Dobr.] *σὺ τί* A. 2. *τε* add. Koppiers. ex Eustathii verbis forsitan aliquis conligat v. 2 scribendum esse *τέθνηκεν, ὃν κτλ.* — si forte senex fuit de quo loquitur poeta, optime convenit fabulae Turpilianae fr. 1.

ΦΙΛΩΤΙΣ

Alciphr. 1, 36, 4 commemoratur *μακαρία Φιλῶτις*, meretrix. Plut. Rom. 29 *θεράπαινα Φιλωτίς*.

222

οὐκοῦν τὸ μὲν γλαυκίδιον ὥσπερ ἄλλοτε
ἕψειν ἐν ἅλμῃ φημί. Α. τὸ δὲ λαβράκιον;
Β. ὀπτᾶν ὅλον. Α. τὸν γαλεόν; Β. ἐν ὑποτρίμματι
ζέσαι. Α. τὸ δ' ἐγχέλειον; Β. ἅλες, ὀρίγανον,
5 *ὕδωρ. Α. ὁ γόγγρος; Β. ταὐτόν. Α. ἡ βατίς; Β. χλόη.*
Α. πρόσεστι θύννου τέμαχος. Β. ὀπτήσεις. Α. κρέας
ἐρίφειον; Β. ὀπτόν. Α. θάτερον; Β. τἀναντία.
Α. ὁ σπλήν; Β. σεσάχθω. Α. νῆστις; Β. ἀπολεῖ μ' οὑτοσί —

Athenaeus 14, 662 b *Ἀντιφάνης ἐν Φιλώτιδι τὴν σοφίαν τῶν μαγείρων ἐμφανίζων φησίν κτλ.* et 7, 295 d *ὁ δ' αὐτὸς (Ἀντιφάνης) ἐν Φιλώτιδι καὶ ταῦτα λέγει κτλ.* (desunt tria verba extrema).
1. *γλαυκίδιον* A 295] *γλυκίδιον* A 662. 2. *ἕψειν* A 295] *ἕλειν* A 662. *φημί* om. A 295. cf. Cobet. N. l. 19. 3. 4. *ἐν ὑποτρίμματι ζέσαι* Casaub.] *ἐνυποτριμματίζεσθαι* A 295. *ἐν ὑποτρίμματι ζέσθαι* A 662. *ἐγχέλειον* Schweigh.] *ἐγχέλιον* A utrubique. *ἅλες* A 295] *ἅλας* A 662. 5. *ταυτον* A 295. 6. *ὀπτήσεις* A 295] *ὀπτῆσ εἰς* A 662. 7. *ἐρίφειον* A 295] *ἐρίφιον* A 662.

erus coquo de convivio adparando properans et quam brevissime praecipit. 7. '*haedi caro assa esto: caro altera autem,* i. e. agnina (nam opponuntur vulgo *τὰ ἐρίφεια τοῖς ἀρνείοις*), *elixa.*' Coraes. at *θάτερον κρέας* usquam dici posse carnem agninam et *τἀναντία* esse carnem elixam prorsus incredibile est. scr. *Α. τἀρνίον; Β. ταγηνιεῖς* (ut antea *ὀπτήσεις*). fort. etiam pro *ὀπτόν* scribendum est *ὄπτα*. 8. 'quamvis nostro palato *lien* nec farctus nec nudus admodum sapiat, aliter iudicarunt veteres; apud quos etiam torreri et nescio quo condimento parari solitum reperias. Athen. 3, 149 f. ut hic sic etiam 3, 96 c coniunctim nominantur *σπλήν* et *νῆστις*.' Schweigh.

ΦΡΕΑΡΡΙΟΣ

Sic semper inscriptiones vetustiores. Harpocrat. *Φρεάρριος ... ἔστι δὲ δῆμος τῆς Λεοντίδος.* Steph. Byz. *Φρέαροι* (sic RV) *δῆμος Ἀθήνησι τῆς Λεοντίδος φυλῆς, ἀπὸ Φρεάρου Ἀθήνησιν ἐπισήμου ἥρωος. ὁ δημότης Φρεάριος. τὰ τοπικὰ Φρεαρόθεν, Φρεαρόνδε, Φρεαροῖ.* cf. Lys. 21, 8. Isae. 5, 5. Demosth. 18, [84].

223

στακτὴ δυοῖν μναῖν· οὐκ ἀρέσκει μ' οὐδαμῶς.

Athenaeus 15, 691 d *Ἀντιφάνης ἐν Φρεαρρίῳ* (*φρεαρρω* A) *στακτῆς τοῦ μύρου μνημονεύων φησί κτλ.* antea permagno venire istud unguentum Athenaeus narraverat, minis quinque et decem; itaque quae loquitur mulier eo quod duabus minis emptum erat nequaquam contenta est.

ΧΡΥΣΙΣ

Meretrix sine dubio. 'quae si eadem est quam commemorat Menander (288 Mein.), Antiphanea fabula postremis poetae dramatis accensenda est.' Meinek. I 328. Caecilii Statii fabula erat *Chrysion*. O. Ribbeck. Com. Rom. fr.[2] p. 39. quamquam nihil inpedit quominus *Χρῦσις* scribamus idque nomen ipsius illius sponsi aureos montes possidentis esse statuamus, qui fr. 224 commemoratur. Chrysis Corinthius est Thuc. 2, 33.

224

τῷ σατραποπλούτῳ δ', ὡς λέγουσι, νυμφίῳ,
κεκτημένῳ τάλαντα, παῖδας, ἐπιτρόπους,
ζεύγη, καμήλους, στρώματ', ἀργυρώματα,
φιάλας, τριήρεις, τραγελάφους, καρχήσια,
5 *γαυλοὺς ὁλοχρύσους — Β. πλοῖα; Α. τοὺς κάδους μὲν οὖν*
καλοῦσι γαυλοὺς πάντες οἱ προγάστορες.

Athenaeus 11, 500 e *Ἀντιφάνης Χρυσίδι* (*Χρύσιδι* A) *κτλ.* 1. *τῷ σατραποπλούτῳ* Dobr. Adv. II 335] *σαπροπλούτῳ* A. 2. *ἐπιτρόπους* corruptum. 4. etiam *τριήρεις* et *τραγέλαφοι* poculorum sunt genera. cf. Athen. 500 f et Epinic. 2, 8. Eubul. 48. Alexid. 106. 5. Hesych. *γαυλοί· καὶ τὰ Φοινικικὰ πλοῖα γαῦλοι καλοῦνται... τινὲς δὲ καὶ τὰς χύτρας γαυλοὺς καλοῦσι.* etiam v. 6 altera pars corrupta est. *ὡς προγάστορας?*

225

τέτταρες δ' αὐλητρίδες
ἔχουσι μισθὸν καὶ μάγειροι δώδεκα,
καὶ δημιουργοὶ μέλιτος αἰτοῦσαι σκάφας.

Athenaeus 4, 172 c *ὅτι δὲ ἐκεχώριστο τὰ τῆς ὑπουργίας, πεμμάτων μὲν προνοουσῶν τῶν δημιουργῶν, ὀψαρτυτικῆς δὲ τῶν μαγείρων, Ἀντιφάνης διεσάφησεν ἐν Χρυσίδι οὕτως κτλ.* v. 3 Eustathius 1858, 53. 2. *δώδεκα*] *ιβ* A. 3. *αἰτεῦσαι* Eust. Hesych. *δημιουργός·...λέγεται δὲ καὶ γυνὴ δημιουργός, ἡ ἐν τοῖς γάμοις*

(τὰ) πέμματα πέσσει. indignatur erus quod ad placentas conficiendas mulieres totos alveos mellis poscant. de coquis apud Athenienses cf. Philyll. 10. Alexid. 129.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

226. 227

τὸ δεῖπνόν ἐστι μᾶζα κεχαρακωμένη
ἀχύροις, πρὸς εὐτέλειαν ἐξωπλισμένη,
καὶ βολβὸς εἷς τις καὶ παροψίδες τινές,
σόγχος τις ἢ μύκης τις ἢ τοιαῦθ' ἃ δὴ
5 δίδωσιν ἡμῖν ὁ τόπος ἄθλι' ἀθλίοις.
τοιοῦτος ὁ βίος, ἀπύρετος, φλέγμ' οὐκ ἔχων.
Β. οὐδεὶς κρέως παρόντος ἐσθίει θύμον,
οὐδ' οἱ δοκοῦντες πυθαγορίζειν
. . . . . .
τίς γὰρ οἶδ' ἡμῶν τὸ μέλλον ὅ τι παθεῖν
10 πέπρωθ' ἑκάστῳ τῶν φίλων; ταχὺ δὴ λαβὼν
ὄπτα μύκητας πρινίνους τουσδὶ δύο.

Athenaeus 2, 60c Ἀντιφάνης τὸ δεῖπνον — πυθαγορίζειν. καὶ προελθών· τίς γὰρ κτλ. v. 11 Herodian. I, 61, 3 σημαίνει δὲ (ὁ μύκης) καὶ τοὺς ἀμανίτας τοὺς περὶ τὰ δένδρα γινομένους, ὡς παρὰ Ἀντιφάνει· ὄπτα μύκητας πρινίνους τούσδε δύο. 60, 30 μύκητά τε καὶ μύκην. cf. II 639, 17. 679, 1. Choerob. Bekker. Anecd. 1399 post verba ex Herodiano exscripta, ὡς παρὰ Ἀριστοφάνει ὀπτὰς μύκητας πρίνιν δύο. fallitur Dindorfius Aristoph. fr. p. 205, n. 496. 3. τις add. Grot. Excerpt. 637. 9. τίς γὰρ κάτοιδ' ἡμῶν κτλ. Mein. Anal. Ath. 32.

conloquitur Pythagorista aliquis cum adversario eius disciplinae, cuius verba sunt v. 7. 8. itaque non recte Meinekius cum Dobraeo Adv. II 298 v. 7. 8 tamquam alterum fragmentum a superioribus separavit. 10. τῶν φίλων, ut omnes Pythagorei inter se amici sunt.

228

τοῦ δ' ἄν τις ἄλλου πρὸς θεῶν, τίνος εἵνεκα
εὔξαιτο πλουτεῖν εὐπορεῖν τε χρημάτων,
ἢ τοῦ δύνασθαι παραβοηθεῖν τοῖς φίλοις,
σπείρειν τε καρπὸν Χάριτος ἡδίστης θεῶν;
5 τοῦ μὲν πιεῖν γὰρ καὶ φαγεῖν τὰς ἡδονὰς
ἔχομεν ὁμοίας· οὐχὶ τοῖς λαμπροῖσι δὲ
δείπνοις τὸ πεινῆν παύεται.

Athenaeus 1, 3f Ἀντιφάνης φησίν. 1. τοῦ δ' ἄν Porson.]

τοῦ δὲ γάρ CD. *τοῦ δέ γάρ* B. *τίνος εἵνεκα* K.] *οὕνεκα* BD. *περ οὕνεκα* VL, unde Iacobsius et Porsonus, quamquam *περ* in nullo codice est, effinxerunt *πάτερ, οὕνεκα*. 3. *παραβοηθεῖν* L] *περιβοηθεῖν* V. 5. *καὶ*] *καὶ τοῦ* B. 6. *οὐχὶ — δὲ* Porson.] *οὐχὶ δὲ — γάρ*. 7. non recte Herwerdenus Nov. add. crit. 22 proposuit *μόνοισι δείπνοισιν τ. π. π.*: nam epitheto *λαμπροῖσι* cum vi praeposito satis indicatur non in magnificentia epularum satiandi potestatem sitam esse. totius autem sententiae summa haec est: divitiarum voluptatem in auxiliandi facultate, non in edendi bibendique licentia cerni. — v. 4 ex tragoedia excerptus est.

229. 230

οὗτοι δὲ τὰ δεῖπνα τῶν ἐν τῇ πόλει
ἀφορῶσι . . καὶ πέτονται δεξιῶς
ἐπὶ ταῦτ' ἄκλητοι . . .
οὓς . . ἐκ κοινοῦ . .
ἔδει τρέφειν τὸν δῆμον, ἀεί θ' ὥσπερ
Ὀλυμπίασί φασι ταῖς μυίαις ποιεῖν
βοῦν τοῖς ἀκλήτοις προκατακόπτειν πανταχοῦ.

Athenaeus 1, 4. 5 *οὗτοι δὲ — ἄκλητοι, Ἀντιφάνης φησί. καὶ ἐπάγει: οὓς ἐκ κοινοῦ — πανταχοῦ*. 1. *οὗτοι*] *οὔτ* B. *οὗτοι δὲ τῶν ἐν τῇ πόλει | τὰ δεῖπν' ἀφορῶσι* Salmasius. *οὗτοι δὲ πρὸς τὰ δ. τῶν ἐν τῇ π. | ἀφορῶσιν ἀεὶ καὶ* Meinekius. *τῶν ἐν τῇ πόλει | λαμπρῶν* vel *λιπαρῶν ἀφορῶσι* K. 3. *ταῦτ'*] *ταῦτα* codices. *ἄκλητοι*] *ἄκλητος* CD. 6. *Ὀλυμπίασι* Schweigh.] *Ὀλυμπιάσι*. 5. *ὡσπερεὶ* Salmas. *ὅπερ* Dobr. et verbis *οὓς ἐκ κοινοῦ — τὸν δῆμον* Antiphani abiudicatis Meinek. in Ath.

'ait poeta bonum factum fore, si parasiti isti' publice 'alantur fiatque illis quod solet muscis Olympiae; hoc est ut non prius ineantur ab iis qui volunt una esse convivia, quam in gratiam parasitorum bovem mactaverint.' tamquam bos in muscarum gratiam sit mactatus. Casaub., adlato Plin. N. h. 29, 107 *eo mirabilius est Olympiae sacro certamine nubes earum* (muscarum) *immolato tauro deo quem Myioden vocant extra territorium id abire.* addit Schweighaeuserus Aelian. De nat. an. 5, 17 *ἱερείων γοῦν (Ὀλυμπίασι) καταθυομένων τοσούτων καὶ αἵματος ἐκχεομένου καὶ κρεμαμένων κρεῶν αἱ δὲ (μυῖαι) ἀφανίζονται ἑκοῦσαι καὶ τοῦ γε Ἀλφειοῦ περαιοῦνται εἰς τὴν ἀντιπέρας ὄχθην . . . καὶ παρὰ τὸν τῶν ἄθλων χρόνον ἀπαλλάττονται.* cf. 11, 8. Paus. 5, 14, 2. Antiphanis iocum pro vero venditat Eustathius 1454, 24.

231

τὸ δὲ
ζῆν εἰπέ μοι τί ἐστι; τὸ πίνειν φήμ' ἐγώ.

ὁρᾷς παρὰ ῥείθροισι χειμάρροις ὅσα
δένδρων ἀεὶ τὴν νύκτα καὶ τὴν ἡμέραν
5 βρέχεται μέγεθος καὶ κάλλος οἷα γίνεται,
τὰ δ' ἀντιτείνονθ' οἱονεὶ δίψαν τινὰ
ἢ ξηρασίαν σχόντ' αὐτόπρεμν' ἀπόλλυται.

Athenaeus 1, 22 f *Ἀντιφάνης λέγει κτλ.* Eustath. 1612, 15 *καὶ Ἀντιφάνους ἀπορίαν 'τὸ δὲ ζῆν εἰπέ μοι, τί ἐστιν'; ἧς λύσις 'τὸ πίνειν φήμ' ἐγώ'. καὶ παρῳδίαν ἐκείνην ἐκ τῶν τοῦ Σοφοκλέους· ὁρᾷς κτλ.* (Sophocl. Antig. 712 sq.) 2. *τὸ* ante *πίνειν* cum Meinekio delendum. 7. *σχόντ'* Grotius] *ἔχοντ'*. *αὐτόπρεπον* Eustath. recte Iacobsius Addit. Ath. 14 omnia uni personae continuat: alii *B. τὸ πίνειν κτλ.* participium *σχών* rarius invenitur: Soph. El. 551. Eurip. Hel. 469. Antiphont. 5, 67.

232

ἆρ' ἔστι λῆρος πάντα πρὸς τὸ χρυσίον·
μόνου γὰρ αὐτοῦ διαμένειν εἴωθ' ἀεὶ
τὸ χρῶμα ταὐτό· τῶν φίλων δὲ τοὺς τρόπους
οὐδέποθ' ὁμοίως ζωγραφοῦσιν αἱ τύχαι.
5 πλοῦτος δὲ βάσανός ἐστιν ἀνθρώπου τρόπων.
ὅταν εὐπορῶν γὰρ αἰσχρὰ πράττῃ πράγματα,
τί τοῦτον ἀπορήσαντ' ἂν οὐκ οἴει ποιεῖν;

Stobaeus Floril. 91, 14 *Ἀντιφάνους* A. v. 6. 7 Stobaeus Floril. 2, 3 *Antiphanis* Gesner. Apostol. 13, 13 n (Leutsch) *Ἀντιφάνους*. Antonius Mel. II p. 7, 27 ed. Gesn. addito Antiphanis nomine. 2. *αὐτοῦ* A] *ἀεὶ*. *εἴωθ' ἀεὶ*] *εἴωθε δὴ* Valcken. 3. *ταὐτό* B] *δ' αὐτό*. 4. *ὁμοίους* Cobet. N. l. 137. 5. *ἀνθρώπου*] *ἀνθρώποις* B. *ἀνθρώπῳ* Herwerd. Obs. crit. 53. 6. *ὅς ἂν* Cobet. *γὰρ*] *τις* Stob. 2, 3 et Apost. *πράττῃ*] *τις πράττῃ* A. *ὅταν εὐπορῶν γὰρ αἰσχρά τις πράττῃ, λέγε* Mein. 7. *τοῦτον* A] *τούτων* Voss. *ἀπορήσαντα πράξειν προσδοκᾷς* Stob. 2, 3 et Apostol., nisi quod hic *εὐπορήσαντα*. v. 5 post 7 conlocat O. Hense Lect. Stob. 45, v. 6. 7 ac fortasse etiam v. 5 a reliquis separandos et tria fragmenta discernenda esse opinio est Meinekii. neutrum credo. sententia haec est: aurum praeter cetera petendum: solum enim semper eundem colorem servat. ac praeterea quasi obrussa quaedam est morum hominis: nam ubi cet.

233

ὁ διδοὺς τὸν ὅρκον τῷ πονηρῷ μαίνεται·
τοὐναντίον γὰρ νῦν ποιοῦσιν οἱ θεοί.

ἐὰν ἐπιορκήσῃ τις αὐτούς, εὐθέως
ὁ διδοὺς τὸν ὅρκον ἐγένετ' ἐμβρόντητος, ὡς
5 οἶμαι δικαίως, ὅτι πεπίστευκέν τινι.

Stobaeus Floril. 27, 8 Ἀντιφάνους A. Ἀντιφῶντος Trinc. 2. νῦν] πᾶν Herwerd. Obs. crit. 53, conl. fr. 218, 5 3. αὐτούς A] αὐτός. 4. διδοὺς] δοὺς Cobet. Mnem. VIIII 116. cf. quae ad Arist. Nub. 1421 congessimus exempla.

sententia verborum, quae quoniam non plena est non facile intellegitur, haec esse videtur. credebatur a deis puniri qui peieraret. hoc olim forsitan verum fuerit: *nunc* (νῦν) dei prorsus contra faciunt: puniunt enim non eum qui peierat, sed eum qui homini periuro iusiurandum permittit: itaque quisquis id facit insanire recte dicitur.

234

σφαῖραν λαβὼν
τῷ μὲν διδοὺς ἔχαιρε, τὸν δ' ἔφευγ' ἅμα,
τοῦ δ' ἐξέκρουσε, τὸν δ' ἀνέστησεν πάλιν,
κλαγκταῖσι φωναῖς . . . . . .
5 ἔξω, μακράν, παρ' αὐτόν, ὑπὲρ αὐτόν, κάτω,
ἄνω, βραχεῖαν ἀπόδοσιν ἐγκαταστρέφει.

Athenaeus 1, 14. 15 διηγεῖται δὲ τὴν φαινίνδα παιδιὰν οὕτως Ἀντιφάνης κτλ. ἐκαλεῖτο δὲ φαινίνδα ἀπὸ τῆς ἀφέσεως (?) τῶν σφαιριζόντων. 3. ἐξέκρουσε] ἐξέκρουσεν B. scribendum videtur ἐξέκρουεν, nam ἀνέστησεν quidem manifesto corruptum est. 5. ὑπὲρ αὐτόν C, om. cod. Corsel. 6. βραχεῖαν] ταχεῖαν Schott. ἐγκαταστρέφει] καταστρέφει Porson. ἀπόδος, ἐγκαταστρέφει Dobr. Adv. II 293. '*give me back a short ball*'. ἐγκαταστρέφου *tuo te loco tene*. Mein.

Cn. Naevii Tarentillae fr. 2 contulit O. Ribbeck. Com. Rom. fr.[2] p. 19. 20. quamquam satis diversa est utriusque eclogae ratio. — 3. '*huius ex manibus pilam excussit*'. Mein. 5. 6. imperare is qui loquitur alteri videtur quomodo pila iacienda sit. Pollux 9, 165 ἡ δὲ φαινίνδα (ἐν σφαίρᾳ παιδιά) εἴρηται...ὅτι ἑτέρῳ προδείξαντες ἑτέρῳ ῥίπτουσιν, ἐξαπατῶντες τὸν οἰόμενον (ἐναντιούμενον?). — cf. 283.

235

κρύψαι, Φειδία,
ἅπαντα τἄλλα τις δύναιτ' ἂν πλὴν δυοῖν,
οἶνόν τε πίνων εἰς ἔρωτά τ' ἐμπεσών.
ἀμφότερα μηνύει γὰρ ἀπὸ τῶν βλεμμάτων
5 καὶ τῶν λόγων ταῦθ'· ὥστε τοὺς ἀρνουμένους
μάλιστα τούτους καταφανεῖς ποιεῖ.

Athenaeus 2, 38 b *Ἀντιφάνης κτλ.* v. 1—3 Eustathius 1770, 8. 2. *ἅπαντα* VL] *πάντα* BCD. 3. *τε πίνων*] *θ' ὑποπιὼν* Herwerd. Obs. crit. 51. *πεπωκὼς* G. A. Hirschig. Ann. crit. 4. sed *πίνων* utpote de consuetudine dictum recte se habet. 6. *καταφανεῖς αὐτοὺς ποιεῖν* Schweigh. *τοῦτο καταφανεῖς πᾶσιν ποιεῖν* Mein. *ἀρνουμένους μάλιστα μάλιστα τοῦτο* Cobet. N. l. 36.

236

ἐξ Ἤλιδος μάγειρος, ἐξ Ἄργους λέβης,
Φλιάσιος οἶνος, ἐκ Κορίνθου στρώματα,
ἰχθῦς Σικυῶνος, Αἰγίου δ' αὐλητρίδες,
τυρὸς Σικελικός,
5 *μύρον ἐξ Ἀθηνῶν, ἐγχέλεις Βοιώτιαι.*

Athenaeus 1, 27 d *Ἀντιφάνης που ὁ χαρίεις τὰ ἐξ ἑκάστης πόλεως ἰδιώματα οὕτω καταλέγει κτλ.* Eustathius 974, 54 *Ἀντιφάνης τὸν ἐξ Ἤλιδος μάγειρον, τὸν ἐξ Ἄργους λέβητα, τὰς ἐξ Αἰγίου αὐλητρίδας καὶ ἄλλα ἐπάγει· μύρον κτλ.* 1. *ἄργου* B. 3. *σικυώνιος.* 5. *ἐγχέλεις* Dindf.] *ἔγχελυς.* in Athenaei ed. v. 4 post 5 conlocat Mein.

cf. fr. 193. neque vinum Phliasium neque tibicinas ex Aegio conductas alibi usquam commemorari memini.

237

ἄλλοι δὲ καὶ δὴ βακχίου παλαιγενοῦς
ἀφρῷ σκιασθὲν χρυσοκόλλητον δέπας
μεστόν, κύκλῳ χορεῦον, ἕλκουσι γνάθοις
ὁλκοῖς ἀπαύστοις, παντελῶς ἐστραμμένον
5 *τἄνω κάτω δεικνύντες.*

Athenaeus 11, 781 e *ποτήριον τορνευτόν. καὶ τορευτὰ Ἀντιφάνης κτλ.* 2. *σκιασθὲν* Valcken. Callim. fr. p. 258] *σκιὰ καὶ.* an *σκεπασθὲν*? 3. *γνάθοιν* Mein. Anal. Ath. 213. 4. *ἐστραμμένον* Villebrun] *ἐστραμμένοις.*

3. pro *χορεῦον*, cum Athenaeus pocula *τορευτά* ab Antiphane commemorari testetur, necessario scribendum *τορευτόν.* 4. melius *ὁλκαῖς ἀπαύστοις*, denique *τετραμμένου τἄνω κάτω δ.*: *exhaustum* enim poculum *invertitur*, ut *τὰ ἄνω* fiant *κάτω.* orationis genus prorsus est tragicum, ut apud Alexid. 119.

238

ὠνείδισάς μοι γῆρας ὡς κακὸν μέγα,
οὐ μὴ τυχόντι θάνατός ἐσθ' ἡ ζημία,

οὐ πάντες ἐπιθυμοῦμεν, ἂν δ' ἔλθῃ ποτέ,
ἀνιώμεθ'· οὕτως ἐσμὲν ἀχάριστοι φύσει.
5 [τοῦ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ.]

Stobaeus Floril. 115, 9 Κράτητος ἐξ Ἀντιφάνους A Voss. cf. Meinek. I 62. II 247. 8. 1. γῆρας] τὸ γῆρας Voss. 2. οὐ Gesner] ὦ. θάνατος δ' A. v. 5 Sophocli tribuitur Stob. 116, 39, Acrisio Sophoclis (63 Nauck.) Stob. 119, 7. imitationem Ciceronis Cat. mai. 2 '*senectus, quam ut adipiscantur omnes optant, eandem accusant adeptam: tanta est stultitiae inconstantia et perversitas*' indicavit M. Hauptius Opusc. III 380. cf. etiam fr. 94.

239

οὐδεὶς τὰ πατρῷά πω γέρων κατεδήδοκεν,
ἀλλ' οὐδὲ κατεμώρανεν, οὐδ' ἐλύσατο
πορνίδιον, οὐδὲ θυροκοπῶν ὤφλεν δίκην.
οὕτω τὸ γῆρας σωφρονοῦν οὐκ εὐτυχεῖ.

Stobaeus Floril. 116, 26 Ἀντιφάνους Voss. desunt versus in A. 1. κατεδήδωκεν Voss. 2. ἐλύσατο, *ex servitute.* — sequebatur apud poetam disputatio, cur in tanta modestia tamen senectus misera esset. fallitur enim Herwerdenus Stud. crit. 82. κατεμώρανεν, cf. Eubul. 54.

240 a. b

σφόδρ' ἐστὶν ἡμῶν ὁ βίος οἴνῳ προσφερής·
ὅταν ᾖ τὸ λοιπὸν μικρόν, ὄξος γίνεται.
πρὸς γὰρ τὸ γῆρας ὥσπερ ἐργαστήριον
ἅπαντα τἀνθρώπεια προσφοιτᾷ κακά.

Stobaeus Floril. 116, 13. 14. utrubique Ἀντιφάνους A. coniunxit haec ad unum fragmentum Meinekius in comicorum editione utraque, separavit in Stob. v. 3. 4 etiam Arsenius Viol. 129. 1. σφόδρ' Mein.] σφόδρα τί. ἡμῶν ὁ βίος A] ὁ βίος ἡμῶν. comparat Grotius Anthol. Pal. II 43 ἂν περιλειφθῇ μικρὸν ἐν ἄγγεσιν ἡδέος οἴνου, εἰς ὀξὺ τρέπεται τοῦτο τὸ λειπόμενον. οὕτω ἀπαντλήσας τὸν ὅλον βίον, εἰς βαθὺ δ' ἐλθὼν γῆρας ὁ πρεσβύτης γίνεται ὀξύχολος. 3. ὡς πρὸς Cobet V. l.[2] 163 sq. '*graecum* est ἐπὶ τὴν ἡδονὴν ὥσπερ ἐπὶ τὸν τοῦ ἐλέου βωμὸν καταφυγεῖν, si transpones, praepositio non repetitur: ὥσπερ ἐπὶ τὸν τοῦ ἐλέου βωμὸν τὴν ἡδονὴν καταφυγεῖν'. Cobeti hanc esse legem, non Atticorum, quamquam nubem testimoniorum congerit, tria docebunt exempla: Isocr. 15, 160 ὑπὲρ τοῦ μὴ πλουτεῖν ὥσπερ τῶν μεγίστων ἀδικημάτων ἀπολογίαν δεῖ παρασκευάζεσθαι. Arist. Av. 538 κατεσκέδασαν τοῦτο καθ' ὑμῶν αὔων ὥσπερ κενεβρείων. Nub. 947 ὥσπερ ὑπ' ἀνθρηνῶν ὑπὸ τῶν γνωμῶν ἀπολεῖται. ἐργαστήρια Athenis sunt

opificum tabernae, quo *omnes* Athenienses accedere solebant. apte Cobetus contulit Lys. 24, 20.

241

δέσποιν', ὅταν τις ὀμνύοντος καταφρονῇ,
ᾧ μὴ σύνοιδε πρότερον ἐπιωρκηκότι,
οὗτος καταφρονεῖν τῶν θεῶν ἐμοὶ δοκεῖ
καὶ πρότερον ὀμόσας αὐτὸς ἐπιωρκηκέναι.

Stobaeus Floril. 27, 5 *Ἀντιφάνους* A. 2. *ἐπιωρκ.* B| *ἐπιορκ.* 4. *ἐπιωρκ.* Gaisf.] *ἐπιορκ.* — cf. Amphid. 42.

242

πάρεστιν ὄψον χρηστόν, ἐπαγωγὸν πάνυ,
οἶνός τε Θάσιος καὶ μύρον καὶ στέμματα·
ἐν πλησμονῇ γὰρ Κύπρις, ἐν δὲ τοῖς κακῶς
πράσσουσιν οὐκ ἔνεστιν Ἀφροδίτη βροτοῖς.

Athenaeus 1, 28 f *Ἀντιφάνης κτλ.* *πάρεστιν* Iacobs. Addit. 26] *ἔστιν.* v. 3. 4 non recte a prioribus separavit Dindorfius, quia 6, 270 c *ex Euripide* (fr. 887) excerpsit *ἐν πλησμονῇ τοι Κύπρις, ἐν πεινῶσι δ' οὔ*, ubi Nauckius plurimas eius sententiae imitationes congessit. Antiphanem quoque eclogam Euripideam expressisse facile cognoscitur et ex priore nominis *Κύπριν* syllaba producta (ut Eubul. 67, 8) et ex tragica forma *πράσσουσιν* v. 4. cf. Mein. Anal. Ath. 13, 14, qui recte iudicat posteriores versus Athenaeum prorsus inepte optimorum vinorum enarrationi interpositurum fuisse, si non cum duobus prioribus cohaererent.

243. 244

βίος θεῶν γάρ ἐστιν ὅταν ἔχῃς ποθὲν
τἀλλότρια δειπνεῖν μὴ προσέχων λογίσμασιν.
Β. μακάριος ὁ βίος· δεῖ μ' ἀεὶ καινὸν πόρον
εὑρεῖν ὅπως μάσημα ταῖς γνάθοις ἔχω.

Athenaeus 1, 8 d *Ἀντιφάνης δέ φησι βίος — λογίσμασιν. καὶ πάλιν μακάριος κτλ.* *ὁ βίος· δεῖ* Mein.] *ᾧ βίος ᾧ δεῖ* CD. *μάκαρς ὁ βίος· οὐ δεῖ* Casaub. 3. *μ'*] *δ'* Dobr. 4. *εὑρεῖν ὅπως* Mein.] *εὑρίσκειν ὡς. εὑρεῖν ἔμ' ὡς* Dobr. Adv. II 293. de sententia Meinekius comparavit Apollodor. Caryst. 5, 15. sermo est concertantium inter se, quorum alter per ironiam dicit parasitorum vitam scilicet felicissimam esse, cum semper novae machinae sint excogitandae cet. alterius verba Athenaeus in solutam orationis formam mutavit. poeta ni fallor *μ. ὁ β., ᾧ γε δεῖ καινῶν ἀεὶ | πόρων, ὅπως κτλ.*

245

ἐς μακαρίαν τὸ λουτρόν, ὡς διέθηκέ με
ἐφθὸν κομιδῇ πεποίηκεν, ἀποκναίσειεν ἂν
κἂν ὀστισοῦν μου λαβόμενος τοῦ δέρματος.
οὕτω στερεόν τι πρᾶγμα θερμόν ἐσθ' ὕδωρ.

Athenaeus 1, 18 c (τῶν βαλανείων) τὸ βλαπτικὸν Ἀντιφάνης δηλοῖ κτλ. 1. ἐς Mein.] εἰς. 2. πεποίηκεν B] πεποίηκ'. ἀποκναίσειεν] ἀποκνίσειεν C. 3. κἂν Porson.] καὶ. 4. τι add. Casaub.

Hellad. Phot. Bibl. 535, 2 οἱ Ἀττικοὶ κατά τι πάτριον ἔθος οὐ χρῶνται τῇ ει διφθόγγῳ ἐν τῷ λέγειν ἐς κόρακας ἢ ἐς μακαρίαν, ἀλλ' ἄνευ τοῦ διχρόνου ἐκφωνοῦσι τὴν πρόθεσιν. (Mein.) — cf. Arist. Eq. 1151 cum mea adn. et Lehrs. Popul. Aufs. 344 adn. versu 4 non poetae, sed Athenaei verba contineri videntur. στερεόν certe corruptum.

246

μεταλλάξαι διάφορα βρώματα
ἔσθ' ἡδύ, καὶ τῶν πολλάκις θρυλουμένων
διάμεστον ὄντα τὸ παραγεύσασθαί τινος
καινοῦ, παρέσχε διπλασίαν τὴν ἡδονήν.

Athenaeus 2, 45 a μεταλλάξαι βρώματα διάφορά ἐσθ' ἡδύ, φησὶν Ἀντιφάνης κτλ. 1. τὸ γὰρ μεταλλάξαι διάφορα βρ. Casaub.] μ. βρ. διάφορα. 2. θρυλ. Dindf.] θρυλλ. 4. παρέσχε διπλ. τ. ἡδ. Schweigb.] διπλ. π. τ. ἡδ. Porson. Adv. 106 διπλ. γὰρ π. ἡδ.

Anaxipp. 1, 4 οὗτοι (οἱ μάγειροι) τὰ μὲν παλαιὰ καὶ θρυλούμενα ἀρτύματ' ἐξήλειψαν ἐκ τῶν βυβλίων.

247

τὸ γὰρ πεπαιδεῦσθαι, μόνον ἄν τις τοῦτ' ἔχῃ,
ἀληθές ἐστι καὶ τὸ τῶν ἀδικημάτων
μὴ λαμβάνειν τὰς ἀξίας τιμωρίας,
ἐλεεῖν δὲ πάντως.

Stobaeus Floril. Gaisf. IIII append. ms. Florent. p. 34 Ἀντιφάνους. 1. ἔχῃ Mein.] ἔχοι. 2. καὶ παρ' ἠδικηκότων H. Iacobi V CLXXV. ἐλεεῖν H. Iacobi] ἐλεῖν. cf. Cobet. V. l.[2] 16. quae H. Iacobi V 79 proposuit nullius sunt pretii. bene idem contulit Demosth. 21, 12 εἰς τοσοῦτον ἀφῖχθε φιλανθρωπίας..ὥστε καὶ τῶν πρότερον γεγενημένων ἀδικημάτων τὸ λαμβάνειν δίκην ἐπέσχετε. ac similiter Philem. 88, 14. v. 2 utique εὔηθές ἐστι scribendum est. dixerat quispiam humanum esse inimicis ignoscere. respondet alter non semper ita se babere: humanitatem enim per se solam, si iustitia et severitate careat, nimiamque ignoscendi facilitatem stolidam esse.

ἐλεεῖν πάντως, *usquequaque ignoscere.* de sententia cf. etiam Menand. 531. 569 Mein.

248

τί φῄς; . . . ἐνθάδ' οἴσεις τι καταφαγεῖν
ἐπὶ τὴν θύραν, εἶθ' ὥσπερ οἱ πτωχοὶ χαμαὶ
ἐνθάδ' ἔδομαι . . . καί τις ὄψεται;

Athenaeus 2, 163 ed. Dind. *Ἀντιφάνης κτλ.* cum fr. 249 in solo C exstat, edidit primus Koppiers. Observ. phil. 58. 1. *τὸ δεῖπνον ἐνθάδ' οἴσεις καταφ.* Herwerd. Obs. crit. 53. 3. scribendum videtur *ἐνθάδ' ἐδόμεσθα* (sic Naber. Mnem. nov. VIII 54) *καὶ παριών τις ὄψεται*; cf. Aristoph. fr. 474.

249

εὐτρεπίζετε
ψυκτῆρα, λεκάνην, τριπόδιον, ποτήριον,
χύτραν, θυΐαν, κάκκαβον, ζωμήρυσιν.

Athenaeus 2, 163 ed. Dind. *ὁ αὐτὸς (Ἀντιφάνης) κτλ.* 1. *εὐτρεπίζετε* Bothius] *εὐτρέπιζε.* 2. *ποτήριον* Ruhnken] *πότερον. πτερόν* Bergk. *σπόγγον, πτερόν* Mein. ed. mai. 3. *θυΐαν* Mein.] *θυείαν. ψυκτήρ* notus ex Plat. Symp. 213 extr., ubi cf. schol. et Ruhnk. Tim. 278. 9.

250

ὡς δυστυχεῖς, ὅσοισι τοῦ κέρδους χάριν
ἐπίπροσθε τἀσχρὰ φαίνετ' εἶναι τῶν καλῶν.
ἐπισκοτεῖ γὰρ τῷ φρονεῖν τὸ λαμβάνειν.

Stobaeus Floril. 16, 12 *Ἀντιφάνους* A. *Ἀντιφῶντος* Trinc. 1. *ὡς* A] *ὦ.* 2. *τἀσχρὰ* Mein. in Stob.] *ταἰσχρὰ.*

251

ἐγὼ γυναικὶ δ' ἕν τι πιστεύω μόνον,
ἐπὰν ἀποθάνῃ μὴ βιώσεσθαι πάλιν,
τὰ δ' ἄλλ' ἀπιστῶ πάνθ' ἕως ἂν ἀποθάνῃ.

Stobaeus Floril. 73, 48 *Ἀντιφάνους* A. *Ἀντιφώνου* Trinc. 3. *ἂν* add. A Voss. Trinc. — Herwerdeno Obs. crit. 54 v. 3, Meinekio in praef. Stob. ultima verba *πάνθ' κτλ.* suspecta sunt, cuius suspicionis idoneam causam non video.

252

ὀφθαλμιῶν ἄνθρωπος ἰσχυρῶς, κακὰ
πάμπολλα πάσχων, ἓν ἀγαθὸν πάσχει μόνον,
ὅτι οὐχ ὁρᾷ γυναῖκα τοῦτον τὸν χρόνον.

Stobaeus Floril. 73, 52 *Ἀντιφάνους* A. Arsenius Viol. 129. 3. *ὅτι* Mein.] *ὅτ'* A. *ὅταν* Voss.

253

τί φῄς; λαθεῖν ζητῶν τι πρὸς γυναῖκ' ἐρεῖς
τὸ πρᾶγμα; καὶ τί τοῦτο διαφέρειν οἴει
ἢ πᾶσι τοῖς κήρυξιν ἐν ἀγορᾷ φράσαι;

Stobaeus Floril. 74, 9 *Ἀντιφάνους* A. *γυναῖκ'* Porson. Adv. 304] *γυναῖκα. ἐρεῖς*] *ἔρις* A. 2. *διαφέρειν οἴει* Porson.] *διαφέρει. λίαν διαφέρει* B.

254

μάλιστα δ' ἐκπλήττει με τῶν συνειδότων
ὁ χρόνος, ὃν ἀεὶ λανθάνειν ἀμηχανῶ.

Stobaeus Eclog. phys. 1, 8, 5 *Ἀντιφάνους* 'sic A ut videtur'. Gaisf. 1. *με* add. VAE. 2. *ἀμηχανῶν* V.

255

τὸ γῆρας ὥσπερ βωμός ἐστι τῶν κακῶν·
πάντ' ἔστ' ἰδεῖν εἰς τοῦτο καταπεφευγότα.

Stobaeus Floril. 116, 15 *τοῦ αὐτοῦ* (*Ἀντιφάνους*) A. Arsenius Viol. 130. 2. *ἰδεῖν γὰρ* Arsen. — v. 1 scribendum est *ὥσπερ ὅρμος ἐστί*, conl. quem attulit Meinekius Bion. Diog. L. 4, 48 *τὸ γῆρας ἔλεγεν ὅρμον εἶναι τῶν κακῶν· εἰς αὐτὸ γοῦν πάντα καταφεύγειν.*

256

ὦ γῆρας, ὡς ἅπασι τοῖς ζητοῦσί σε
ψέγειν ἀφορμὰς παραδίδως τοῦ πράγματος.

Stobaeus Floril. 116, 16 *Ἀντιφάνους* A. 1. *ὡς*] *ὅσας* Cobet. N. l. 138. 2. *ψέγειν*] *λέγειν* B.

257

οἴμοι τάλας, ὡς ἄδικον ὅταν ἡ μὲν τύχη
λίπῃ τινὸς τὴν τάξιν, ὁ δὲ τρόπος μένῃ.

Stobaeus Floril. 107, 5 *Ἀντιφάνους* A. om. Trinc. 2. *μένῃ* Gaisf.] *μένη* A.

258

καλῶς πένεσθαι μᾶλλον ἢ πλουτεῖν κακῶς·
τὸ μὲν γὰρ ἔλεον, τὸ δ' ἐπιτίμησιν φέρει.

Stobaeus Floril. 97, 1 *Ἀντιφάνους* A. Arsen. Viol. 138. v. 1

Menand. monost. 300. Gnomol. Byzant. Wachsmuth. (Stud. z. d. gr. Gnom.) 192 *οὐ τὸ πένεσθαι αἰσχρόν, ἀλλὰ τὸ κακῶς εὐπορεῖν.*

259

ὁ δὲ πλοῦτος ἡμᾶς, καθάπερ ἰατρὸς κακός,
πάντας βλέποντας παραλαβὼν τυφλοὺς ποιεῖ.

Stobaeus Floril. 93, 20. Arsenius Viol. 129. coniuncti cum duobus Menandri versibus (fr. 600 Mein.) *Ἀντιφάνους* esse dicuntur in cod. A et Arsen. Viol., *Ἀριστοφάνους* Trinc. cf. 328. Clemens Alex. Strom. 4, 5, 24 *ἔμπαλιν δὲ Ἀντιφάνης ὁ κωμικός, ὁ πλοῦτος, φησί, πλέον θάτερον* (*θατέρου* Sylb.) *βλέποντας παραλαβὼν τυφλοὺς ποιεῖ.* 2. *πάντως* Mein. ed. mai. *βλ. π. τ. π.* Clem.] *τυφλοὺς βλ. π. πάντας ποιεῖ* Stob. 'nisi forte praestat *πλέον τι θατέρου βλέποντας παραλαβὼν* | *τυφλοὺς ποιεῖ* Mein. ed. min. Cic. Lael. 15, 22, 54 *non enim sola ipsa Fortuna caeca est, sed eos etiam plerumque efficit caecos quos complexa est.* (Mein.)

260

υἱῷ γὰρ ἀγαπητῷ τι πράττων πρὸς χάριν
ἔρανον ἐμαυτῷ τοῦτον οἴομαι φέρειν.

Stobaeus Floril. 83, 19 *Ἀντιφάνους* A. om. Trinc.

261

ὅστις δ' ἐρυθριᾷ τηλικοῦτος ὢν ἔτι
πρὸς τοὺς ἑαυτοῦ γονέας, οὐκ ἔστιν κακός.

Stobaeus Floril. 79, 7 *Ἀντιφάνους* A. falso apud Stobaeum coniunctum cum 262 et 263. non praetereundum est *γονέᾶς.*

262

ὅστις γὰρ ὁμόλογόν τι μὴ ποιεῖ πατρί,
πάντων ἂν οὗτος κατεφρόνησε τῶν θεῶν.

Stobaeus Floril. 79, 7. cf. fr. 261. *ὁμόλογόν*] *ὁμολογῶν* A. *ποιεῖ* Gesn. marg.] *ποιῇ.* *κατεφρόνησε*] *καταφρονήσαι* Mein. — insanabilem esse locum edicit Cobet. N. l. 614. scribendum est *ὅστις δ' ἂν εὖ λέγοντι μὴ πεισθῇ πατρί*, conl. Soph. Ant. 723. 725. 771. 1031. 2. 1255.

263

τοῦ γὰρ πατρὸς κρατεῖν μὲν αἰσχύνην φέρει,
ἡττημένῳ δὲ δόξα νικητήριος.

Stobaeus Floril. 79, 7. cf. fr. 261. 2. *ἡττημένῳ*] *ἡσσημένῳ.*

hoc fragmentum a duobus superioribus iam separavit Grotius. tragico attribuit Nauck. Tr. gr. p. 723 (459). in A perporam v. 2 *Φιλήμονος* praefigitur, cuius proximum est fragmentum. nihil ego video causae cur Antiphani abiudicetur. *νικητήριον* 55, 3.

264

μὴ ὄμμασιν τὸ σῶμα λαμπρύνειν θέλε,
ἔργοις δὲ καθαροῖς καὶ τρόποις τὴν καρδίαν.

Stobaeus Floril. 74, 3 *Ἀντιφάνους* A. *ὄμμασιν*] *χρώμασιν* Gesner. Grot. *ῥύμμασιν* Iacobs. Addit. Athen. 348, in Lect. Stob. tamen p. 115 Gesnero adsentiens. non ab Antiphane, sed a Christiano homine confectos esse hos versus 'quovis pignore' contendit Herwerdenus Obs. crit. 54. quod quamquam probat Meinekius praef. Stob. XIII, ego quidem non credo, nihil hic reperiens quod non etiam a 'quovis pagano' scriptum esse possit. *ὄμμασιν* tamen mutandum est in *βάμμασιν*. Arist. Acb. 112. Pac. 1174. 6. Plat. Leg. 12, 956 a.

265

δούλῳ γὰρ οἶμαι πατρίδος ἐστερημένῳ
χρηστὸς γενόμενός ἐστι δεσπότης πατρίς.

Stobaeus Floril. 62, 9 *Ἀντιφάνους* A. om. Trinc. 1. *δούλῳ*] *δοῦλος* AB. 2. *δεσπότης πατρίς*] *δ' ἔπος τῆς πατρίδος* AB.

266

τίς δ' οὐχὶ θανάτου μισθοφόρος, ὦ φιλτάτη,
ὃς ἕνεκα τοῦ ζῆν ἔρχετ' ἀποθανούμενος;

Stobaeus Floril. 53, 9 *Ἀντιφάνους* A. 1. *μισθοφόρος* Grot.] *μισθοφόρων* A Voss. *τί δ'; οὐχὶ θανάτῳ μισθοφορῶν ὀφείλεται* vel *τίς δ' οὐχὶ θανάτου μισθοφορῶν ὀφειλέτης* Iacobs. Lect. Stob. 97. 8, conl. Horat. Ep. Pis. 63 *debemur morti nos nostraque.* *τίς δ' οὐχὶ θανατῷ μισθοφόρος, ὦ φιλτάτη* Cobet. N. l. 135 conl. Plat. Phaed. 64 b *οἱ φιλοσοφοῦντες θανατῶσι.* his accedat mea coniectura *τίς δ' οὐχὶ θάνατον μισθοφορῶν ὀφλισκάνει*, ut *γέλωτα*, *αἰσχύνην*, *παράνοιαν ὀφλισκάνειν*, alia.

267

ἐπεὶ γὰρ ἀποθνήσκειν ἀνάγκῃ γίνεται,
τὸ προῖκ' ἀποθανεῖν ἐστι φανερὰ ζημία.

Stobaeus Floril. 51, 18 *Ἀντιφάνους* A. 1. *ἀνάγκῃ* K] *ἀνάγκη*. fortasse ex eadem fabula cum fr. 266. videtur mercennarius aliquis vitae rationem defendere. 'cum mors necessitatis lege omnibus

sit inposita, is lucrum facit qui vitam vendit; qui gratis moritur, manifestum damnum habet'.

268

οὐκ ἔστιν οὐδὲν λεγόμενον μακρῶς, ὅτε
ὁ λέγων ὑποτάττει τοῖς λόγοις τὰ πράγματα.

Stobaeus Floril. 34, 4 *Ἀντιφάνους*] *Ἀντιλόχου* Trinc. Antilochi, al. Antiphanis Gesner. *τοῖς λόγοις* om. Trinc. *ὅταν — ὑποτάττῃ* Mein. — melius intellegerem, si scripsisset *τοὺς λόγους τοῖς πράγμασιν.*

269

τὸ μὴ συνειδέναι γὰρ αὐτοῦ τῷ βίῳ
ἀδίκημα μηδὲν ἡδονὴν πολλὴν ἔχει.

Stobaeus Floril. 24, 7 *Ἀντιφάνους* A. *Ἀντιφῶν* Trinc. *αὑτοῦ* Mein.] *αὐτοῦ.* cf. quae adnotavimus ad Arist. Nub. 515.

270

τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει
μικράς, ἔπειτα δ' ὕστερον λύπας μακράς.

Stobaeus Floril. 10, 22 *Ἀντιφάνους* A Voss. *Ἀντιφῶντα* Trinc. Maximus Conf. 41 p. 64. *ἔπειτα*] *εἶτα* A Voss. *λύπας*] *τὰς λύπας* A Voss.

271

συνεχῶς γὰρ ἐμπιμπλάμενος ἀμελὴς γίνεται
ἄνθρωπος, ὑποπίνων δὲ πάνυ φροντιστικός.

Athenaeus 2, 40 c *Ἀντιφάνης φησίν.* *ἐμπιμπλάμενος* Herwerd. Obs. crit. 51] *ἐμπιπλάμενος.* *ἀμελὴς γ. ἄνθρ.* Mein] *ἄνθρ. ἀμ. γ.* *ἀμβλὺς γ. ἄνθρ.* G. A. Hirschig. Ann. crit. 4, nulla necessitate. pro *συνεχῶς* scribendum videtur *ξηρῶν* conl. Athen. 2, 39 d *ἐκ τροφῆς ξηρᾶς οὔτ' ἂν σκώμματα γένοιτο οὔτ' αὐτοσχέδια ποιήματα.* *ὑποπίνειν*, i. e. parcius bibere, saepissime per iocosam quandam *λιτότητα* significat *largius potare.* cf. quae ad Arist. Av. 494 adnotavimus.

272

στεφάνους ἐνεγκεῖν δεῦρο τῶν χρηστῶν δύο,
καὶ δᾶδα χρηστὴν ἡμμένην χρηστῷ πυρί.

Athenaeus 15, 686 b *κατὰ τὸν Ἀντιφάνη κτλ.* *κατὰ τὸν Ἀντιφάνη· στεφάνους* Mein.] *κατὰ τὸν Ἀντιφάνους* A. *στεφάνους* excidisse iam Casaubonus monuerat. *δᾶδα* et *χρηστῷ* A. *ἔνεγκε — τῶν χριστῶν δύο καὶ δᾶδα χριστὴν — χριστῷ πυρί* Mein. Anal.

Ath. 335. '*χριστὸν πῦρ* intellego ignem in quem unguenta iniecta sunt'. at cf. 128, 4. 145. 242. Aloxid. 15, 8. Theophil. 4, 3. Philem. 32. Arist. Pac. 563. Av. 593. Lys. 702.

273

οὐδ' ἥψεν κρέα
οὐδ' ἐγκέφαλον, ὤπτα δὲ καὶ τὰς κοιλίας·
οὕτω σφόδρ' ἦν ἀρχαῖος.

Athenaeus 1, 12 b *ζωμὸν δὲ οὐκ ἐποίει Ὅμηρος θύων βοῦς, οὐδ' ἥψεν κρέα — ἦν ἀρχαῖος. Ἀντιφάνης φησί.* ἥψεν Dindf.] *ἥψε.* si etiam quae praecedunt, ut coniecit Meinekius, sunt Antiphanis, sic scribenda erunt: *ἀλλ' οὐκ ἐποίει ζωμόν, οὐδ' ἥψεν κρέα.* idem Meinekius confert Schol. Hom. Il. 21, 362 *οἶδεν Ὅμηρος ἕψησιν κρεῶν, χρωμένους δὲ τοὺς ἥρωας οὐ παρεισάγει.*

274

ἀεὶ δὲ πρὸς Μούσαισι καὶ λόγοις πάρει,
ὅπου τε σοφίας ἔργον ἐξετάζεται.

Athenaeus 1, 3 b *διόπερ ἐκεῖνα τῶν Ἀντιφάνους ἐρεῖ κτλ.* 2. *ὅπου τε* VL] *ὅπου* BCD. *ὅπου τι* Mein. ed. mai. pro *πάρει* v. 1 Meinekius *ἄρ' εἶ.* nam *εἶναι* dici, non *παρεῖναι πρός τινι,* conl. Demosth. 19, 127 *ἦν ὕλος πρὸς τῷ λήμματι.* addo Diphil. 99. contra Eubul. 63 *πρὸς τούτοισιν δὲ* (i. e. *praeterea*) *παρέσται σοι κτλ.* huc non pertinent. fortasse tamen scribendum *καὶ λόγοισιν εἶ* vel *πρὸς Μούσας σὺ καὶ λόγους φέρει.*

275

νήττας, σχαδόνας, κάρυ' ἐντραγεῖν, ὦ', ἐγκρίδας,
ῥαφανῖδας ἀπλύτους, γογγυλίδας, χόνδρον, μέλι.

Athenaeus 2, 56 e *ὅτι δὲ τὸ ἄπλυτοι ἐπὶ τῶν ῥαφανίδων ἀκούειν δεῖ . . . δηλοῖ Ἀντιφάνης γράφων κτλ.* 1. *ἐντραγεῖν* Schweigh.] *ἐντρώγειν.* . *ὦ'* Dindf.] *ὠά.* non audiendus est Ruhnken. Tim. 189.

276

ἓν νόσημα τοῦτ' ἔχει·
ἀεὶ γὰρ ὀξύπεινός ἐστι. Β. Θετταλὸν λέγεις
κομιδῇ τὸν ἄνδρα.

Athenaeus 2, 47 b *τὸ δὲ ὀξύπεινος . . . καὶ Ἀντιφάνης κτλ.* Herculem significari animadvertit Meinekius. ex Alcestide aut ex Omphale Philothebaeove excerptum esse potest.

277

ἐὰν μὲν ἄρα πέπερι φέρῃ τις πριάμενος,
στρεβλοῦν γράφουσι τοῦτον ὡς κατάσκοπον.

Athenaeus 2, 66 d *Ἀντιφάνης.* 1. *ἐὰν* Dindf.] *ἂν.* *φέρῃ τις* Dindf.] *τις φέρῃ*, quod ita admitti posse Dindorfius animadvertit, ut tetrametros trochaicos fuisse statuamus, quorum posterior incipiebat a *πριάμενος.* 2. *γράφουσι* Dindf.] *γράφῃ* CD. *ad populum ferunt ut crucietur.* Arist. Av. 1052. Alexid. 126, 17. 'nam qui Athenas piper aliasque merces in Asiae emporiis emtas inportabant', a sycophantis 'in periculum capitis vocari' solebant, tamquam 'regis Persarum *speculatores*'. Casaub.

278

τὸ μὲν ἀτυχῆσαι παντὸς εἶναί μοι δοκεῖ,
ἀνδρὸς δ' ἐνεγκεῖν ἀτυχίαν ὀρθοῦ τρόπου.

Stobaeus Floril. 108, 29 continuo scriptum post fr. 281. discrevit Meinekius. *Ἀντιφάνους* A. v. 1 om. B. 2. *ἀνδρὸς*] *πράως* Halmins. an *ἱλαρῶς*? *ὀρθῷ τρόπῳ* Grotius.

279

νῦν δεῖ περιόντα πέπερι καὶ καρπὸν βλίτου
ζητεῖν.

Athenaeus 2, 66 *Ἀντιφάνης πάλιν κτλ.* *περιόντα* Dindf.] *περιιόντα.* cf. Pherecr. 186.

280

ἐχθὲς μετὰ πέντ' ἔπινον, ἡμέραν τρίτην
μεθ' ἑπτά.

Zonaras 1745 *τρίτην ἡμέραν λέγουσιν, οὐχὶ τρίτης ἡμέρας... Ἀντιφῶν κτλ.* *Ἀντιφάνης* Meinek. Cur. crit. 75. *μετὰ πέντε, μεθ' ἑπτά*, i. e. *συμποτῶν.*

281

τὰ τύχης φέρειν δεῖ γνησίως τὸν εὐγενῆ.

Stobaeus Floril. 108, 29. a fr. 278 separavit Meinekius. *τὰ*] *τὰ τῆς* B. 'forsan *τάπὸ τῆς*' Mein. *γνησίως* Iacobs. Addit. 322 ex Menand. 198 Mein.] *ἠπίως.* *εὐγενῆ*] *εὐμενῆ* Trinc.

282

οἴμοι κακοδαίμων, τὸν τράχηλον ὡς ἔχω.

Athenaeus 1, 14 f *πολὺ δὲ τὸ σύντονον καὶ καματηρὸν τῆς περὶ τὴν σφαιριστικὴν ἁμίλλης τό τε κατὰ τοὺς τραχηλισμοὺς ῥωμαλέον. Ἀντιφάνης κτλ.* accesserunt haec ex C. confert Casaubonus Galen. IIII 301 Basil. *ὅταν γὰρ συνιστάμενοι πρὸς ἀλλήλους καὶ ἀποκωλύοντες ὑφαρπάσαι τὴν μεταξὺ διαπονῶσι, μέγιστον αὐτὸ καὶ σφοδρότατον καθίσταται, πολλοῖς μὲν τραχηλισμοῖς, πολλαῖς δ' ἀντιλήψεσι παλαιστικαῖς ἀναμεμιγμένον, ὥστε κεφαλὴν καὶ αὐχένα πονεῖσθαι τοῖς τραχηλισμοῖς.*

283

φαινίνδα παίζων ἥεις ἐν Φαινεστίου.

Athenaeus 1, 15 a *ἐκαλεῖτο δὲ φαινίνδα ἀπὸ τῆς ἀφέσεως τῶν σφαιριζόντων, ἢ ὅτι εὑρετὴς αὐτῆς, ὥς φησιν Ἰόβας ὁ Μαυρούσιος, Φαινέστιος ὁ παιδοτρίβης. καὶ Ἀντιφάνης κτλ.* *ἥεις*] *νῆστις* Cobet. N. l. 137. *ἦν τις* vel *εἴ τις* 'sententia inperfecta' Mein. Anal. Ath. 7. Etymol. m. Milleri (Mélanges 299) *φενίνδα· παιδιὰ διὰ σφαίρας γινομένη· οἷον οὐ φενίνδα σφαιριῶν, ἀπὸ τῆς ἀφέσεως τῶν σφαιριζόντων.* cf. fr. 234. Antiphanis esse verba in Etymologico Flor. servata et *φενίνδα* veram esse scripturam Meinekius existimat Herm. III 455. at facile post *φενίνδα* aliquid excidisse potest. nostri fragmenti quamvis dubia in tanta brevitate sit emendatio, tamen facillimum videtur scribere *παίζων εἶδέ σ' ἐν Φ.* ceterum Pollux 9, 105 *ἡ δὲ φαινίνδα εἴρηται . . . ἀπὸ Φαινίδου τοῦ πρώτου εὑρόντος.*

284. 285

ἄριστον ἐν ὅσῳ . . ὁ μάγειρος ποιεῖ.
συνακρατίσασθαι πῶς ἔχεις μετ' ἐμοῦ;

Athenaeus 1, 11 e *τὸ πρωινὸν ἔμβρωμα . . ἡμεῖς ἀκρατισμὸν καλοῦμεν, διὰ τὸ ἐν ἀκράτῳ βρέχειν καὶ προσίεσθαι ψωμούς, ὡς Ἀντιφάνης ἄριστον — ποιεῖ, εἶτ' ἐπάγει· συνακρατίσασθαι κτλ.* 1. *δ' ἔνδον* inserit praef. ed. min. xv Meinek. 2. *πῶς* Casaub.] *πως. πῶς ἔχεις*, ut 140. *πρὸς τὸ συνακρατίσασθαι πῶς ἔχεις μετ' ἐμοῦ;* Cobet. N. l. 108, quae quomodo sive uni versui sive duobus accommodare voluerit nescio. fort. *πῶς ἔχεις γνώμης ἐμοί;* vel *πρὸς δὲ τὸ | συνακρ. — μετ' ἐμοῦ; B. καλῶς.*

286

δεῖ γὰρ φαγόντας δαψιλῶς βρέχειν.

Athenaeus 1, 23 a *εἴρηται δὲ τὸ βρέχειν καὶ ἐπὶ τοῦ πίνειν. Ἀντιφάνης κτλ.* Eustath. 890, 49. *φαγόντας φάρυγα* Mein. Anal. Ath. 11. nam verbum *βρέχειν* per se solum vix potest idem significare quod *πίνειν.*

287

ἐπεὶ δ' ὁ τρίπους ἤρθη, κατὰ χειρῶν τ' εἴχομεν —

Athenaeus 2, 49 b *Ἀντιφάνης κτλ.* Eustathius 740, 16 *παράγει καὶ Ἀντιφάνην εἰπόντα κτλ.* *τ' εἴχομεν*] *ἐχέομεν* Eust. quod si probetur, *ἐχέαμεν* tamen scribendum est, ut iam Meinek. ed. mai. at *κατὰ χειρῶν* prorsus pro substantivo est: *κατὰ χειρῶν* (*χειρὸς*) *διδόναι, λαμβάνειν*, et figurate *πάντα μοι τὰ πράγματα κατὰ χειρὸς ἦν.* Philyll. 3. Nicostr. 25. Alexid. 261, 2. Menand. 457 Mein. Archedic. 2, 3. Pherecr. 146, 5. *εἴχομεν* autem idem est quod *εἰλήφειμεν.* — *ὁ τρίπους, τουτέστιν ἡ τράπεζα.* Eust.

288

ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου.

Stobaeus Floril. 9, 16 *Ἀντιφάνους* A Voss. Arsen. Viol. 128. *Ἀντιφῶντος* Trinc. *μηθὲν* et *οὐθενὸς* A.

289

εἰ θνητὸς εἶ, βέλτιστε, θνητὰ καὶ φρόνει.

Stobaeus Floril. 21,4 *Ἀντιφάνους* A Voss.] *Ἀντιφῶντος* Trinc. Maximus Conf. 80 p. 158.

290

τῆς ἐπιμελείας δοῦλα πάντα γίνεται.

Stobaeus Floril. 29,51 *Ἀντιφάνους* Trinc. om. A. idem versus Menand. monost. 494.

291

τρόπος δίκαιος κτῆμα τιμιώτατον.

Stobaeus Floril. 37, 13 *Ἀντιφάνους* A. Arsen. Viol. 129. Menand. monost. 717.

292

ὡς ἔστι τὸ γαμεῖν ἔσχατον τοῦ δυστυχεῖν.

Stobaeus Floril. 68, 27 *Ἀντιφάνους* A. Arsen. Viol. 130. *τοῦ γαμεῖν — τὸ δ.* A. at dixerat sine dubio poeta summam calamitatem esse nuptias.

293. 294

ἅπανθ' ὁ λιμὸς γλυκέα πλὴν αὑτοῦ ποιεῖ.

. . . . . .

πενία γάρ ἐστιν ἡ τρόπων διδάσκαλος.

Stobaeus Floril. 95, 1 *Ἀντιφάνους* A. Apostol. 3, 59 c (Arsen.) sine auctoris nomine. secundum a priore separavit et incerto poetae tribuit Grotius. duo fragmenta esse constat. 1. *γλυκέα*] *ἡδέα* Gesn. marg. 2. Theocr. 21 init. *ἁ πενία...τῷ μόχθοιο διδάσκαλος* Toeppel. Progr. Neobr. 1867, 21.

295

λύπη μανίας ὁμότοιχος εἶναί μοι δοκεῖ.

Stobaeus Floril. 99, 27 *Ἀντιφάνους* A. om. Trinc. *ὁμότοιχος*] *ὁμόστοιχος* AB. Plutarch. Mor. 503 d *μανίᾳ γὰρ ὁμόστοιχος μὲν ἡ ὀργὴ κατ' ἐνίους, ἡ δὲ μέθη σύνοικος*, ubi Meziriacus *ὁμόστιχος*. Aeschyl. Ag. 1002 *νόσος γὰρ ἀεὶ γείτων ὁμότοιχος ἐρείδει.* (Gaisford.)

296

μὰ γῆν, μὰ κρήνας, μὰ ποταμούς, μὰ νάματα

Plutarchus Mor. 845 b *προελθὼν δὲ πάλιν (Δημοσθένης) εἰς τὰς ἐκκλησίας νεωτερικῶς τινα λέγων διεσύρετο· ὡς κωμῳδηθῆναι αὐτὸν ὑπὸ Ἀντιφάνους κτλ.* Plutarch. Demosth. 9 *Ἐρατοσθένης μέν φησιν αὐτὸν ἐν τοῖς λόγοις πολλαχοῦ γεγονέναι παράβακχον, ὁ δὲ Φαληρεὺς Δημήτριος τὸν ἔμμετρον ἐκεῖνον ὅρκον ὀμόσαι ποτὲ πρὸς τὸν δῆμον ὡς ἐνθουσιῶντα κτλ.* Schol. Arist. Av. 194 *μὰ νεφέλας· οὕτω δὲ τὰ προστυχόντα ὤμνυον, μὰ κρήνας, μὰ γῆν, μὰ ποταμούς* (Mein. III 613). cf. Timocl. 38.

297

περίνησα καὶ περίλευκα καὶ πεντέκτενα

Pollux 7, 52 *Ἀντιφάνης δέ πού φησι κτλ. ἔστι δὲ τὰ μὲν πεντάκτενα χιτωνίσκοι παρὰ τὴν ὥαν πορφυροῖ, πέντε κτένας ἐνυφασμένοι· τὰ δὲ περίλευκα τοὐναντίον εἴη ἂν ὕφασμα ἐκ πορφύρας ἢ ἄλλου χρώματος ἐν τῷ περιδρόμῳ λευκὸν ἐνυφασμένον. τὰ δὲ περίνησα πρόκροσσόν ἐστι περίβλημα, ἔχον τὰ νήματα ἐξηρτημένα· ἡ πορφύρα κύκλῳ τὰ τέλη τοῦ ὑφάσματος περιέρχεται, νήσου σχῆμα ποιοῦσα τῇ περιρροῇ τοῦ χρώματος. πεντέκτενα* Mein.] *πεντάκτενα.* cf. Hermipp. 34 et Menand. 92 Mein. Phot. *περίνησα· περιβόλαια περιφερῆ καὶ νησοειδῆ, ὅμοια ταῖς ὑπὸ Ῥωμαίων καλουμέναις χλαίναις.* idem *πεντέκτενοι· περιπόρφυροι· διὰ τὸ ἐνυφάνθαι περὶ τὰς ὥας πέντε κτένας πορφυροῦς.* Hesych. *περίνησον· ἱμάτιον ἔχον πορφύραν κύκλῳ.* idem *πεντεκτενῆ· ἐνδύματα οἷον πριόνων ὀδοῦσιν ἐμφερῆ, πεποικιλμένα.*

298

μονοφαγεῖς ἤδη τι καὶ βλάπτεις ἐμέ.

Athenaeus 1, 8 e *ὅτι τὸ μονοφαγεῖν ἐστιν ἐν χρήσει τοῖς παλαι-*

οἷς. Ἀντιφάνης. excidit initio syllaba. σὺ Iacobs. Addit. Ath. 6. vel καὶ.

299

συναγαγὼν
τρεῖς ὄντας εἰς τρίκλινον ὑμᾶς

Athenaeus 2, 47 f καὶ τρίκλινοι οἶκοι καὶ τετράκλινοι καὶ ἑπτάκλινοι καὶ ἐννεάκλινοι καὶ κατὰ τοὺς ἑξῆς ἀριθμοὺς ἦσαν παρὰ τοῖς παλαιοῖς. Ἀντιφάνης κτλ. potest esse etiam pars tetrametri trochaici.

300

οἴνῳ . . τὸν οἶνον ἐξελαύνειν,
σάλπιγγι τὴν σάλπιγγα, τῷ κήρυκι τὸν βοῶντα,
κόπῳ κόπον, ψόφῳ ψόφον, τριωβόλῳ δὲ πόρνην,
αὐθαδίαν αὐθαδίᾳ, Καλλίστρατον μαγείρῳ,
5 στάσιν στάσει, μάχῃ μάχην, ὑπωπίοις δὲ πύκτην,
πόνῳ πόνον, δίκῃ δίκην, γυναικὶ τὴν γυναῖκα.

Athenaeus 2, 44 a Ἀντιφάνης κτλ. 1. οἴνῳ δὲ δεῖ Elmsl. Arist. Ach. 717 p. 68. 3. κόπῳ κόπον, quae post ἐξελαύνειν conlocant codices, transposuit Elmsl. 5. μάχῃ μάχην Elmsl.] μάχην μάχῃ. 6. δίκῃ δίκην Elmsl.] δίκην δίκῃ.

v. 1 et 3 variis coniecturis homines docti temptaverunt. οἴνῳ τὸν οἶνον ἐξέλα, κόπῳ κόπον ⏑–⏑ et v. 3 κρότῳ κρότον pro κόπῳ κόπον Iacobs. Addit. Ath. 40. πυρὶ μὲν τὸ πῦρ, οἴνῳ δὲ δεῖ κτλ. et v. 3 δόλῳ δόλον pro ψόφῳ ψόφον Wilamow. Herm. VII 148. ἥλῳ δὲ δεῖ τὸν ἧλον, οἴνῳ δ' οἶνον κτλ. Naber. Mnem. nov. VIII 53. ac Diogenian. 5, 16 ἥλῳ τὸν ἧλον καὶ πάτταλον ἐξέκρουσας παττάλῳ. Aristot. Polit. 5, 9, 6 καὶ χρήσιμοι οἱ πονηροὶ εἰς τὰ πονηρά· ἥλῳ γὰρ ὁ ἧλος, ὥσπερ ἡ παροιμία. Cic. Tusc. 4, 35, 75 *novo quidam amore veterem amorem tamquam clavo clavum eiciendum putant.* Greg. Cypr. 2, 60 ἧλος τὸν ἧλον, πάτταλος τὸν πάτταλον ἐξέκρουεν. ineptissime Macar. 5, 22. 3. Galen. III 8, 250 Bas. VI 204 Kuehn. ἀκοῦσαι γοῦν ἔστι τῶν φασκόντων, ὡς κόπῳ χρὴ λύειν τὸν κόπον. cum eis quae sequuntur Meinekius confert Plat. com. 174, 17. Epicr. 3, 22. Machon. Athen. 13, 580 d ὁ δὲ μειδιάσας κῦβδ', ἔφη, τριωβόλου. ridicule Wilamowitzius ut κόπον cum πόρνῃ nescio quomodo cohaerere prohet ad Arist. Ran. 1280 provocat. 4. de *Callistrato* cf. Theopomp. 30. Anaxandrid. 40. Eubul. 11. 107, 5. 6.

recte Wilamowitzius hina singulorum versuum membra ita coniuncta esse dicit, ut a proverbiis ad alia transeatur risus movendi causa inventa. sod haec non omnia eadem ratione adiiciuntur. sic κῆρυξ τὸν βοῶντα expellit maiore vi vocis, trioholum me-

retricem, quia hoc pretio vincantur meretrices, Callistratum coquus, quia Callistratus iupudentia cum coquis certans eis tamen multo sit inferior.

301

ἀσπάραγος ἐπηγλαΐζετ', ὠχρος ἐξήνθηκέ τις.

Athenaeus 2, 63 a *Ἀντιφάνης δὲ διὰ τοῦ π φησὶν ἀσπάραγον κτλ.* *ἐπηγλαΐζετ'* Porson.] *ἠγλάιζεν.* cf. Eubul. 150. Ephipp. 4, 6. de forma *ἀσπάραγος* cf. Phryn. Ecl. 110 cum adn. Lobeck. non intellego temporum generisque differentiam. fort. scr. *ἐξανθίζετο.* cf. Arist. Ach. 1047. Lys. 43. Philem. 79, 6.

302

[*μέλι,*] *πέρδικες,*
φάτται, νῆτται, χῆνες, ψᾶρες,
κίττα, κολοιός, κόψιχος, ὄρτυξ,
ὄρνις θήλεια

Athenaeus 2, 65 e *Ἀντιφάνης δὲ καὶ ψᾶρας ἐν τοῖς βρώμασι καταλέγει κτλ.* 2. *ψᾶρες* Dindf.] *ψάρες.* mel in avium catalogo locum non habere Meinekius animadvertit. scribendum est *Ἀντιφάνης . . . καταλέγει Μελίττῃ· πέρδικες κτλ.* adduntur enim etiam in primis Athenaei libris interdum fabularum nomina. *Melittae* Antiphaneae fragmentum est 151.

303

Zenobius 6, 34 *Φιλίππου Ἀλεκτρυών· αὕτη τάττεται ἐπὶ τῶν ἐν μικροῖς κατορθώμασιν ἀλαζονευομένων. Ἀλεκτρυὼν γάρ τις ἐγένετο Φιλίππου στρατηγός, ὃν ἀπέκτεινεν, ὥς φασι, Χάρης ὁ Ἀθηναῖος. μέμνηται δὲ αὐτοῦ . . . Ἀντιφάνης.* cf. infra fr. Heraclidis et Droysen. Hellenism. I 617. 8. ex Zenobio sua derivavit Apostol. 17, 85.

304

Plutarchus Moral. 79 a *ὁ γὰρ Ἀντιφάνης ἔλεγε παίζων ἔν τινι πόλει τὰς φωνὰς εὐθὺς λεγομένας πήγνυσθαι διὰ ψῦχος, εἶθ' ὕστερον ἀνιεμένων ἀκούειν θέρους ἃ τοῦ χειμῶνος διελέχθησαν.* fortasse haec occulto aliquo fonte ex Antiphane in Muenchhausiadem nostram manaverunt.

305

ἄμητες, ἄμυλοι

Athenaeus 14, 644 f *ἄμης· πλακοῦντος γένος. Ἀντιφάνης κτλ.*

306

ἐπίτοκος ἡ γυνή

ἀδοκίμως εἶπεν Ἀντιφάνης ὁ κωμῳδός, δέον ἐπίτεξ εἰπεῖν. Phryn. Ecl. 333. cf. Lobeck.

307

συνέλκειν τὰς ὀφρῦς

ἀντὶ τοῦ συνάγειν (fr. 218). *οὕτως Ἀντιφάνης.* Photius.

308

τρίτῳ καὶ τετάρτῳ ἔτει

ἀντὶ τοῦ πρὸ τριῶν καὶ τεσσάρων ἐτῶν. οὕτως Ἀντιφάνης. Photius et Suidas. *Ἀντιφάνης* Suid.] *αντιφα* cod. Phot. eadem Bekker. Anecd. 114, 26 sine auctoris nomine.

309

ὑπέρχολος γενόμενος

ἀντὶ τοῦ ὑπεραγανακτήσας. οὕτως Ἀντιφάνης. Photius, Suidas et omisso auctoris nomine Bekker. Anecd. 115, 2.

310

ἁλουργιαῖον

ἀντὶ τοῦ ἁλουργές. cf. Aristoph. fr. 741. scr. *ἁλουργίδιον.*

311

ἀμαρτυρήτους

ἀντὶ τοῦ ἀμαρτύρους. οὕτως Ἀντιφάνης. Suidas, Zonaras 141.

312

ἀνώγεων

τὸ ὑπερῷον οἴκημα . . . τῶν κωμῳδιοποιῶν οἱ περὶ Ἀντιφάνην. Bekker. Anecd. 405, 32. Suidas. — *ἀνώγεων* Suid. vulg.] *ἀνόκαιον* Bekk. Anecd. *ἀνώγαιον* Suid. ABC. *τῶν κωμῳδιοποιῶν*] *τὸν κωμῳδιοποιὸν* Bekk. Anecd. et Suid. A. *Ἀντιφάνην* Bekk. Anecd. Suid. A] *Ἀριστοφάνην.* cf. Lobeck. Phryn. 297. 8.

313

ἀποδικεῖν

ἀντὶ τοῦ ἀπολογεῖσθαι. οὕτως Ἀντιφάνης. Bekker. Anecd. 427, 9. Suid. Hesych. *ἀποδικεῖν· ἀπολογεῖσθαι δίκην.*

314

ἀρδεύειν

παρ' Ἀντιφάνει μόνῳ. ἐκ τοῦ ἐναντίου δὲ ἄρδειν, οὐκ ἀρδεύειν λέγουσιν. Bekker. Anecd. 443, 22. *ἀρδείαν*, cum *ἀρδεύειν* nequaquam apud Antiphanem solum reperiatur, Lobeckius Phryn. 763. Hesych. *ἀρδεία· ποτισμός.* idem *ἀρδεύει· ποτίζει.* cf. Aesch. Prom. 852.

315

αὐχένιοι

χιτῶνος εἶδος ὑπὸ Ἀντιφάνους. Hesychius. *Ἀντιφάνης Ὕπνῳ* Halbertsma Mnem. IIII 232. potius *Ὕπνῳ Ἀντιφ.* cf. Valcken. Diatr. 214 c.

316

ἐπιστάτης

ἀντὶ τοῦ διδάσκαλος. ὁμολογουμένως Ἀντιφάνης. Bekk. Anecd. 96, 12 (*ἐπισάτης* cod.). saepius sic in Protagora Plato. in voce *ὁμολογουμένως* fabulae nomen latere suspicabatur Koppiersius. fort. *Ὁμωνύμοις.*

317

εὐκλήρημα

Bekker. Anecd. 77, 25 *ἀκληρίαν Ἀντιφάνης Ἀδώνιδι. ὁ αὐτὸς εὐκλήρημα ἀντὶ τοῦ κατόρθωμα. εὐκλήρημα* Koppiers. Obs. 6] *εὐκλήρωμα. ἀκλήρημα* Diodor. Sic. 13, 31, *δυσκλήρημα* Polyb. et Diod. Sic. in Exc. Vat. cf. fr. 14.

318

ἤθη

πληθυντικῶς φασι μὴ δεῖν λέγειν, ἀλλ' ἑνικῶς. ἀλλ' Ἀντιφάνης εἶπε πληθυντικῶς. Bekker. Anecd. 98, 15. cf. Lobeck. Phryn. 364.

319

κάθεμα

Pollux 5, 98 (*περὶ γυναικείων κόσμων*) *καὶ ὡς Ἀντιφάνης κάθεμα· ἐκάλουν δ' αὐτὸ καὶ καθετῆρα.* Hesych. *κάθεμα· ὁ κατὰ στήθους ὅρμος. κάθεμα* Hesych.] *κάθημα* Pollux. Lob. Phryn. 249.

320

κασωρῖτιν

Eustathius 741, 29 *κασωρὶς ἡ πόρνη . . . Ἀντιφάνης δέ, φασί, κασωρῖτιν ἔφη τὴν ἐπὶ τέγους προεστῶσαν.* Lobeck. Paralip. 30. 1. cf. Arist. Eq. 1285.

321

κύδαροι

πλοιάρια ἄττα. παρ' Ἀντιφάνει τὸ ὄνομα. Photius. Hesych. *κύδαρος· νεὼς εἶδος.* cf. Poll. 1, 82. Etym. m. 543, 3 sq. Bekk. Anecd. 274, 18. Gell. 10, 25, 5. M. Schmidt. in Hes. Lobeck. Pathol. prol. 112 'nec satis constat de *κύδαλος* et *κύδαρος*, cydarum'.

322

πτωχεύειν

οὐ τὸ ἐπαιτεῖν, ἀλλὰ τὸ πένεσθαι. Ἀντιφάνης. Bekker. Anecd. 112, 24.

323

χρήσασθαι

ἀντὶ τοῦ δανείσασθαι. Ἀντιφάνης. Bekker. Anecd. 116, 11. sane factum esse potest ut Antiphanem confunderet cum Aristophane (Nub. 22); sed quidni etiam Antiphanem eo verbo usum esse credamus?

ΑΜΦΙΣΒΗΤΗΣΙΜΑ

324

εἴ φησι τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν,
ἦ πού τίς ἐστι τοὺς τρόπους ἀβέλτερος.
εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονάς,
καταλείπετ' οὐδὲν ἕτερον ἢ τεθνηκέναι.

Stobaeus Floril. 63, 12 *Ἀντιφάνους* A. at eosdem versus Athenaeus 13, 563 a Theophili Philaulo tribuit, quinque aliis auctos. 1. *εἴ* H. Iacobi] *εἴ τις* Stob. *τίς* Athen. *ὃς* Grotius. *εἰ τοὺς ἐρῶντάς φησί τις νοῦν οὐκ ἔχειν* Gesn. marg. 4. *καταλείποιτ'* Voss. *ἕτερον ἢ*] *ἄλλο πλὴν* Athen.

325

Athenaeus 1, 28 d *ἐπαινεῖται ὄντως ὁ Ἀττικὸς κέραμος. Εὔβουλος δέ φησι· Κνίδια κεράμια, Σικελικὰ βατάνια, Μεγαρικὰ πιθάκνια. Ἀντιφάνης δέ· νᾶπυ Κύπριον, καὶ σκαμωνίας ὀπόν, κάρδαμον Μιλήσιον, κρόμμυον Σαμοθρᾴκιον, καυλὸν ἐκ Καρχηδόνος καὶ σίλφιον, θύμον Ἡμήττιον, ὀρίγανον Τενέδιον.* quae cum Pollux 6, 67 ad Eubuli Glaucum referat, Dindorfius etiam quae Athenaeus ex Eubulo excerpta profert Antiphanis esse existimat. sed omnino dubium est an nihil ex his sit Antiphanis. cf. Eubul. 19.

326

Maximus Conf. 41, 64 *κύων μελετήσας σαρκῶν ἀπογεύεσθαι φυλάττειν οὐκέτι δύναται τὴν ἀγέλην.* 'si Antiphanis sunt, versus ita restituere licet: *μελετήσας κύων | σαρκῶν ἀπογεύεσθαι φυλάττειν οὐκέτι | δύναιτ' ἂν ἀγέλην.*' Mein. comparavit M. Hauptius Opusc. III 380 Demosth. 25, 40 *τοὺς γενομένους κύνας τῶν προβάτων κατακόπτειν φασὶ δεῖν.*

327

ψυχὴν ἔχειν δεῖ πλουσίαν· τὰ δὲ χρήματα
ταῦτ' ἐστὶν ὄψις, παραπέτασμα τοῦ βίου.

Stobaeus Floril. 93, 1 *Ἀλέξιδος* (339), *οἱ δὲ Μενάνδρου* A. *Ἀλέξιδος* Trinc. *Alexidis, alias Antiphanis, alias Menandri* Gesner. Cleric. p. 242. — om. Vindob.

328

οὐπώποτ' ἐζήλωσα πλουτοῦντα σφόδρα
ἄνθρωπον, ἀπυλαύοντα μηδὲν ὧν ἔχει.

Stobaeus Floril. 93, 20. Arsen. Viol. 129. coniunctos cum fr. 259 *Ἀντιφάνους* dicunt A et Arsen., *Ἀριστοφάνους* Trinc. at Stobaeus ipse 16, 7 et Anton. Mel. 140 p. 221 recte Menandro adsignant (fr. 600 Mein.).

329

οὐκ ἔστιν οὐδὲν βαρύτερον τῶν φορτίων
ὄντως γυναικὸς προῖκα πολλὴν φερομένης.

Stobaeus Floril. 72, 9 *Ἀντιφάνους* A. at Arsenius Leutschii 13, 39 t eosdem versus Alexidis (fr. 340) esse dicit. 2. *ὄντως*] *πάντων* Mein. Arsenius 41, 18 *γυναικός, εἰ μὴ τὰς φρένας καλὰς ἔχῃ*, qui versus Euripidis est ex Antiopa (211 N.).

330

βέβαιον ἕξεις τὸν βίον δίκαιος ὤν,
χωρίς τε θορύβου καὶ φόβου ζήσεις καλῶς.

Clemens Alex. Strom. 6, 2, 24 *Ἀριστοφάνους γράφοντος κτλ.* Antiphani tribuit Mein. I 321. cf. Aristoph. fr. 899.

331

οὗτοσὶ δέ σοι
τοῦ λευκοτάτου πάντων ἐλαίου Σαμιακοῦ
ἔστιν μετρητής.

Athenaeus 2, 66 f *Σαμιακοῦ ἐλαίου μνημονεύει Ἀντιφάνης ἢ Ἄλεξις κτλ.* ex *Ὕπνῳ* petitum existimat Meinekius, quia ea fabula modo Alexidis modo Antiphanis esse dicatur.

332

γερόντειαι παλαῖστραι

παρ' Ἀντιφάνει. Pollux 2, 13 cod. Falckenb. at Bekkerus ex suis codicibus *Ἀριστοφάνει.* cf. Aristoph. fr. 715.

333

Boissonadii Anecd. I 125 et Gnomolog. Vindob. Ritschl. Opusc. I 565, 59 *Ἀντιφάνης· αἱ νέαι φιλίαι ἀναγκαῖαι μέν, αἱ δὲ παλαιαὶ ἀναγκαιότεραι. Ἀντισθένης* vel *Ἀντιφῶν* Mein. cf. I 317.

334

χολᾶν

τὸ ὀργίζεσθαι. Ἀντιφάνης. Bekker. Anecd. 116, 8. pertinere videtur ad fr. 89.

ΦΙΛΙΠΠΟΣ

Meinek. I 330 sq. U. Koehler. I. A. n. 977 III.

ΑΝΑΞΑΝΔΡΙΔΗΣ

Meinek. I 367 sq. 373 sq. Bergk. Mus. Rhen. XXXIIII 328.

ΑΓΡΟΙΚΟΙ

Fabula, si recte de C. I. I 230 Bergkius statuit Mus. Rhen. XXXIIII 328 n. 3, *ἐπὶ Ἀπολλοδώρου (δι' Ἀνα)ξίππου* Lenaeis acta est, Ol. 107, 3. at fr. 3 non videtur scriptum esse ante alteram orationem Olynthiacam, Ol. 107, 4.

1

τίνα δὴ παρεσκευασμένοι
πίνειν τρόπον νῦν ἐστε; λέγετε. τίνα τρόπον;
Β. ἡμεῖς τοιοῦτον οἷον ἂν καὶ σοὶ δοκῇ.

Α. βούλεσθε δῆτα τὸν ἐπιδέξι'; Β. ὦ πάτερ,
λέγειν ἐπὶ τῷ πίνοντι τὸν ἐπιδέξια
λέγειν, Ἄπολλον, ὥσπερεὶ τεθνηκότι;

Athenaeus 11, 463 f *τοῦ ἐπιδέξια πίνειν μνημονεύει καὶ Ἀναξανδρίδης ἐν Ἀγροίκοις οὕτως κτλ.* 2. *νῦν ἐστε* Dobr. Adv. II 330] *ἐστὲ νυνὶ* A. *πίνειν* quod in fine versus addit A, delevit Dobr. *λέγεθ'. Β. ὅντινα τρόπον | ἡμεῖς; κτλ.* K. 4. *δῆτα* Cobet. N. l. 19. 20] *δήπου* A. *δῆτ' οὖν* Dindf. cf. Arist. Av. 1689. Ran. 416. deinde *τὸν ἐπιδεξιωπατερ* A. notam *B* adiecit Dobr. 5. *λέγειν*] *τί φῆς*, Dobr. *πίνοντι: Β. τὸν κτλ.* Cobet. 6. *λέγειν*] *λέγεις*; Dobr. *ὥσπερ ἐπὶ* Cobet. (cf. Antiph. 240.)

v. 4. 5 scribendum existimo *Β. ὦ πάτερ, | τί λέγεις; ἐπὶ τῷ πιόντι τὸν ἐπιδέξια | λέγειν*; verba extrema non intellego.

2

ὡς δ' ἐστεφανώθην, ἡ τράπεζ' ἐσῄρετο,
τοσαῦτ' ἔχουσα βρώμαθ', ὅσα μὰ τοὺς θεοὺς
καὶ τὰς θεὰς οὐδ' ἔνδον ὄντ' ᾔδειν ἐγώ·
οὕτως παρέζων χρηστῶς οὐκ ἔζων τότε.

Athenaeus 14, 642 b *Ἀναξανδρίδης Ἀγροίκοις κτλ.* 1. *ἐσῄρετο* K. Mus. Rh. XXX 400] *ἐπήγετο.* 2. *τοσαῦτ'*] *ἐπήγετοσαυτ'* A coniunctim. 3. *οὐδ' εἰ γέγονεν* G. A. Hirschig. Ann. crit. 4. *οὐδ' εἰ γέγον' ὄντως οἶδ' ἐγώ* Nauck. Bulletin de l'acad. de Pétersb. VIIII 379. an *οὐκ εἶδον οὐδ' ᾔδειν?* 4. *οὕτως* et *χρηστῶς* A. *χρηστὸς* Villebr. *Χρῆστε, κοὐκ* Mein.

ad firmandam coniecturam suam v. 3 G. A. Hirschigius contulit Demosth. 21, 78 *τοῦτον οὐδ' εἰ γέγονεν εἰδὼς οὐδὲ γιγνώσκων.* Isocr. 12, 70 *νησύδρια . . . ἃ πολλοὶ τῶν Ἑλλήνων οὐδ'* (*εἰ γέγονεν* adi. Hirschig.) *ἴσασιν.* addit Cobetus N. l. 107 Demosth. 18, 70 *Σέρριον καὶ Δορίσκον...οὐδ' εἰ γέγονεν οἶδα.* Isocr. 9, 6 *ἥδιον ἂν εὐλογουμένων ἀκούοιεν, οὓς οὐκ (οὐδ' ?) ἴσασιν εἰ γεγόνασιν.* Cic. Fam. 9, 15, 4 *reges .. quos ego ... omnino natos nesciebam.* at ista omnia cum contemptu dicuntur, hic admiratio potius locum habet. *παραζῆν* est *vitam sine consilio et successu trahere.* Plut. Mor. 13 b *ζῆν, οὐ παραζῆν προσήκει.* extrema nondum recte mihi videntur emendata esse.

3

μεγάλ' ἴσως ποτήρια
προπινόμενα καὶ μέστ' ἀκράτου κυμβία
ἐκάρωσεν ὑμᾶς. Β. ἀνακεχαίτικεν μὲν οὖν.

Athenaeus 11, 481 f *Ἀναξανδρίδης ἐν Ἀγροίκοις κτλ.* Macrobius Saturn. 5, 21 *Anaxandrides etiam comicus in fabula Ἀγροίκοις·*

μεγάλ' — ὑμᾶς. 1. *ποτήρια*] *κυμβία* Macrob. 2. *μέστ'*] *μετ'* Macrob., qui in hoc versu *κυμβία* omittit. 3. *ἐκάκωσεν* Macrob. deinde *ἀνακεχέτικεν* A.

verbum *ἀναχαιτίζειν* manifesto mutuatus est a Demosthene 2, 9; nam Eurip. Hippol. 1232 *ἔσφηλε κἀνεχαίτισεν* nulla translatione usus est. Harpocrat. *ἀνεχαίτισε . . . ἀντὶ τοῦ ἀνέκοψεν ἢ ἀνέτρεψεν, ἐκ μεταφορᾶς τῶν ἵππων.* Poll. 1, 210 *ἀναχαιτίζουσιν* (*οἱ ἵπποι*) *ἱστάμενοι κατὰ τοὺς οὐραίους πόδας.* Bekker. Anecd. 19, 8 *ἀναχαιτίσαι· ἀνακόψαι εἰς τοὐπίσω.* (quae sequuntur perversa sunt.)

ΑΓΧΙΣΗΣ

4

οὐκ ἔστι δούλων, ὦγάθ', οὐδαμοῦ πόλις,
τύχη δὲ πάντα μεταφέρει τὰ σώματα.
πολλοὶ δὲ νῦν μέν εἰσιν οὐκ ἐλεύθεροι,
εἰς αὔριον δὲ Σουνιεῖς, εἶτ' εἰς τρίτην
5 *ἀγορᾷ κέχρηνται· τὸν γὰρ οἶακα στρέφει*
δαίμων ἑκάστῳ.

Athenaeus 6, 263 b *Ἀναξανδρίδης ἐν Ἀγχίσῃ φησίν κτλ.* 1. *ὦγαθέ* A. 2. *σώματα*] *χρήματα* perperam Herwerd. Mnem. nov. IIII 305. 4. *αὔριον* Dindf.] *τ' αὔριον* A. 6. *ἑκάστοτε* Herwerd. Obs. crit. 54.

1. servi certa patria carent, et a fortuna alii aliorsum dissipantur. 4. 'conicias *Sunienses* in admittendis civibus admodum faciles fuisse.' Mein. 5. *ἀγορᾷ κέχρηνται*, i. e. 'reipublicae administrandae participes fiunt.' Schweigh.

5

ἡμιχρύσους

Pollux 9, 59 *εἰ μὲν χρυσοῦς εἴποις, προσυπακούεται ὁ στατήρ· εἰ δὲ στατήρ, οὐ πάντως ὁ χρυσοῦς· Ἀναξανδρίδης δὲ ἐν Ἀγχίσῃ καὶ ἡμιχρύσους λέγει.* idem 6, 161 *ἡμιχρύσους δὲ Ἀναξανδρίδης.*

ΑΙΣΧΡΑ

I. e. *Αἴσχρα*, mulieris nomen. Mein. I 369.

6

ἀρτίως διηρτάμηκε καὶ τὰ μὲν διανεκῆ
σώματος μέρη δαμάζετ' ἐν πυρικτίτοισι γᾶς·
Τιμόθεος ἔφη ποτ', ἄνδρες, τὴν χύτραν οἶμαι λέγων.

Athenaeus 10, 455 f *Ἀναξανδρίδης Αἴσχρᾳ* (*αἰσχρᾷ* A) *κτλ.*

1. *διηρτάμηκεν* et *διανεκῆ* A. 2. *δαμάζετε* (i. e. *δαμάζεται*, med.) et *πυρικτιτοισι γᾶς* A. 3. *οἶμαι* Boeckhius] *εἶναι* A.

1. obiectum verbi *διηρτάμηκε* in integra ecloga fuit *ταῦρον* vel aliquid eiusmodi. verbum ipsum Aeschyleum est (Prom. 1023); ab illo ut solet mutuatur Euripides Alcest. 494. Electr. 816. *ἄρταμος* i. e. *μάγειρος* (Poll. 6, 34. cf. Epicrat. 6) etiam in soluta oratione, veluti Xenoph. Cyr. 2, 2, 4. *τὰ διανεκῆ σώματος* artificiosius dicuntur pro eis quae Homerus vocat *νῶτα διηνεκῆ*. *διανεκῆ σώματα* Plat. Hipp. I 301 b (contulit Mein.). 2. neque *πυρίκτιτα γῆς* neque *πυρίκτιτος γῆ* intellegi potest. scribo *ἐν πυρικτίτῳ στέγᾳ*. cf. Antiph. 52, 3. de *Timotheo* cf. Antiph. 112. Pherecr. 145, 21.

ΑΜΠΡΑΚΙΩΤΙΣ

Ἐν (*ἄστει*) Bergk. Mus. Rh. XXXIIII 328 n. 3.

ΑΝΤΕΡΩΝ

7

περιστέρια γὰρ εἰσάγων καὶ στρουθία

Athenaeus 14, 654 b *Ἀναξανδρίδης ἐν Ἀντερῶντι κτλ.* *παρεισάγων* A. Hirschig. Annot. crit. 4 sine ulla necessitate.

ΑΧΙΛΛΕΥΣ

8

κακομαθής

Ἀναξανδρίδης Ἀχιλλεῖ. Bekker. Anecd. 104, 17.

ΓΕΡΟΝΤΟΜΑΝΙΑ

Cf. fr. 10. Protagonista utebatur poeta Philemone. Aeschin. 1, 115. Mein. I 369.

9

τὴν ἐκ Κορίνθου Λαΐδ' οἶσθα; Β. πῶς γὰρ οὔ;
τὴν ἡμετέρειον. Α. ἦν ἐκείνῃ τις φίλη
Ἄντεια. Β. καὶ τοῦθ' ἡμέτερον ἦν παίγνιον.
Α. νὴ τὸν Δί' ἤνθει τότε Λαγίσκιον, τότ' ἦν
καὶ Θεολύτη μάλ' εὐπρόσωπος καὶ καλή,
ὑπέφαιν' ἐσομένη δ' Ὤκιμον λαμπρὸν πάνυ.

Athenaeus 13, 570 d e *μνημονεύει τῆς Λαΐδος καὶ Ἀναξανδρίδης ἐν Γεροντομανίᾳ καὶ ἄλλας ἑταίρας αὐτῇ συγκαταλέγει διὰ τούτων κτλ.* 1. *λαΐδα* A. 2. *τὴν ημεριον ην ἐκεινη τις φιαλη* A. *ἡμε-*

τέρειον Abresch. Diluc. Thucyd. 489. *φίλη* VL. *τὴν Ἱμεραίαν* Casaub. *τὴν Ὑκκαρείαν* Schweigh. 3. *ἄντεια*, non *ἄνθεια*, A. 4. *Λαγίσκιον, τότ' ἦν* Mein.] *Λαγίσκη, ἦν δὲ τότε* A. *ἥνθει καὶ Λαγίσκιον τότε* Mein. Anal. Ath. 266. *ἥνθει καὶ Λαγίσκη· καὶ τότε | ἦν* Dobr. Adv. II 344. 6. *λαμπρὰ* Dobr.

2. *ἡμετέρειος* 'nostratem potius significat quam nostrum.' Lobeck. Paralip. 322. 5. *εὐπρόσωπος καὶ καλή*, ut Arist. Plut. 976 (Mein.).

10

καίτοι πολλοί γε πονοῦμεν.
τὸν ἀσύμβολον εὗρε γέλοια λέγειν Ῥαδάμανθυς καὶ Παλαμήδης.

Athenaeus 14, 614 c *Ἀναξανδρίδης δ' ἐν Γεροντομανίᾳ καὶ εὑρετὰς τῶν γελοίων φησὶ γενέσθαι Ῥαδάμανθυν καὶ Παλαμήδην, λέγων οὕτως κτλ.* — *πολλοὶ* (sic) A. Aristot. Rhet. 3, 12 *ἀνάγκη δὲ μεταβάλλειν τὸ αὐτὸ λέγοντας· ὅπερ ὡς προοδοποιεῖ τῷ ὑποκρίνεσθαι· 'οὗτός ἐστιν ὁ κλέψας ὑμῶν, οὗτός ἐστιν ὁ ἐξαπατήσας, οὗτος ὁ τὸ ἔσχατον προδοῦναι ἐπιχειρήσας.' οἷον καὶ Φιλήμων ὁ ὑποκριτὴς ἐποίει ἔν τε τῇ Ἀναξανδρίδου Γεροντομανίᾳ, ὅτε λέγει Ῥαδάμανθυς καὶ Παλαμήδης, καὶ ἐν τῷ προλόγῳ τῶν Εὐσεβῶν τὸ ἐγώ· ἐὰν γάρ τις ταῦτα μὴ ὑποκρίνηται, γίνεται ὁ τὴν δοκὸν φέρων.* extrema inlustrat Photius *ὑπέρου περιτροπή· ἐπὶ τῶν ταὐτὰ ποιούντων καὶ μηδὲν περαινόντων. καὶ αὗται δὲ αἱ παροιμίαι τοῦτο δηλοῦσιν· ὁ Διὸς Κόρινθος . . . καὶ ὁ τὴν δοκὸν φέρων.* verba *καίτοι — πονοῦμεν* Athenaei esse censet Schneidewinus G. g. A. 1848 p. 1716. non credo. *ὁ ἀσύμβολος* per *εὐφημισμὸν* quendam parasitus dicitur; ac talem poeta videtur induxisse tamquam artis suae laudatorem. is eam antiquitus ortam, ut Protagoras apud Platonem sophisticam, et *multorum opera paullatim excultam* esse docebat. fort. tamen *γ' ἐπονοῦμεν*. tum exempli causa vetustissimum Rhadamanthi Palamedisque inventum commemorabatur cum multis aliis sine dubio.

ΔΙΔΥΜΟΙ

11

βρέτας

ὁ ἀναίσθητος. Ἀναξανδρίδης Διδύμοις. Bekker. Anecd. 85, 19. significatione propria Arist. Eq. 31. Lys. 562.

ΔΙΟΝΤΣΟΥ ΓΟΝΑΙ

Cf. Bergk. Mus. Rhen. XXXIIII 328 n. 3. eodem nomine Polyzelus fabulam scripserat.

ΕΛΕΝΗ

12

Α. ἄγκυρα, λέμβος, σκεῦος ὅ τι βούλει λέγε.
Β. ὦ Ἡράκλεις, ἀβελτερείου τεμενικοῦ.
Α. ἀλλ' οὐδ' ἂν εἰπεῖν τὸ μέγεθος δύναιτό τις.

Suidas *ἀβέλτερος· λέγουσι δὲ καὶ ἀβελτήριον τὴν ἀβελτηρίαν. Ἀναξανδρίδης Ἑλένῃ κτλ.* 2. *ἀβελτερείου* Dindf.] *ἀβελτηρίου. τεμενικοῦ*] *τεκμήριον* (*ἀβελτερίου*) Reisig. Coniect. 17. *δηλουμένου* Lobeck. Phryn. 519. aliam emendationum incredibilium congeriem qui volet inveniet apud Bernhardyum. nec probabiliora sunt quae de hac ecloga Herwerdenus exposuit Mnem. nov. VI 66, *ἀβελτερίου γ' Ἑλληνικοῦ* vel *θοὐλληνικοῦ* vel *στ' Ἑλληνικοῦ* (volebat *σθ'*) scribens. de forma *ἀβελτέρειος* 'nihil decerni potest'. Lobeck. Paralip. 322. miror neminem incidisse in *ἀβελτερίου Τιτανικοῦ*, quod propter *τὸ μέγεθος* v. 3 aliquam habet probabilitatem. cf. Plat. Leg. 3, 701 c. sed ne hoc quidem quicquam proficitur.

Praeterea cf. fr. 81 et Alexandri comici fr. 3. Mein. I 370.

ΕΡΕΧΘΕΥΣ

(*Ἐπὶ Φανο*)*στράτου* (Ol. 99, 2) Bergk. Mus. Rhen. XXXIII 328 n. 3.

ΕΥΣΕΒΕΙΣ

Aristot. Rhetor. 3, 12, exscr. fr. 10, unde cognoscitur in prologo fabulae pronomen *ἐγώ* identidem fuisse repetitum.

ΖΩΓΡΑΦΟΙ

Perperam interdum *Γεωγράφοι* vel *Γεωγράφος*. nam geographiae quae proprie dicitur geographorumque nomen, Platonis Aristotelisque aetati ignotum — siquidem liber de mundo, ubi p. 393ᵇ, 29 *οἱ εὖ γεωγραφήσαντες* commemorantur, post Chr. n. demum scriptus esse videtur — non ante Eratostbenem exstitisse consentaneum est. neque vero *Ἀγίας*, ut semel auctor comoediae dicitur, quicquam aliud est quam *ΑΝΑΞ*(*ανδρίδου*) nomen per compendium scriptum. cf. Amphid. 49. 51. — fuerunt *Ζωγράφοι*(*-ος*) etiam Antiphanis, Diphili, Hipparchi, ut *Pictores* L. Pomponii Bononiensis. cf. Mein. I 370. 1. 416. III 168. O. Ribbeck. Com. Rom. fr.² p. 242.

13

πυξίον λαβὼν κάθου.

Pollux 10, 59 *εἴρηται μὲν γὰρ καὶ ἐπὶ ζωγράφου τοὔνομα* (*πυξίον*) *ἐν Ἀναξανδρίδου Ζωγράφοις ἢ Γεωγράφοις, ἑκατέρως γὰρ ἐπιγράφεται τὸ δρᾶμα· κτλ.* Bekker. Anecd. 113 in. *πυξίον· ὅπου*

οἱ ζωγράφοι γράφουσιν. Ἀγίας Ζωγράφῳ. tunc igitur *κάθου* pro *κάθησο* iam in usu fuit. cf. Alexid. 224. Aristoph. fr. 620.

14

κιννάβαρις

ἀρσενικῶς. Ἀναξανδρίδης Γεωγράφῳ. Bekker. Anecd. 104, 32. et 1208 (ad 999, 27) *τὸ δὲ κιννάβαρι καὶ ἀρσενικῶς εὑρέθη, ὁ κιννάβαρις. εὕρηται γὰρ παρὰ Ἀλεξανδρίδῃ ἡ αἰτιατικὴ τὸν κιννάβαριν.*

ΗΡΑΚΛΗΣ

15

ὁ μὲν γὰρ εὐφυής τις εἶναι φαίνεται,
ὡς δ' εὐρύθμως λαβὼν τὸ μελετητήριον
εἶτ' ἐσχεδίασε δριμέως ἐν . . παπαῖ,
μεστὸς γενόμενος πρὸς τὸν Ἀργᾶν βούλομαι
5 *κωδωνίσας πέμψαι σ' ἀγωνιούμενον,*
ἵνα καὶ σὺ νικᾷς τοὺς σοφιστάς, ὦ φίλε.

Athenaeus 14, 638 d *τοῦ Ἀργᾶ μνημονεύει . . . Ἀναξανδρίδης ἐν Ἡρακλεῖ κτλ.* 2. *εὐρύθμως* Schweigh.] *εὔρυθμος* A. 3. *ενπαπαι* A. lacunam indicavit Schweigh. *δριμέως παπαῖ παπαῖ* Casaub. *δριμέως εὖ μάλα παπαῖ* Mein. — Eustath. 1455, 34 *Εὐριπίδης* (cum multis aliis) *ἐπὶ συνετοῦ εἴρηκε τὸ δριμύ.* Cycl. 104 *δριμὺ Σισύφου γένος.* cf. quae ad Arist. Av. 255 adnotavimus. 4. *μεστὸς γενόμενος* i. e. cum satis cantu tuo me delectavero. Bekker. Anecd. 442, 30 *Ἄργας· ὁ δεινότατος παρ' ἡλικίαν ἄργας καλεῖται. οὕτως ἔλεγον καὶ τὸν Δημοσθένην* (Plutarch. Dem. 4. Aeschin. 2, 99. Harpocrat. et Hesych. *ἀργᾶς*). fuit autem *Argas* illo tempore cantor et citharoedus celeberrimus. cf. 41, 17. Alexid. 19. de accentu Herodian. I 51, 4 (cf. 54, 3) *ἔτι δὲ περισπῶνται ταῦτα μόνως κύρια ἢ ὑποκοριστικά, Ἑρμᾶς, Ἀργᾶς κτλ.* 6. *sophistae* hic sunt musici, ut Protagoras apud Platonem principes cuiusque artis sophistas adpellabat.

videntur duo pueri artis musicae magistro in disciplinam tradi, quorum alter ei magnopere probatur. alter fortasse Hercules fuit. *τὸ μελετητήριον* hic est *instrumentum* musicum. Hesych. *μελετητήριον οἶκος ἢ ὄργανον, ἐν ᾧ τις μελετᾷ.* 5. *κωδωνίσας*, ubi accuratius te examinavero.

ΘΕΤΤΑΛΟΙ

16

λιθάζειν

οὐχὶ λεύειν καὶ καταλεύειν. Ἀναξανδρίδης Θετταλοῖς. Bekker. Anecd. 106, 10.

ΘΗΣΑΥΡΟΣ

Eodem nomine comoedias composuerunt Philemon, Menander, Diphilus, Archedicus, Dioxippus, ac latine Luscius Lavinius, Menandri ut videtur imitator. cf. Donat. Ter. Eun. prol. 10. O. Ribbeck. Com. Rom. fr.[2] p. 84.

17

ὁ τὸ σκόλιον εὑρὼν ἐκεῖνος, ὅστις ἦν,
τὸ μὲν ὑγιαίνειν πρῶτον ὡς ἄριστον ὂν
ὠνόμασεν ὀρθῶς, δεύτερον δ' εἶναι καλόν,
τρίτον δὲ πλουτεῖν, τοῦθ', ὁρᾷς, ἐμαίνετο·
μετὰ τὴν ὑγίειαν γὰρ τὸ πλουτεῖν διαφέρει·
καλὸς δὲ πεινῶν ἐστιν αἰσχρὸν θηρίον.

Athenaeus 15, 694 ef *ἀσθέντος τούτου (τοῦ σκολίου)...ὁ Μυρτίλος ἔφη Ἀναξανδρίδην αὐτὸ διακεχλευακέναι τὸν κωμῳδιοποιὸν ἐν Θησαυρῷ λέγοντα οὕτως κτλ.* 2. *ὂν* Bergk. Poet. lyr. Scol. 8] *ἦν* A. 6. *πεινῶν* Canterus] *πίνων* A.

scolium quod Simonidis antiquitus vel Epicharmi vel alius poetae esse dicebatur Athenaeus 15, 694 e exscripsit: *ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ, δεύτερον δὲ καλὸν φυὰν γενέσθαι, τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως, καὶ τὸ τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.* cf. Philem. 163. oratio cum nimis inpedita videatur, v. 3 scribendum censeo *ὀρθῶς ὀνομάσας.* 4. *ὁρᾷς.* cf. quae adnotavimus ad Arist. Nub. 355. 'secundo loco' inquit 'ponendae erant divitiae, non forma corporis: nam sine divitiis venustas nullius pretii est'.

18

ἀναλαβὼν μόναυλον ηὔλουν τὸν ὑμέναιον.

Athenaeus 4, 176 a *Ἀναξανδρίδης δ' ἐν Θησαυρῷ κτλ.* possunt esse tetrametri reliquiae vel trimetrorum. in exitu supplere licet sexcenta. — cf. 51.

ΘΗΣΕΥΣ

19

ὅτε τὰς μορίας ἔτρωγεν, ὥσπερ καὶ Πλάτων.

Diogenes Laert. 3, 26 *τοιοῦτος δ' ὢν (Πλάτων) ὅμως ἐσκώφθη καὶ αὐτὸς ὑπὸ τῶν κωμικῶν... Ἀναξανδρίδης ἐν Θησεῖ κτλ.* *καὶ* add. G. Hermannus. — i. e. 'in Academia versabatur, olearum sacrarum plena'. olivis autem maxime delectatum fuisse Platonem narrat Diog. L. 6, 25.

20

παρθένοι παίζουσι πρὸς ἐλάφρ' ἐξαλλάγματα.

Bekker. Anecd. 96, 4 *ἐξαλλάγματα· Ἀναξανδρίδης Θησεῖ κτλ.* *ἐλαφρὰ* cod. *παίζουσιν εὐθὺς* Mein. *παίζειν φιλοῦσι* Herwerd. Mnem. nov. VI 66. Phrynich. Ecl. 363 *ἐξαλλάξαι τὸ τέρψαι καὶ παραγαγεῖν εἰς εὐφροσύνην. φυλαττόμενον χρὴ οὕτω λέγειν· οὐ γὰρ χρῶνται οἱ δόκιμοι. Φιλιππίδης δὲ καὶ Μένανδρος αὐτῷ χρῶνται.* cf. Bekker. Anecd. 96, 1, Zonar. 767.

ΙΩ

(*Ἐπὶ Ἱπ*)*ποδάμαντος* (Ol. 101, 2) Bergk. Mus. Rh. XXXIIII 328 n. 3.

ΚΑΝΗΦΟΡΟΣ

Sexti Turpilii *Canephorum* veri similius est ex Menandrea expressam esse. O. Ribbeck. Com. Rom. fr.[2] p. 86.

21

ἅπαντές ἐσμεν πρὸς τὰ θεῖ' ἀβέλτεροι,
κοὐκ ἴσμεν οὐδέν.

Stobaeus Ecl. II 1, 3 *Ἀναξανδρίδης Κανηφόρῳ.* *Ἀναξ.* Canterus in vers.] *Ἀλεξανδρίδης* A. *Ἀλεξανδρίδου ἀνηφόρῳ* ad latus contextus graeci '. Gaisf.

ΚΕΡΚΙΟΣ

Κερκύων Reines. Defens. var. lect. 72. Mein. I 371. cf. quae ad Arist. Av. 553. 558 adnotavimus. an *Κερκιδᾶς* Arcas (Demosth. 18, 295. Polyb. 18, 14, 2. 12. Harpocr. *Κερκίδας*) intellegendus est?

22

ἐρυθρότερον καρῖδος ὀπτῆς σ' ἀποφανῶ.

Athenaeus 3, 106 a *Ἀναξανδρίδης..ἐν Κερκίῳ κτλ.* sine poetae nomine Eustath. 1220, 53. *ἐρυθρότερον* C Eust.] *ἐρυθρώτερον* A. *'πτῆς* C Eust.] *ὀπτῶν* A. servo nescio quis minari videtur.

ΚΙΘΑΡΙΣΤΡΙΑ

23

βύστρα

Pollux 10, 172 *τοῦτο δὲ* (*βύσμα*) *βύστραν ἕτεροι κεκλήκασιν, ὡς Ἀναξανδρίδης Κιθαριστρίᾳ.* cf. Antiphan. 180.

ΚΥΝΗΓΕΤΑΙ

24

υἱὸς γὰρ οἰκόσιτος ἡδὺ γίνεται.

Athenaeus 6, 247 e f *Ἀναξανδρίδης ἐν Κυνηγέταις κτλ.* cf. Antiphan. 200. Anaxil. 39.

ΚΩΜΩΙΔΟΤΡΑΓΩΙΔΙΑ

Cf. Mein. I 247 et quae ad Alcaei *Comoedotragoediam* nos adnotavimus I 760.

25

γελασίνην

τὴν πολλὰ γελῶσαν. Ἀναξανδρίδης ἐν Κωμῳδοτραγῳδίᾳ. Bekker. Anecd. 87, 23. *γελασιήδην* cod. — apud Abderitas Democritus *Γελασῖνος* adpellabatur. Aelian. V. h. 4, 20.

ΛΟΚΡΙΔΕΣ

Titulo forsitan aliquid lucis adferat Athenaeus 12, 516 a *οὐ μόνον Λυδῶν γυναῖκες ἄφετοι τοῖς ἐντυχοῦσιν, ἀλλὰ καὶ Λοκρῶν τῶν Ἐπιζεφυρίων.* 14, 639 a. 15, 697 b *αἱ Λοκρικαὶ καλούμεναι (ᾠδαί), μοιχικαί τινες τὴν φύσιν ὑπάρχουσαι.* Strab. 6, 259. 60. cf. tamen etiam Polyb. 12, 5 et quae ad *Φιαληφόρου* titulum adnotavimus.

26

λῆμμα καὶ ἀνάλωμα

Ἀναξανδρίδης Λοκρίσιν. Bekker. Anecd. 106, 25. 'cod. *ἀνήλωμα* vel *ἀνήλωμαι*'.

ΛΥΚΟΥΡΓΟΣ

Thraciae regem, non Lacedaemonium neque Atheniensem significari existimo.

27

καὶ συμπαίζει καριδαρίοις
μετὰ περκιδίων καὶ θρᾶττιδίων,
καὶ ψητταρίοις μετὰ κωθαρίων,
καὶ σκινδαρίοις μετὰ κωβιδίων.

Athenaeus 3, 105 f *Ἀναξανδρίδης Λυκούργῳ κτλ.* v. l. 2 idem 7, 329 e *ὅτι δὲ θρᾶτταν ἔλεγον τὸ θαλάττιον ἰχθύδιον, καὶ Ἀναξανδρίδης παρίστησιν ἐν Λυκούργῳ λέγων οὕτως κτλ.* 1. *συμπαίζει* A 105] *συμπλιάζειν* A 329. *καριδαρίοις* A 105] *κορακινιδίοις*

A 329. 2. *περκιδίων* A 329] *περδικίων* A 105. at *πέρδικες* semper Attici. *θρᾳττιδίων* A 329] *θριττιδίων* A 105. 3. *ψητταρίοις* Lobeck. Phryn. 74] *ψιτταδίοις* A. *κωθαρίων* Schweigh.] *κωβιδαρίων* A. — *καὶ συμπαίζει* | *καριδαρίοις μετὰ περκιδίων*, | *κορακινιδίοις μετὰ θρᾳττιδίων* Meinekius propter discrepantiam Athenaei: in quibus offendit asyndeton conl. 3 et 4. in *κωβιδίων* offendit prius *ι* breve (a *κωβιός*). *μετὰ καρκινίων* Mein.

si Lycurgum recte Thraciae regem interpretati sumus, Bacchus hic significatur a rege in mare expulsus. bene Hom. Il. 6, 130 sq. confert Mein. Anal. Ath. 48. *ξυμπαίζει*, ut Arist. Av. 1098, ubi cf. adnot.

ΜΑΙ[ΝΟΜΕΝΟΣ]

Vel *Μαινόμενοι* (-*ομένη*) *ἐπὶ Χίωνος* (Ol. 103, 4) Bergk. Mus. Rh. XXXIIII 328 n. 3. *Μαινόμενος* etiam Diphili fuit et Diodori.

ΜΕΛΙΛΩΤΟΣ(Ν)

De *arbore meliloto* cf. Strab. 17, 831, de *flore* Plin. N. h. 21, 53. 63. 13, 12.

28

οὐ μανικόν ἐστ' ἐν οἰκίᾳ τρέφειν ταῶς,
ἑξὸν τοσουτονὶ δύ' ἀγάλματ' ἀγοράσαι;

Athenaeus 14, 654. 5 *ὅτι δὲ καὶ τιθασοὺς εἶχον αὐτοὺς* (*τοὺς ταῶς*) *ἐν ταῖς οἰκίαις . . . παρίστησιν . . . Ἀναξανδρίδης ἐν Μελιλώτῳ κτλ.* 1. *οὐχὶ* et *οἰκιδαι* A. *οὐ* Dindf. 2. *τοσουτονὶ δύ'* Coraes] *τοιούτουσϊδυο* A. *λαβεῖν δύ' ἀγάλματα* | *ἀγορᾶς* Dobr. Advers. II 350 inrideri existimans Eurip. El. 388. cf. Metag. 10. quae coniectura est infelicissima: quis enim umquam *emit ἀγάλματα ἀγορᾶς*? videndum potius an scripserit poeta *δύ' ἀγέλας*, 'cum duo greges non pluris constent quam par pavonum'. loquitur agricola.

29

τὸ κυλικεῖον

ἔστι καὶ παρὰ Ἀναξανδρίδῃ ἐν Μελιλώτῳ. Athenaeus 11, 460e. cf. Aristoph. fr. 104.

ΝΗΡΕΥΣ

Significatur *Nereus Chius*, coquus et caupo illis temporibus notissimus. Meinek. I 372. cf. Euphron. 1, 6. fortasse haec fabula non diversa fuit ab ea cui *Νηρηίδες* nomen est.

30

ὁ πρῶτος εὑρὼν πολυτελὲς τμητὸν μέγα
γλαύκου πρόσωπον, τοῦ τ' ἀμύμονος δέμας

θύννου τά τ' ἄλλα βρώματ' ἐξ ὑγρᾶς ἁλός,
Νηρεὺς κατοικεῖ τόνδε πάντα τὸν τόπον.

Athenaeus 7, 295 e *Ἀναξανδρίδης* (*ἀναξανδρείδης* A) *Νηρεῖ κτλ.* 2. *ἀμύμονος* Dobr.] *ἀκύμονος* A. 4. *κατοικῶ* Naber. Mnem. nov. VIII 54 sine ulla necessitate. quid sit *πολυτελὲς τμητὸν γλαύκου πρόσωπον* nemo facile exputabit. scribendum est *ὁ πρῶτος εὑρὼν πουλύποδας, τιλτόν, μέγα γλ. πρ.* et paullo post *τά τ' ἄλλα βρωτὰ τἀξ ὑγρ. ἁλ.* cf. Eur. Suppl. 1110. Xen. Laced. reip. 5, 3 et de *τιλτῷ* Plat. com. 193. Nicostr. 5, 5. iocus petitur ex duplici nominis Nerei significatione.

31

γογγυσμός

ἀντὶ τοῦ τονθορυσμοῦ (cod. *θορυσμοῦ*). *Ἀναξανδρίδης Νηρεῖ.* Bekker. Anecd. 87, 5.

Praeterea cf. Anaxilae fr. 23.

ΝΗΡΗΙΔΕΣ

32

δὸς δὴ τὸν χόα
αὐτῷ σύ, Κῶμε, καὶ τὸ κυμβίον φέρων.
Εὐριπίδης τις τήμερον γενήσεται.

Athenaeus 11, 482 cd *μνημονεύει* (*Εὐριπίδου*) *καὶ Ἀναξανδρίδης Νηρήσιν κτλ.* 1. *χό'* A. 2. *σύ, Κῶμε* (servi nomen est) Mein.] *σύγκωμε* A. *αὐτῷ φέρων, σύγκωμε, καὶ τὸ κυμβίον* Bergk. R. c. Att. 85 not. 3. *τήμερον* Dindf.] *σήμερον.*

Athen. 11, 482 c *οὐ τὸν τραγικὸν λέγει* (*Εὐριπίδην Ἔφιππος* 9. 16) *ποιητήν, ἀλλά τινα ὁμώνυμον αὐτῷ, ἤτοι φίλοινόν τινα ἢ αἰτίαν* (*famam*) *ἔχοντα οὐ χρηστήν, ὥς φησιν Ἀντίοχος ὁ Ἀλεξανδρεὺς ἐν τῷ περὶ τῶν ἐν τῇ μέσῃ κωμῳδίᾳ κωμῳδουμένων ποιητῶν.* versum 3 fortasse alteri personae tribuendum esse iam Meinekius adnotavit in ed. mai.

ΟΔΥΣΣΕΥΣ

33

τῶν ζωγράφων μὲν ἡ καλὴ χειρουργία
ἐν τοῖς πίναξι κρεμαμένη θαυμάζεται,
αὕτη δὲ σεμνῶς ἐκ λοπάδος ἁρπάζεται
ἀπὸ τοῦ ταγήνου τ' εὐθέως ἀφανίζεται.
5 *ἐπὶ τίνα δ' ὧδ' ἄλλην τέχνην, ὦ χρηστὲ σύ,*
τὰ στόματα τῶν νεωτέρων κατακάετ', ἢ
ὠθισμός ἐστι δακτύλων τοιουτοσὶ

ἢ πνιγμός, ἂν μὴ ταχὺ δύνηται καταπιεῖν;
ἀλλ' οὐ μόνη γὰρ τὰς συνουσίας ποιεῖ
10 εὔοψος ἀγορά; τίς δὲ συνδειπνεῖ βροτῶν
φρυκτοὺς καταλαβὼν ἢ κορακίνους ὠνίους
ἢ μαινίδ'; ὡραῖον δὲ μειρακύλλιον
ποίαις ἐπῳδαῖς ἢ λόγοις ἁλίσκεται
τίσιν, φράσον γάρ, ἄν τις ἀφέλῃ τὴν τέχνην
15 τὴν τῶν ἁλιέων; ἥδε γὰρ δαμάζεται,
ἐφθοῖς προσώποις ἰχθύων χειρουμένη,
ἄγουσ' ὑπ' αὐτὰ σώματ' ἀρίστου πύλας
ἀσύμβολον κλίνειν τ' ἀναγκάζει φύσιν.

Athenaeus 6, 227 b καὶ οἱ ἁλιεῖς ἐπὶ τῇ τέχνῃ μέγα φρονοῦσι μᾶλλον ἢ οἱ ἄριστοι τῶν στρατηγῶν. παράγει γοῦν τινα τούτων Ἀναξανδρίδης ἐν Ὀδυσσεῖ περὶ τῆς ἁλιευτικῆς τέχνης τάδε λέγοντα κτλ. 2. πίναξιν A. 3. αὕτη Schweigh.] αὐτὴ A. δ' ἀσέμνως Bothius. 4. ταγήνου ου in ras. m.[1] A. 5. ὧδ' add. Erfurdt. Obs. 431. δῆτ' Bergk. 6. κατακάετ' ἢ Dobr. Arist. Plut. 361 p. 44] κατακάεται A. 7. ὠθισμός C] ἠθισμός A. δακτύλων] γαστρίδων? cf. quae ad Arist. Ran. 200 adnotavimus. τοιουτοσὶ Dobr.] τοιούτων A. 8. ἂν Dindf.] ἐὰν A. 9. ἀλλ' οὐ μόνη cum interrog. post ἀγορά Casaub.] ἀλλου μονονη A. ἀλλ' οὖν μόνη Dindf. 11. φρύκτ' οὐ Casaub. (potius μὴ). κωρακίνους A. 12. μαινίδ' Casaub.] μηδὲν A. 14. ἂν Dindf.] ἐὰν A. 15. τὴν add. Iacobs. Addit. Ath. 135. 17. ἄγουσ'] οἴγουσ' Erfurdt. Obs. 456. idem αὐτὰ τὰ. ἀρίστου] Εὐρύτου Iacobs. (ἄγουσί τ' αὖ τὰ σώματ' ἐπ' Εὐρ. π.) et Erf. multo deterius Herwerd. Obs. crit. 55.

3. ἐκ λοπάδος ad *elixa*, ἀπὸ τοῦ ταγήνου ad *frixa* pertinere monet Schweighaeus. 5. non recte se habet κατακάειν τὰ στόματα ἐπί τι. dici poterat ἐκκάονται αἱ καρδίαι ἐπί τι: sed quid reponendum sit nescio. 11. Hesych. φρυκτά· ξηρὰ ἰχθύδια εὐτελῆ. atque etiam coracini vilissimi habebantur. Pherecr. 56. Amphid. 22. Diphil. 71. Antiph. 68, 15. non hoc dicit piscator neminem cum altero cenare velle, nisi pisces frixos aut coracinos reperiat (Casaub.), vel si ne frixos quidem coracinosve reperiat: ei enim ab hominibus delicatioribus omnino contemnebantur: sed neminem apud eum cenare velle, qui pro pretiosioribus qui tum diligebantur piscibus nihil nisi vilissimos frixos et coracinos emat. itaque cum *in foro emere* apud Graecos sit λαμβάνειν, non καταλαμβάνειν (cf. quae adnotavimus ad Phrynich. 51), scribendum est φρυκτοὺς λαβόντι καὶ κορακίνους κτλ.: nam ex καί quod oblitus erat librarius suprascripto ortum est κατα, ut ἢ natum est ex τι. 16. προσώποις, ut 30, 2. Athen. 7, 295 a (attulit Mein.) καὶ γὰρ τὸν Θησέα γεγονότα καλὸν ὑπολαμβάνω τοῦ Τληπολέμου

τὸν ἰχθὺν τοῦτον (γαλεὸν) αὐτῷ παρασχόντος παρεσχηκέναι. 'circumscribitur verbis Εὐρύτου πύλαι ἡ πυγή conl. Diog. L. 6, 59.' Iacobs. — nolo omittere Hesych. δημίαισι πύλαις· κοιναῖς, ἐπεὶ προειστήκεσαν ἐν ταῖς πύλαις αἱ πόρναι.

34

ὑμεῖς γὰρ ἀλλήλους ἀεὶ χλευάζετ', οἶδ' ἀκριβῶς·
ἂν μὲν γὰρ ᾖ τις εὐπρεπής, ἱερὸν γάμον καλεῖτε·
ἐὰν δὲ μικρὸν παντελῶς ἀνθρώπιον, σταλαγμόν.
λαμπρός τις ἐξελήλυθ', . . ὅλολυς οὗτός ἐστι·
5 λιπαρὸς περιπατεῖ Δημοκλῆς, ζωμὸς κατωνόμασται·
χαίρει τις αὐχμῶν ἢ ῥυπῶν, κονιορτὸς ἀναπέφηνεν·
ὄπισθεν ἀκολουθεῖ κόλαξ τῳ, λέμβος ἐπικέκληται·
τὰ πόλλ' ἄδειπνος περιπατεῖ, κεστρῖνός ἐστι νῆστις.
εἰς τοὺς καλοὺς δ' ἂν τις βλέπῃ, καινὸς θεατροποιός·
10 ὑφείλετ' ἄρνα ποιμένος παίζων, Ἀτρεὺς ἐκλήθη·
ἐὰν δὲ κριόν, Φρίξος· ἂν δὲ κωδάριον, Ἰάσων.

Athenaeus 6, 242 de τῶν δὲ τοιούτων ἐπιθέτων, ἃ ἐπὶ χλεύῃ Ἀθηναῖοι παίζοντες ἔλεγον, μνημονεύει Ἀναξανδρίδης ἐν Ὀδυσσεῖ οὕτως κτλ. Eustathius 1642, 59 (sine auctoris nomine) φησὶ γοῦν τις πρὸς Ἀθηναίους, ὡς ὑμεῖς ἀλλήλους κτλ. (om. 2. 4. 9). v. 7 Eustathius 1761, 49 τοῦ δὲ καὶ λέμβον τὸ ἐφόλκιον λέγεσθαι χρῆσις φέρεται Ἀναξανδρίδου παρὰ τῷ Ἀθηναίῳ. v. 8 Athenaeus 7, 307 e f Ἀναξανδρίδης Ὀδυσσεῖ κτλ. 1. χλευάζετε A. 2. ἂν Dindf.] ἐὰν A. 3. ἂν μὲν γὰρ ᾖ τι σμικρὸν Eustathius, quia v. 2 omisit, et in exitu καλεῖτε αὐτὸν στ. 4. εὐθὺς post οὗτος inserit Porson. Miscell. 237, post ἐξελήλυθ' Mein., ὑμῖν V 81. ολολυς A. 5. Δημοκλῆς om. Eust. 7. τῳ] τῶι A Eust. 8. πολλὰ A 307. ἐστιν νῆστις A 242. 11. ἂν Dindf.] ἐὰν A.

2. ἱερὸν γάμον 'Hymenaeum dicit in Iunonis Iovisque nuptiarum imitamentis ministrantem'. Mein. Anal. Athen. 105, ut venustulum hominem ornatum eum prodiisse censens. Philox. Cyther. 13 Bergk. Γάμε, θεῶν λαμπρότατε. 3. *Stalagmus* apud Plautum servus est in Captivis. 4. Phot. 329, 18 ὅλολυν· Μένανδρος (900 Mein.) τὸν γυναικώδη καὶ κατάθεον καὶ βάκηλον. cf. Herodian. I 236, 29. 237, 11. II 938, 16. 5. quis fuerit *Democles* non constat. nam Dionysii quidem adulator, de quo Athenaeus loquitur 6, 250 et 13, 584 f., vix videtur significari posse. cf. etiam Isae. 5, 5. 9. Demosth. 25, 47 et Dinarch. κατὰ Δημοκλέους. ζωμός, cf. Aristophont. 4 et de perfecto Antiphan. 204. 6. κονιορτός *Euctemonis* erat cognomen. Demosth. 21, 139 Εὐκτήμων ὁ κονιορτός· τοιοῦτοί τινές εἰσι μισθοφόροι περὶ αὐτὸν (Μειδίαν). 9. θεατροποιός corruptum est. scr. βλέπῃ παῖδας, θεατροπίπης. cf. quae ad Arist. Eq. 407

adnotavimus. *θεατροτρύνη Μέλισσα* Athen. 4, 157 a. 10. 'pro *Atreo* potius Thyestem commemorari exspectes'. Mein. conl. Eurip. El. 719. Preller. Myth. gr.[2] II 388.

ΟΠΛΟΜΑΧΟΣ

Magister aliquis armorum significatur, qualem ridicule describit Plato in Lachete. orta erat *ἡ ὁπλομαχία* sub exitum belli Peloponnesiaci et ambigebant de utilitate eius Athenienses.

35

μάγαδιν λαλήσω μικρὸν ἅμα σοι καὶ μέγαν.

Athenaeus 4, 182 d *ὁ δὲ μάγαδις καλούμενος αὐλὸς...ἐν ταὐτῷ ὀξὺν καὶ βαρὺν φθόγγον ἐπιδείκνυται, ὡς Ἀναξανδρίδης (ἀλεξανδρίδης* A, corr. Meurs.) *ἐν Ὁπλομάχῳ φησί κτλ.* et 14, 634 c *Τρύφων δ' ἐν δευτέρῳ περὶ ὀνομασιῶν λέγει οὕτως 'μάγαδις ἐν ταὐτῷ ὀξὺν καὶ βαρὺν φθόγγον ἐπιδείκνυται, ὡς Ἀναξανδρίδης (ἀλεξανδρίδης* A) *ἐν Ὁπλομάχῳ φησίν' κτλ.* magadis utrum tibia sit an cithara disceptatur Athen. 14, 634 c — 636 b. *μέγα* Casaub. 'aut *λαλήσω* corruptum aut scribendum *μάγαδι* et *μέγα*'. Mein. non intellego.

36

λεπτοτέρως

Ἀναξανδρίδης Ὁπλομάχῳ. Bekker. Anecd. 106, 18.

ΠΑΝΔΑΡΟΣ

Hom. Il. 2, 827. 4, 88 sq. 5, 168 sq.

37

οὐκ ἐπικεκυφὼς ὀρθός, ὦ βέλτιστ', ἔσει·
αὕτη δὲ καριδοῖ τὸ σῶμα καμπύλη,
ἄγκυρά τ' ἐστὶν ἄντικρυς τοῦ σώματος.

Athenaeus 3, 105. 6 *ὁ δ' αὐτὸς (Ἀναξανδρίδης) κἀν Πανδάρῳ φησίν κτλ.* Eustathius 1220, 49 *ἐκ τῆς καρῖδος χρηστόν ἐστι τὸ καριδῶ, ἤγουν ὡς εἰπεῖν σφαιρῶ, οἷον αὕτη δὲ καριδοῖ τὸ σῶμα, καμπύλη τ' ἄγκυρά ἐστι.* 1. *ἐπικεκυφὼς* Casaub.] *ἐπικεκρυφὼς* A. *ἀνακεκυφὼς* cum interrog. post *ἔσει* Mein. Anal. Ath. 48. *ἔσει* Dindf.] *ἔσηι* A. 2. *καριδοι* A. *καμπύλη τ' ἄγκυρά τ'* A. *καμπύλη τ' ἄγκυρα* praeter Eustath. C. *καμπύλον* Mein. 3. *σχήματος* G. A. Hirschig. Ann. crit. 5 conl. Arist. Eccl. 150 *διερεισαμένη τὸ σχῆμα τῇ βακτηρίᾳ. αὕτη* certe est *βακτηρία.* mihi scribendum videtur *ἄγκυρά τ' ἐστὶν ἀντ. τὸ σχῆμά σου.*

38

Ἄρεος παιδίον

ἐπὶ τῶν θρασυτάτων. κέχρηται . . . Ἀναξανδρίδης Πανδάρῳ. Suidas *Ἀρεοπαγίτης. Ἀναξ.* Hemsterhus. Arist. Plut. p. 324] *ἀλεξ. Πανδάρῳ* Mein. I 373] *πεισάνδρῳ.*

ΠΟΛΕΙΣ

Meinekius eodem quo Eupolis Civitates in scaenam introduxerit consilio etiam Anaxandridem censet usum esse et praesentibus sociis Aegyptiorum quidem legatos foedus auxiliumque ab Atheniensibus petivisse, Civitatem autem Atheniensium id fieri posse negavisse. de argumento non habeo quod opponam: sed quod in antiqua comoedia Eupolidi licebat, in nova aliter instituendum erat Anaxandridi.

39

οὐκ ἂν δυναίμην συμμαχεῖν ὑμῖν ἐγώ·
οὔθ' οἱ τρόποι γὰρ ὁμονοοῦσ' οὔθ' οἱ νόμοι
ἡμῶν, ἀπ' ἀλλήλων δὲ διέχουσιν πολύ.
βοῦν προσκυνεῖς, ἐγὼ δὲ θύω τοῖς θεοῖς·
5 *τὴν ἔγχελυν μέγιστον ἡγεῖ δαίμονα,*
ἡμεῖς δὲ τῶν ὄψων μέγιστον παρὰ πολύ.
οὐκ ἐσθίεις ὕει', ἐγὼ δέ γ' ἥδομαι
μάλιστα τούτοις· κύνα σέβεις, τύπτω δ' ἐγώ,
τοὔψον κατεσθίουσαν ἡνίκ' ἂν λάβω.
10 *τοὺς ἱερέας ἐνθάδε μὲν ὁλοκλήρους νόμος*
εἶναι, παρ' ὑμῖν δ', ὡς ἔοικ', ἀπηργμένους.
τὸν αἰέλουρον κακὸν ἔχοντ' ἐὰν ἴδῃς,
κλάεις, ἐγὼ δ' ἥδιστ' ἀποκτείνας δέρω.
δύναται παρ' ὑμῖν μυγαλῆ, παρ' ἐμοὶ δέ γ' οὔ.

Athenaeus 7, 299 f *Ἀναξανδρίδης δ' ἐν Πόλεσι πρὸς τοὺς Αἰγυπτίους ἀποτεινόμενος τὸν λόγον φησίν κτλ.* v. 10. 11 Eustathius 1183, 13 *τοὺς Αἰγυπτίους ἱερεῖς εὐνούχους δηλαδὴ ὄντας σκώπτει τις εἰπὼν ἀπῆρχθαι διὰ τὸ ἐξ αὐτῶν ὡς οἷά τινα προδεδόσθαι ἀπαρχὴν τὴν τμῆσιν τῶν αἰδοίων, ὡς δῆλον ἐκ τοῦ κτλ.* 3. *διέχουσι* A. 6. *παραπολύ* A. 7. *ὕεια* A. 11. *ἔοικ'* A] *ἔοικεν.* 13. *κλάεις* Dindf.] *κλαίεις* A et *ἥδιστα*, *ι* ex *η* corr. m.[1]. 14. *δυνατὴ* K. *μυγάλη* A. cf. Cephisodor. 7. Herod. 2, 66. 67.

ΠΡΩΤΕΣΙΛΑΟΣ

An *Πρωτεσίλεως*? fortasse tragoediae Euripideae argumentum in ridiculum deflexerat. cf. Preller. Myth. gr.[2] II 422. quomodo

fragmenta cum fabula Protesilai congruere possint intellegetur conlatis eis quae ex Cobeti Obs. crit. Plat. 124 ad Terei titulum exscripta sunt.

40

μύρῳ δὲ παρὰ Πέρωνος, οὗπερ ἀπέδοτο
ἐχθὲς Μελανώπῳ πολυτελοῦς Αἰγυπτίου,
ᾧ νῦν ἀλείφει τοὺς πόδας Καλλιστράτου.

Athenaeus 12, 553 d *Ἀναξανδρίδης ἐν Πρωτεσιλάῳ κτλ.* idem 15, 689. 690 *Ἀναξανδρίδης Πρωτεσιλάῳ κτλ.* 1. *μύρῳ δὲ* A 553] *μύρον τε* A 689. 2. *ἐχθὲς* A 553] *χθὲς* A 690. *Αἰγυπτίου* A 690] *εναιπτιωι* A 553. 3. *νῦν ἀλείφει* A 690] *συναλείφει* A 553.

de *Perone* unguentario cf. Theopomp. 1. 16. Antiph. 35. *οὗπερ* i. e. *de quo* non nihil vendidit. quis esset ille, qui pedes Callistrati unguere dicitur, ex eis quae praecedebant aut sequebantur perspiciebatur: poterat Melanopus (ac sic Bergk. R. c. Att. 405), poterat vero etiam is qui unguentum vendidisset significari. de *Melanopi Callistratique* in republica gerenda simultatibus Plutarch. Demosth. 13 *Μελάνωπος ἀντιπολιτευόμενος Καλλιστράτῳ καὶ πολλάκις ὑπ' αὐτοῦ χρήμασι μετατιθέμενος* (scr. *μεταπειθόμενος*) *εἰώθει λέγειν πρὸς τὸν δῆμον 'ὁ μὲν ἀνὴρ ἐχθρός, τὸ δὲ τῆς πόλεως νικάτω συμφέρον'.* Aristot. Rhet. 1, 14 init. *ἀδίκημα δὲ μεῖζον, ὅσῳ ἂν ἀπὸ μείζονος ᾖ ἀδικίας. διὸ καὶ τὰ ἐλάχιστα μέγιστα, οἷον ὃ Μελανώπου Καλλίστρατος κατηγόρει, ὅτι παρελογίσατο τρία ἡμιωβέλια ἱερὰ τοὺς ναοποιούς...ὁ γὰρ τρία ἡμιωβέλια ἱερὰ κλέψας κἂν ὁτιοῦν ἀδικήσειεν.* inter legatos ab Atheniensibus Ol. 102, 1 Spartam de pace missos commemorantur Xenoph. Hell. 6, 3, 2. 3. 10. cf. Orat. Att. fragm. ed. Tur. p. 218. 9 et ind. nom. p. 73.

41

κἂν ταῦτα ποιῆθ' ὥσπερ φράζω,
λαμπροῖς δείπνοις δεξόμεθ' ὑμᾶς,
οὐδὲν ὁμοίοις τοῖς Ἰφικράτους
τοῖς ἐν Θρᾴκῃ· καίτοι φασὶν
5 *βουβαυκαλόσαυλα γενέσθαι.*
κατὰ τὴν ἀγορὰν μὲν ὑπεστρῶσθαι
στρώμαθ' ἁλουργῆ μέχρι τῆς ἄρκτου·
δειπνεῖν δ' ἄνδρας βουτυροφάγας,
αὐχμηροκόμας μυριοπληθεῖς·
10 *τοὺς δὲ λέβητας χαλκοῦς εἶναι,*
μείζους λάκκων δωδεκακλίνων·
αὐτὸν δὲ Κότυν περιεζῶσθαι

ζωμόν τε φέρειν ἐν χοῖ χρυσῇ,
καὶ γευόμενον τῶν κρατήρων
15 πρότερον μεθύειν τῶν πινόντων.
αὐλεῖν δ' αὐτοῖς Ἀντιγενείδαν,
Ἀργᾶν δ' ᾄδειν καὶ κιθαρίζειν
Κηφισόδοτον τὸν Ἀχαρνῆθεν,
μέλπειν δ' ᾠδαῖς
20 τοτὲ μὲν Σπάρτην τὴν εὐρύχορον,
τοτὲ δ' αὖ Θήβας τὰς ἑπταπύλους
τὰς ἁρμονίας μεταβάλλειν.
φερνάς τε λαβεῖν δύο μὲν ξανθῶν
ἵππων ἀγέλας, αἰγῶν τ' ἀγέλην,
25 χρυσοῦν τε σάκος
. . . φιάλην τε λεπαστήν,
Χίου τε πρόχουν, κέρχνων τε χύτραν,
βολβῶν τε σιρὸν δωδεκάπηχυν
καὶ πουλυπόδων ἑκατόμβην.
30 ταῦτα μὲν οὕτως φασὶ ποιῆσαι
Κότυν ἐν Θρᾴκῃ, γάμον Ἰφικράτει.
τούτων δ' ἔσται πολὺ σεμνότερον
καὶ λαμπρότερον παρὰ δεσποσύνοις
τοῖς ἡμετέροις. τί γὰρ ἐκλείπει
35 δόμος ἡμέτερος ποίων ἀγαθῶν;
οὐ σμύρνης καὶ Συρίας ὀδμαὶ
λιβάνου τε πνοαί; τερενοχρῶτες
μαζῶν ὄψεις, ἄρτων, ἀμύλων,
πουλυποδείων, χολίκων, δημοῦ,
40 φυσκῶν, ζωμοῦ, τεύτλων, θρίων,
λεκίθου, σκορόδων, ἀφύης, σκόμβρων,
ἐνθρυμματίδων, πτισάνης, ἀθάρης,
κυάμων, λαθύρων, ὤχρων, δολίχων,
μέλιτος, τυροῦ, χορίων, πυρῶν,
45 καρύων, χόνδρου.
κάραβοι ὀπτοί, τευθίδες ὀπταί,
κεστρεὺς ἑφθός, σηπίαι ἑφθαί,
μύραιν' ἑφθή, κωβιοὶ ἑφθοί,
θυννίδες ὀπταί, φυκίδες ἑφθαί,
50 βάτραχοι, πέρκαι,

συνόδοντες, ὄνοι, βατίδες, ψῆτται,
γαλεός, κόκκυξ, θρίτται, νάρκαι,
ῥίνης τεμάχη, σχαδόνες, βότρυες,
σῦκα, πλακοῦντες, μῆλα, κράνειαι,
55 *ῥόαι, ἕρπυλλος, μήκων, ἀχράδες,*
κνῆκος, ἐλᾶαι, στέμφυλ', ἄμητες,
πράσα, γήτειον, κρόμμυα, φυστή,
βολβοί, καυλοί, σίλφιον, ὄξος,
μάραθ', ᾠά, φακή, τέττιγες, ὀποί,
60 *κάρδαμα, σήσαμα, κήρυκες, ἅλες,*
πίνναι, λεπάδες, μύες, ὄστρεια,
κτένες, ὄρκυνες· καὶ πρὸς τούτοις
ὀρνιθαρίων ἀφάτων πλῆθος,
νηττῶν, φαττῶν· χῆνες, στρουθοί,
65 *κίχλαι, κόρυδοι, κίτται, κύκνοι,*
πελεκάν, κίγκλοι, γέρανος — B. τουδὶ
τοῦ χάσκοντος διατειναμένη
διὰ τοῦ πρωκτοῦ καὶ τῶν πλευρῶν
διακόψειεν τὸ μέτωπον.
70 *οἶνοι δέ σοι λευκὸς . . .*
γλυκὺς αὐθιγενὴς ἡδὺς καπνίας.

Athenaeus 4, 131 a sq. *Ἀναξανδρίδης ἐν Πρωτεσιλάῳ διασύρων τὸ τῶν Ἰφικράτους γάμων συμπόσιον, ὅτε ἤγετο την Κότυος τοῦ Θρᾳκῶν βασιλέως θυγατέρα, φησίν κτλ.* v. 13 et 26. 7 Philemon p. 204. Eustathius 1835, 20 *χοῦς . . . οὐ μόνον ἀρσενικῶς, ἀλλὰ καὶ θηλυκῶς, οἷον 'ζωμόν τε φέρει ἐν χοῖ χρυσῇ'. αὕτη δὲ καὶ πρόχους . . λέγεται, οἷον 'φιάλην τε λεπαστὴν χιόνος τε πρόχουν'.* 1. *ποιῆθ'* K.] *ποιῇς* A. *ποιῆσθ'* Bergk. Zimmerm. Altert. 1837 p. 42. 2. *δεξόμεθ'* Wakefield. Silv. crit. 2, 89] *δεξεθ'* A. *δέξονθ'* (*οἱ δεσπόσυνοι* 33) Iacobs. Addit. Ath. 89. 3. *ὁμοίως* A. 4. *καὶ τοῖς* A. 5. *βουβαυκαλόσαυλα* M. Haupt. Opusc. III 561. 2] *βυβακαλους αὐτὰ* A. *βουβαύκαλα ταῦτα* Mein. 7. *στρώμαθ' ἀλουργῆ* Wakefield] *στρώματα μὲν ἀλουργὰ* A. *ἄρκτου*] *ἀκάτου* K., *usque ad scapham* Iphicratis. 8. *βουτυροφάγας* Dobr. Append. Aristoph. p. 130] *βούτυρον φασιν* A. ac iam Casaubonus 'Thraces poeta facit butyrophagos, cum in Graecia vix butyri adhuc esset usus cognitus'. 12. *κόττυν* C. 16. *Ἀντιγενείδαν* Schweigh.] *ἀντιγενίδαν* A. 17. *ἀργαν* A. 22. *τάς θ'* Mein., in ed. mai. idem *μεταβάλλοντας*, quod praefero. 24. *ἀγέλας* VL] *ἀγέλην* A (bis). 26. lacunam indicavit Dindorfius. *φιάλην*] *φίλην* A. 27. *Χίου* K.] *χιόνος* A. *κέγχρων τε σιρόν, βολβῶν τε χύτραν* Dobr.

Advers. II 304 conl. Arist. Eccl. 1092 *βολβῶν χύτραν*. 28. *δωδεκάπηχεων* (sic) C. 29. *πουλυπόδων* Schweigh.] *πολυπόδων* A. 34. *ἐλλείπει* recte Meinekius Anal. Ath. 61. 36. *καὶ* om. C et epit. Hoeschel. *οὐχὶ σμύρνης* Casaub. *οὐ σμύρνης γὰρ* vel *ἆρ' οὐ σμύρνης* vel *οὐ σμύρνης Ἀσσυρίας* Mein. an *σμύρνης τῆς Συρίας*? 37. *πνοαί* Dindf.] *ποῖαι* A. 39. *πουλυποδείων* Schweigh.] *πολυποδείων* A. 43. *ὤχρων* C] *ὠχρῶν* A. 44. *πυρῶν*] *πυοῦ* Schweigh. 7, 311 d. *γύρων*, 'quod placentae genus est' Mein. cf. Arist. Av. 565. 48. *μύραινα* A. 49. *ὀπταί*] *ἑφθαί* C. 'aut hoc probandum aut eodem versu scribendum *φυκίδες ὀπταί*' Mein. 52. *θρίτται* K.] *θρίσσαι*. an *θρᾶττται*? 53. *ῥίνης* Schweigh.] *ῥεινης* A. 56. *στέμφυλα* A. 57. *γήτειον* Dindf.] *γήτεια* A, qui deinde *κρόμυα*. 59. *ὀποί* Mein. Euphor. 84] *ὀπτοί* A. *ὀπός* Dobr. 61. *ὄστρεια* Schweigh.] *ὄστρεαι* A. 63. *ἄφατον* Schweigh. 66. *τουδὶ* Mein. Euph. 85] *τουτὶ* A. an *τουτὶ σοῦ χάσκοντος*? 70. *οἶνος δ' ἔσται λευκός, μαλακός* Iacobs. Addit. Athen. 90. an *οἶνος δ' οἶκοι*? *λευκός, κιρρός* Mein.

de Iphicratis in Thracia commoratione brevissime Theopompus Athen. 12, 532 b. Aristot. Oecon. 1351 a, 18 sq. *nuptias* indicat magis quam commemorat Corn. Nep. Iph. 3 *Menesthea filium reliquit ex Thressa natum, Coti regis filia.* Demosth. 23, 129 (*Κότυς*) *κηδεστὴς ἦν Ἰφικράτει τὸν αὐτὸν τρόπον ὅνπερ Χαριδήμῳ Κερσοβλέπτης, καὶ τὰ πεπραγμένα πολλῷ μείζονα καὶ χάριτος πλείονος ἄξια ὑπὲρ Κότυος Ἰφικράτει.* 5. Etym. 192, 20 *βαύκαλον· μαλακιζόμενον* (*βαυκιζόμενον* M. Haupt. Opusc. III 561), *τρυφερόν..βαυκὸν γὰρ τὸ τρυφερόν.* Hesych. *βαυκά· ἡδέα. βαυκίζεσθαι· θρύπτεσθαι.* cf. Poll. 4, 100. Photius *σαῦλον· τρυφερόν. σαυλοῦσθαι· θρύπτεσθαι, ἁβρύνεσθαι.* Hesych. *σαῦλον· ἁβρόν..τρυφερόν. Ἀττικοί. σαυλοῦσθαι· τρυφᾶν, θρύπτεσθαι, ἐναβρύνεσθαι.* Eurip. Cycl. 40. Arist. Vesp. 1173. cf. Arar. 9. 8. Plin. N. h. 28, 133 *butyrum barbararum gentium lautissimus cibus et qui divites a plebe discernat.* 11. Photius (ac similiter Suidas et Schol. Ald. Arist. Eccl. 154) *λάκκος· Ἀθηναῖοι καὶ τῶν ἄλλων Ἑλλήνων τινὲς ὀρύγματα ὑπὸ γῆν ποιοῦντες εὐρύχωρα, καὶ στρογγύλα καὶ τετράγωνα, καὶ κονιῶντες αὐτὰ οἶνον ὑποδέχονται καὶ ἔλαιον εἰς αὐτά· καὶ ταῦτα λάκκους καλοῦσιν. δωδεκακλίνων*, ut *κεφαλῆς ἑνδεκακλίνου* Teleclid. 44. proprie oecos ita dici monuit Casaub. 12. *περιεζῶσθαι*, ut coquum. cf. Alexid. 174, 11. Hegesipp. 1, 7. 16. Harpocrat. *Ἀντιγεν(ε)ίδας...υἱὸς ἦν οὗτος Διονυσίου, ἐνδοξότατος αὐλητής.* Dionysius magister fuit Epaminondae. Corn. Nep. Ep. 2. Bekker. Anecd. 410, 1 *Ἀντιγεν(ε)ίδας· ἐνδοξότατος γέγονεν αὐλητής, υἱὸς Διονύσου* (*Διονυσίου*). formam nominis explicat Lobeck. Paralip. 5. de *Arga* cf. 15. 22. Bekker. Anecd. 15, 25 *ἡ μεταβολή ἐστιν ἐξ ὁμοίου τόνου εἰς ἀνόμοιον μετάβασις, οἷον εἴ τις ἐν ἑνὶ ποιήματι ἢ κρούματι τὴν μελοποιίαν, τυχὸν δώριον οὖσαν, ὑποδώριον ποιεῖ, μιγνὺς τῇ δωρίῳ τὴν ὑποδώριον.* Theophr.

H. pl. 4, 11, 4 *πρὸ Ἀντιγεν(ε)ίδου . . ηὔλουν ἀπλάστως . . . ἐπεὶ δὲ εἰς τὴν πλάσιν μετέβησαν κτλ.* 28. Eurip. fr. 824 N. *ἀνοῖξαι μὲν σιροὺς οὐκ ἠξίου.* Schol. Demosth. 8, 45 *σιροῖς· τὰ κατάγεια Θεόπομπος καὶ Σοφοκλῆς ἐν Ἰνάχῳ* (255 N.) *σιροὶ κριθῶν . . . μελίνην τὴν κέγχρον.* Etym. m. 714, 21 *σιροί· τὸ ἐπιτήδειον ἀγγεῖον εἰς ἀπόθεσιν πυρῶν καὶ τῶν ἄλλων ὀσπρίων.* apud Thraces frequentem eorum usum fuisse narrat etiam Varro R. r. 1, 57. 29. *ἑκατόμβην*, ut Ephipp. 8, 4. 36. *ὀδμαί* in anapaestis minus offendit. cf. Mnesim. 4, 60. Antiph. 161, 10. 43. Hesych. *δόλιχοι· ὀσπρίου εἶδος.* 59. *cicadae* quoque conditae edebantur. cf. Athen. 4, 133 b. Aristoph. fr. 51. 60. *ἅλες* vix sanum. an *ἅμης*? cf. v. 57 *φυστή* et Ephipp. 8, 3. 65. *κίχλαι, κύκνοι* prima producta ut 37 *τερενοχρῶτες.* 66. Hesych. *γέρανος . . . καὶ ὄργανον ξύλινον, ἐν ᾧ κόπτουσιν οἱ ἀλφιτοποιοὶ τὰ ἄλφιτα.* a *τουδί* altera persona loqui incipit. cf. Plat. com. 173, 21. 'digito monstrabat histrio qui haec recitabat unum ex spectatoribus, quem propter *εὐρυπρωκτίαν* notare vellet . . . utinam grus illa toto corpore perforato frontem inpudici illius pertundat'. Mein., ex parte secundum Casaub. de vino *καπνίᾳ* cf. Pherecr. 130, 6 (Cratin. 334). Hehn Kulturpfl. 136.

ΣΑΜΙΑ

42

τὸ γὰρ κολακεύειν νῦν ἀρέσκειν ὄνομ' ἔχει.

Athenaeus 6, 255 a *ταύτην δὲ τὴν κολακείαν τινὲς ἐκτρεπόμενοι τοὔνομα ἀρεσκείαν προσαγορεύουσιν, ὡς καὶ Ἀναξανδρίδης ἐν Σαμίᾳ κτλ.* *ἀρέσκειν* Cantor Nov. lect. 4, 5] *ἀρέσκειαν* A. cf. Casaub. Theophr. Char. 5 p. 62 Lips.

ΣΑΤΥΡΙΑΣ

Nomen proprium esse videtur formatum ut *Ἀριστίας* et sim. Mein. I 373. *Ἱππίας, Ξενίας, Δεινίας, Γοργίας, Κλεινίας, Ξανθίας* al.

43

ὠτάρια

ὠνόμασε καὶ Ἀναξανδρίδης ἐν Σατυρίᾳ (*σατυρίαι* A). Athenaeus 3, 95 c.

ΣΩΣΙΠΠΟΣ

Quis intellegendus sit nescio. fuit etiam poeta comicus Sosippus.

44

πτόλιν

Schol. Hom. Iliad. 23, 1 *Κυπρίων τῶν ἐν Σαλαμῖνι ἡ λέξις. κεῖται δὲ καὶ παρὰ κωμικῷ Ἀναξανδρίδῃ ἐν Σωσίππῳ.*

ΤΗΡΕΥΣ

Chamaeleon Heracl. Athen. 9, 374 a b *Ἀναξανδρίδης...ὅτε μὴ νικῴη, λαμβάνων (τὰς κωμῳδίας) ἔδωκεν εἰς τὸν λιβανωτὸν κατατεμεῖν καὶ οὐ μετεσκεύαζεν ὥσπερ οἱ πολλοί. καὶ πολλὰ ἔχοντα κομψῶς τῶν δραμάτων ἠφάνιζε δυσκολαίνων τοῖς θεαταῖς... θαυμάζω οὖν πῶς ὁ Τηρεὺς διεσώθη μὴ τυχὼν νίκης καὶ ἄλλα δράματα τῶν ὁμοίων τοῦ αὐτοῦ.* — 'deos istos et personas mythologicas inducebant de rebus Atheniensium tamquam probe sibi notis inter sese disserentes'. Cobet. Obs. crit. Plat. 124.

45

ὄρνις κεκλήσει. Β. διὰ τί, πρὸς τῆς Ἑστίας;
πότερον καταφαγὼν τὴν πατρῴαν οὐσίαν
ὥσπερ Πολύευκτος ὁ καλός; Α. οὐ δῆτ', ἀλλ' ὅτι
ἄρρην ὑπὸ θηλειῶν κατεκόπης.

Athenaeus 4, 166 d *Πολύευκτον Ἀναξανδρίδης ἐν Τηρεῖ κωμῳδῶν κτλ.* 1. *κεκλήσηι* et 3. *δῆτα* A. — adparet *Polyeuctum* quoque ab Atheniensibus *avem* vocatum esse. cf. Arist. Av. 165 sq. 1290 sq. significatur autem Polyeuctus Sphettius, orator nobilissimus, de quo cf. Demosth. 9, 72. Dinarch. 1, 100. Plutarch. Mor. 841 e. Ruhnk. Hist. crit. or. LXXX. Saupp. Orat. Att. fr. 273. dissentit tamen Boehneckius Forsch. auf d. Gebiet d. att. Redn. 643. de *gallinis* gallorum victricibus cf. Aristot. H. an. 10, 49. Aelian. H. an. 5, 5.

46

ἀλλ' οἷα νύμφη βασιλὶς ὠνομασμένη
μύροις Μεγαλλείοισι σῶμ' ἀλείφεται.

Athenaeus 15, 691 a *τοῦ Μεγαλλείου μύρου μνημονεύει . . . Ἀναξανδρίδης Τηρεῖ κτλ. μεγαλλίοισι* et *μεγαλλίου* A. cf. Pherecr. 140. — *ὠνομασμένη* 'regia virgo *desponsata*'. Mein. de qua significatione iure dubitat Herwerden. Obs. crit. 55. scribendum est *ἔνδον ἀσμένη*. cf. Eupol. 281. Lysipp. 8. Toeppelius Progr. Neobr. 1867, 8 *ἀσμένη χεροῖν*. 2. *Μεγαλλείοις τὸ σῶμ'* Herwerd. Stud. crit. 86.

47

ὀχευομένους δὲ τοὺς κάπρους
καὶ τὰς ἀλεκτρυόνας θεροῦσ' ἄσμενοι.

Athenaeus 9, 373 f *τὸν ἀλεκτρυόνα... οἱ ἀρχαῖοι καὶ θηλυκῶς εἰρήκασι...Ἀναξανδρίδης Τηρεῖ κτλ. θεροῦσ'* Dindf.] *θεροῦσιν* A. *τοῖς κάπροις ὀχευομένοις* quid faciam nescio.

ΥΒΡΙΣ

48

οὔκουν λαβὼν τὸν φανὸν ἅψεις μοι λύχνον;

Athenaeus 15, 700a *Ἀναξανδρίδης ἐν Ὕβρει κτλ.* *ἐν Ὕβρει· οὔκουν* Porson.] *ενυβριουκουν* A. atque *Ὕβρει* iam Casaub. et Iacobs. Addit. Ath. 370.

ΦΑΡΜΑΚΟΜΑΝΤΙΣ

I. e. homo medici simul et arioli partes agens.

49

ὅτι εἰμ' ἀλαζών, τοῦτ' ἐπιτιμᾷς; ἀλλὰ τί;
νικᾷ γὰρ αὕτη τὰς τέχνας πάσας πολὺ
μετὰ τὴν κολακείαν. ἥδε μὲν γὰρ διαφέρει.

Athenaeus 6, 261 f *τῇ δ' ἀλαζονείᾳ μετὰ τὴν κολακείαν χώραν δίδωσιν Ἀναξανδρίδης ὁ κωμῳδιοποιὸς ἐν Φαρμακομάντει λέγων οὕτως κτλ.* 1. *εἰμὶ* A. *τί; νικᾷ* Casaub.] *τινι καὶ* A. 3. *ηδεμενγαρ* A. — loquitur ipse *φαρμακόμαντις*, *ἀλαζονείαν* ab arte sua abesse posse negans. cf. Rubnk. Tim. 21. 2.

50

ἀσφάραγον σχῖνόν τε τεμὼν καὶ ὀρίγανον, ὃς δὴ
σεμνύνει τὸ τάριχον ὁμοῦ μιχθεὶς κοριάννῳ.

Athenaeus 2, 68 b *ὅτι εἴρηται ἀρσενικῶς ὁ θύμος καὶ ὁ ὀρίγανος. Ἀναξανδρίδης κτλ.* Etymol. m. 630, 49 *θηλυκῶς μὲν εὕρηται (ὀρίγανος) παρὰ Ἀριστοφάνει ἐν Ἐκκλησιαζούσαις, ἀρσενικῶς δὲ παρὰ Ἀναξανδρίδῃ ἐν Φαρμακομάντει.* Cramer. Anecd. Paris. IIII 12, 32 *ἀρσενικῶς (ὀρίγανος) παρὰ Ἀναξανδρίδῃ ἐν Φαρμακομάντει.* Eustathius 1148, 26 *καὶ ὁ ὀρίγανος, οἷον ὀρίγανον, ὃς δὴ κτλ.* cf. 1390, 59. 1. *τεμὼν* Casaub.] *τέμνων.* 2. *τὸ τάριχον*] *τὸ τάριχος* Eust., qui tamen 1390, 59 ex Aelio Dionysio *ὁ τάριχος καὶ τὸ τάριχον.* *μιχθεὶς* Eust.] *μι* cum lacuna B. *μιχθὲν* V L.

ΦΙΑΛΗΦΟΡΟΣ

Nescio possintne huc pertinere quae Polybius narrat 12, 5 *ὑπὲρ τῆς φιαληφόρου παρ' αὐτοῖς (Λοκροῖς τοῖς Ἐπιζεφυρίοις) λεγομένης τοιαύτη τις ἱστορία παρεδέδοτο ... τὸ μὴ παῖδα ποιεῖν ἐξ αὐτῶν τὸν φιαληφόρον, ἀλλὰ παρθένον διὰ τὴν ἀπὸ τῶν γυναικῶν εὐγένειαν.* narraverat enim *mulieres* apud Locros in summo honore esse.

51

τὸν μόναυλον ποῖ τέτροφας; οὗτος Σύρε.
Β. ποῖον μόναυλον; Α. τὸν κάλαμον.

Athenaeus 4, 176a *Ἀναξανδρίδης...ἐν Φιαληφόρῳ κτλ.* Eustathius 1157, 36 *παλαιὸν ὁ αὐλὸς καὶ πολυειδὲς καὶ ὡς ἐπιπολὺ καλάμινος· παρὰ γοῦν Ἀλεξανδρεῦσιν* (*Ἀναξανδρίδῃ* Mein. ed. mai.) *ἦν μόναυλος κάλαμος.* 1. *τὸν ἐμὸν* Mein. *καὶ τὸν* Schweigh. *Σύρε* (sic) A. 2. '*καλάμινον?*' Dindf. — cf. 18.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

52

ὅστις γαμεῖν βουλεύετ', οὐ βουλεύεται
ὀρθῶς, διότι βουλεύεται χοὔτω γαμεῖ.
πολλῶν κακῶν γάρ ἐστιν ἀρχὴ τῷ βίῳ.
ἢ γὰρ πένης ὢν τὴν γυναῖκα χρήματα
λαβὼν ἔχει δέσποιναν, οὐ γυναῖκ' ἔτι,
ἧς ἐστι δοῦλος καὶ πένης. ἢν δ' αὖ λάβῃ
μηδὲν φερομένην, δοῦλος αὐτὸς γίνεται·
δεῖ γὰρ τὸ λοιπὸν ἀνθ' ἑνὸς τρέφειν δύο.
ἀλλ' ἔλαβεν αἰσχράν· οὐ βιωτόν ἐστ' ἔτι,
οὐδ' εἴσοδος τὸ παράπαν εἰς τὴν οἰκίαν.
ἀλλ' ἔλαβεν ὡραίαν τις· οὐδὲν γίνεται
μᾶλλόν τι τοῦ γήμαντος ἢ τῶν γειτόνων·
ὥστ' οὐδαμῶς κακοῦ γ' ἁμαρτεῖν γίνεται.

Stobaeus Floril. 68, 1 *Ἀναξανδρίδου* A. 1. *βουλεύετ'*] *βούλεται* Gesn. marg. *βουλεύεται*] *βούλεται* Voss. Arsen. 4. *ἢ* A Voss.] *ἦν.* 6. *καὶ πένης* corruptum videtur Meinekio. 7. *αὐτὸς*] *αὖθις* Gesn. marg. *αὐτὸς* Vind. 13. *οὐδαμῶς*] *οὐδαμοῦ* B.

Herwerd. Obs. crit. 56 v. 5 sq. *δέσποιναν· ἢν δ' αὖ μηδὲ ἓν λάβῃ φερομένην, δοῦλος αὖθις γίγνεται.* at rectissime adduntur et *οὐ γυναῖκ' ἔτι* (domina est, *non iam* uxor eius) et *ἧς ἐστι δοῦλος.* sed pro *καὶ πένης* scribendum est *κοὐκ ἀνήρ.* 7. *δοῦλος αὐτὸς* corrupta sunt. *servus* fiebat, si *divitem*, non si *pauperem* duxisset. scripsit poeta *φροῦδος ἀνίαις.* cf. Arist. Nub. 722. Ran. 94 et de *ῑ* in *ἀνία* Porson. Eurip. Phoen. 1334. Pherecr. 24. Arist. Eq. 349. 11. *γίνεται, ἡ γυνή.* 13. pro *κακοῦ γ' ἁμαρτεῖν* scribendum est *κακῶν ἀμοιρεῖν.* nam *ἀγαθοῦ τινος ἁμαρτεῖν* recte dicitur, *κακοῦ* non item.

53

οὗτοι τὸ γῆρᾶς ἐστιν, ὡς οἴει, πάτερ,
τῶν φορτίων μέγιστον, ἀλλ' ὃς ἂν φέρῃ
ἀγνωμόνως αὖθ', οὗτός ἐστιν αἴτιος·
οὐδ' εὐκόλως, ἐνίοτε κοιμίζειν ποιεῖ
5 μεταλαμβάνων ἐπιδέξι' αὐτοῦ τὸν τρόπον
λύπην τ' ἀφαιρῶν ἡδονήν τε προστιθείς,
λύπην δὲ ποιῶν, εἴτι δυσκόλως ἔχει.

Stobaeus Floril. 117, 2 Ἀναξανδρίδου A. 2. φορτίων] φροντίδων A. 4. οὐδ'] ἂν δ' Arsen. perperam. οὐ δυσκόλως (pro var. lect.) B. ὅδ' Gesn. κοιμίζειν ποιεῖ Trinc.] κομίζειν ποεῖ A. cum Iacobsio Add. Ath. 31 scribendum σὺ δ' εὐκόλως ἔνεγκε (cf. Menand. 547 Mein.), μὴ μεῖζον ποίει (τὸ φορτίον). 6. λύπην τ' Voss.] λύπην. 7. λύπην] κοῦφον Dobr. fort. λήθῃ τε παύων. εἴ τι Gaisf.] εἴ τις.

54

ἡδονὴν ἔχει,
ὅταν τις εὕρῃ καινὸν ἐνθύμημά τι,
δηλοῦν ἅπασιν· οἱ δ' ἑαυτοῖσιν σοφοὶ
πρῶτον μὲν οὐκ ἔχουσι τῆς τέχνης κριτήν,
5 εἶτα φθονοῦνται· χρὴ γὰρ εἰς ὄχλον φέρειν
ἅπανθ' ὅσ' ἄν τις καινότητ' ἔχειν δοκῇ.

Athenaeus 5, 222 b κατὰ γὰρ τὸν κωμῳδιοποιὸν Ἀναξανδρίδην κτλ. 3. δ' ἑαυτοῖσιν Porson.] δὲ αὐτοῖσιν A. 6. ἅπαντα A. ὅσ' ἄν τις] scr. ὅταν τι.

55

ὅστις λόγους παρακαταθήκην γὰρ λαβὼν
ἐξεῖπεν, ἄδικός ἐστιν ἢ ἀκρατὴς ἄγαν·
ὁ μὲν διὰ κέρδος, ἄδικος· ὁ δὲ τούτου δίχα,
ἀκρατής· ἴσως δέ γ' εἰσὶν ἀμφότεροι κακοί.

Stobaeus Floril. 41, 2 Ἀναξανδρίδου A. Maximus 93, 154 'Alexandri al. Anaxandridae'. 1. παρακαταθήκην γὰρ Porson Tracts 249] γὰρ παρακαταθήκην. γὰρ om. Max. 4. ἴσως] ἴσον — κακόν Reisig. Coniect. 36.

de crasi v. 2 cf. Krueg. Gr. gr. II 14, 8, 1. Kuehner Gr. gr. 52, 4.

56

χαλεπή, λέγω σοι, καὶ προσάντης, ὦ τέκνον,
ὁδός ἐστιν, ὡς τὸν πατέρ' ἀπελθεῖν οἴκαδε

παρὰ τἀνδρός, ἥτις ἐστὶ κοσμία γυνή.
ὁ γὰρ δίαυλός ἐστιν αἰσχύνην ἔχων.

Stobaeus Floril. 74, 1 *Ἀναξανδρίδου* A. 3. *παρὰ τἀνδρός* Pflugk.] *παρ' ἀνδρός.* cf. Cobet. N. l. 614. *ἥ τις* A] *εἴ τις.* 4. *ὁ γὰρ δίαυλος οὗτος αἰσχύνην* vel *πλεῖστον αἰσχύνης ἔχει.*

57

τὸ νέκταρ ἐσθίω πάνυ
μάττων διαπίνω τ' ἀμβροσίαν, καὶ τῷ Διὶ
διακονῶ, καὶ σεμνός εἰμ' ἑκάστοτε
Ἥρᾳ λαλῶν καὶ Κύπριδι παρακαθήμενος.

Athenaeus 2, 39 a *Ἀναξανδρίδης τὸ νέκταρ οὐ ποτόν, ἀλλὰ τροφὴν εἶναι λέγει θεῶν κτλ.* Eustathius 1632, 62 *παρὰ δέ τισι τῶν παλαιῶν τὸ νέκταρ ξηρὰ ἦν θεία τροφή. προφέρεται γοῦν Ἀναξανδρίδης μὲν γράφων οὕτω· τὸ νέκταρ — διακονῶ.* Photius et Suidas *νεκτάρεον· νέκταρ θεῶν πόμα. καὶ οἶνος, οὕτως, ὡς Ἀναξανδρίδης. καὶ τὸ βρῶμα τῶν θεῶν ὁ αὐτός.* 1. *ἐσθίω πάνυ* | *μάττων* Casaub.] *πάνυ μάττων ἐσθίω. πάνυ μάττων ἐσθίω* | *νέκταρ διαπίνω κτλ.* Mein. in Ath. — Plat. Reip. 4, 420 e *πρὸς τὸ πῦρ διαπίνοντάς τε καὶ εὐωχουμένους.* cf. Arist. Ach. 751.

58

ἐὰν λούσησθε νῦν
ῥάφανόν τε πολλὴν ἐντράγητε, παύσεται
τὸ βάρος, διασκεδᾷ τε τὸ προσὸν νῦν νέφος
ἐπὶ τοῦ προσώπου.

Athenaeus 1, 34 d *Ἀναξανδρίδης κτλ.* 2. *ἐντράγητε* G. Herm. De metr. 165] *ἐντρώγητε.* *παύσεται* C] *παύσετε.* 3. *διασκεδᾷ τε* Bernhardy Synt. 468] *διασκεδᾶτε.* subiectum est *τὸ βάρος παυόμενον.*

Theophr. H. pl. 4, 16, 6 *Ἀνδροκύδης δὲ καὶ παραδείγματι τούτῳ κατεχρήσατο πρὸς τὴν βοήθειαν τὴν ἀπὸ τῆς ῥαφάνου γινομένην πρὸς τὸν οἶνον ὡς ἐξελαύνουσαν τὴν μέθην· φεύγειν γὰρ δὴ καὶ ζῶσαν τὴν ἄμπελον τὴν ὀσμήν.*

59

ὦ πονηρὰ καρδία,
ἐπιχαιρέκακον ὡς εἶ μόνον τοῦ σώματος·
ὀρχεῖ γὰρ εὐθύς, ἂν ἴδῃς δεδοικότα.

Athenaeus 15, 688 b *Ἀναξανδρίδης δὲ τὸν ἀγωνιῶντα παράγει λέγοντα κτλ.* 2. *ἐπιχαιρεκακον ὡςει* A. *ἐπιχαιρέκακόν πως εἶ* Dobr.

μόνον] *μόριον* Naber. Mnem. VIII 55. 3. *ὀρχεῖ* Dindf.] *ἀρχὴ* A m.[1]. *ἀρχὴ* m.[2]. *ὀρχῇ* Canter. *ἦν* Muret.] *ἂν* A.

Pollux 3, 101 *ὁ δὲ ἐπιχαιρέκακος ἀνεκτόν.* cf. Alexid. 51. ac Timoclis est comoedia *Ἐπιχαιρέκακος.*

60

μηδέποτε δοῦλον ἡδονῆς σαυτὸν ποίει·
λάγνης γυναικός ἐστιν, οὐκ ἀνδρὸς τόδε.

Stobaeus Floril. 6, 23 *Ἀναξανδρίδου* A.

61

Ἔρως σοφιστοῦ γίνεται διδάσκαλος
σκαιοῦ πολὺ κρείττων πρὸς τὸν ἀνθρώπων βίον.

Stobaeus Floril. 63, 10 *Ἀναξανδρίδου* A. 2. *κρεῖττον* A. *σκαιοῦ*] *Κείου* Mein. in Stob., i. e. *Prodico* Ceo, 'cuius sapientia vel in proverbium abiit.' *πρὸς τὸν*] *τῶν πρὸς* Mein. praef. Stob. defendit quod vulgo scribitur Herwerd. Mnem. nov. VI 67 dici haec censens 'ab amatore aliquo adulescenti, qui *inepti*, ut ipsi videatur, magistri voce correptus iram non cohibens ista reponat.'

62

ὑπὲρ σεαυτοῦ πρᾶτθ' ὁτιοῦν, ἄν σοι δοκῇ,
ἐγὼ δ' ὑπὲρ ἐμοῦ.

Bekker. Anecd. 92,16 *ἐμὲ ἀντὶ τοῦ ἐμαυτόν, σὲ ἀντὶ τοῦ σαυτὸν...Ἀναξανδρίδης κτλ.* *πρᾶτθ' ὁτιοῦν* Mein.] *πρᾶττε ὅτι* cod.

63

τὸ συνεχὲς ἔργου παντὸς εὑρίσκει τέλος.

Stobaeus Floril. 29, 12 *Ἀναξανδρίδου* A. alii Euripidis Archelao adsignabant coniunctum cum fragmento apud Stobaeum proximo. *ἔργου* Vindob.] *ἔργον.* *constantiam* dicit ad cuiusvis operis finem pervenire.

64

καλόν γ' ἀποθανεῖν πρὶν θανάτου δρᾶν ἄξιον.

Aristoteles Rhet. 3, 11 *καὶ τὸ Ἀναξανδρίδου τὸ ἐπαινούμενον κτλ. ταὐτὸν γάρ ἐστι τῷ εἰπεῖν ἄξιον γὰρ ἀποθανεῖν μὴ ὄντα ἄξιον ἀποθανεῖν, ἢ ἄξιόν γ' ἀποθανεῖν μὴ θανάτου ἄξιον ὄντα ἢ μὴ ποιοῦντα θανάτου ἄξια.*

65

ἀρκτῆ, λεοντῆ, παρδαλῆ, μοσχῆ, κυνῆ.

Pollux 5, 16 *καὶ μοσχῆ ἡ τοῦ μόσχου (δορά), ὡς Ἀναξανδρίδης εἴρηκεν κτλ.* Hesych. *ἀρκτῆ· ἡ τῆς ἄρκτου δορά.*

66

οὐχὶ παρὰ πολλοῖς ἡ χάρις τίκτει χάριν.

Append. Stob. Flor. p. 31 Gaisf. *Ἀναξανδρίδου.* cf. quae ad Eupolidis *Νουμηνίας* adnotavimus. videtur poeta respicere Sophocl. Ai. 522 *χάρις χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί.*

67

ἡ πόλις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει.

Aristoteles Ethic. Nicom. 7, 11 *ἔοικε δὴ ὁ ἀκρατὴς πόλει ᾗ ψηφίζεται μὲν ἅπαντα τὰ δέοντα καὶ νόμους ἔχει σπουδαίους, χρῆται δὲ οὐδέν, ὥσπερ Ἀναξανδρίδης ἔσκωψεν κτλ.* Cyrillus De trin. 2 p. 96. *ἐβουλεύετο* $L^b O^b$. imitatus autem erat poeta Euripidem: cf. Aelian. H. an. 4, 54 *Ὅμηρος μὲν οὖν ἔδωκεν ἵππῳ φωνήν, ἀσπίδι δὲ ἡ φύσις, ᾗ νόμων οὐδὲν μέλει, φησὶν Εὐριπίδης.* Sext. Emp. c. Math. 11 p. 576, 9 *οὐχ ἡμᾶς αἰτιᾶσθαι δεῖ... ἀλλὰ τὴν φύσιν, ᾗ νόμων οὐδὲν μέλει.* ceterum cf. Mein. I 368.

68

ὑπερήμεροί μοι τῶν γάμων αἱ παρθένοι.

Aristoteles Rhet. 3, 10 *καὶ τὸ Ἀναξανδρίδου ἰαμβεῖον ὑπὲρ τῶν θυγατέρων πρὸς τὸν γάμον ἐγχρονιζουσῶν κτλ.* *Ἀναξανδρίδου*] *ἀλεξάνδρου* $QY^b Z^b$. proprie *ὑπερήμερος* dicitur qui multam inpositam constituta die non persolvit. Bekker. Anecd. 311, 28.

69

ὡς δὴ παχεῖαν τὴν περιζώστραν ἔχει.

Pollux 2, 166 *καὶ περιζώστραν Ἀναξανδρίδης εἴρηκεν κτλ. δῆλον ὅτι τὴν ζώνην, ἣν Ῥωμαῖοι καλοῦσι φασκίαν.* *δὴ* Mein.] *δὲ.*

70

τρίκλινον δ' εὐθέως συνήγετο
καὶ συναυλίαι γέροντι.

Athenaeus 2, 48 a *Ἀναξανδρίδης κτλ.* reliquiae sunt tetram. troch.

71

χοῦς κεκραμένος | ψιθίου

Athenaeus 1, 28 f *Ἀναξανδρίδης.* cf. Eubul. 138. Verg. Georg. 2, 93 *passo* (vino) *Psithia utilior.* 4, 269 *Psithia passos de vite racemos.* Plin. N. h. 14, 80 *Psithium et melampsithium passi genera sunt, suum saporem, non vini referentia.*

72

πληγὴν ἔχων

ἀντὶ τοῦ τετρωμένος. Ἀναξανδρίδης. Bekker. Anecd. 111, 27.

73

ἀκολαστάσματα

καὶ Ἀναξανδρίδης κέχρηται τῇ λέξει καὶ Ἀριστοφάνης (Lysistr. 398). Bekker. Anecd. 367, 21. *ἀκολαστάσματα* Mein.] *ἀκολαστάματα.*

74

Hesychius *ἀμφίδυσις· ἐπίθετον φιάλης παρὰ Ἀναξανδρίδῃ.* idem *ἀμφίθετος φιάλη· ἑκατέρωθεν τίθεσθαι δυναμένη . . . ἢ διὰ μέγεθος ἀμφοτέραις ταῖς χερσὶν αἰρουμένη (αἰρομένη?) καὶ τιθεμένη* (Hom. Il. 23, 616). itaque hoc illi quod sine dubio corruptum est substituendum.

75

τάχα

ἀντὶ τοῦ ἔπειτα. οὕτως Ἀναξανδρίδης. Photius.

76

χορτασμόν

Ἀναξανδρίδης εἴρηκε, καὶ τὸ χορτάζειν Ἀριστοφάνης (Pac. 139. 176). Pollux 6, 43.

77

ᾠάρια

Ἀναξανδρίδης. Athenaeus 2, 57 e.

ΑΜΦΙΣΒΗΤΗΣΙΜΑ

78

κόρης ἀπαλλαττόμεθα ταμιείου πικροῦ.

Stobaeus Floril. 68, 7 *Ἀναξανδρίδου* A. at idem 77, 8 Diphilo tribuit. paterfamilias cum uxore amicove conloquens felicem se praedicat, quod filiae conlocandae occasionem invenerit: semper enim puellam parentibus quasi quoddam horreum curarum esse. sententia non videtur integra, ita fere supplenda: *ταμιείου πικρῶν | ἀεὶ μεριμνῶν τοῖς φυτεύσασιν.*

79

τὴν ἀξίαν γὰρ δεῖ γαμεῖν τὸν ἄξιον.

Aristoteles Rhet 3, 11 sine nomine auctoris, sed postquam paullo ante fr. 64 attulit. unde hunc quoque versum Anaxandridis esse suspicatur Meinekius, cum praesertim Aristoteles huius poetae fabulis plurimum delectatus esse videatur, conl. Spengel. Synag. techn. 20. *γὰρ* add. K.

80

φιάλας Ἄρεος

Ἀναξανδρίδης καλεῖ τὰ ποτήρια ταῦτα, i. e. *τὰς καρυωτὰς φιάλας*. Athenaeus 11, 502 b. quae quomodo Martis paterae potuerint dici non video. fortasse pro Anaxandride Antiphanis nomen reponendum est, cuius cf. fr. 112. nisi forte etiam Anaxandrides Timotheum perstrinxit.

81

ὀρίγανον

Etym. m. 630, 49 (*ὀρίγανος*) *ἀρσενικῶς παρὰ Ἀναξανδρίδῃ ἐν Φαρμακομάντει* (50), *οὐδετέρως δὲ ἐν ἐλεγείοις*. eadem Cramer. Anecd. Paris. IIII 12, 32, sed in exitu *οὐδετέρως δὲ ἐν Ἠλείοις*. Meinekius I 370 et in eis quae ad fr. 12 ed. min. adnotavit *ἐν Ἑλένῃ*. H. Iacobi apud Mein. ed. min. XVI ad Ionis Chii Elegiarum fr. 22 Koepk. ea pertinere arbitratur, secundum Ath. 2, 68 b Etymologici verba ita emendans: *ἀρσενικῶς παρὰ Ἀναξ. ἐν Φ. καὶ Ἴωνι ἐν ἐλεγείοις, οὐδετέρως δὲ* [*παρ' Ἀμειψίᾳ*] *καὶ Ἐπιχάρμῳ ἐν Ἀταλάντῃ.*

ΕΥΒΟΥΛΟΣ

Mein. I 355 sq.

ΑΓΚΥΛΙΩΝ

Schol. Arist. Vesp. 1178 *Ἀγκυλίων ἐπὶ τῷ τὴν μητέρα* (*κακῶς* add. Portus) *διατιθέναι* (*κωμῳδεῖται*). unde Meinekius I 359 Ancylionem tamquam alterum Phidippidem matrem verberasse coniecit. dubium tamen esse potest Eubuline fabula respiciatur, cum etiam Alexis *Ancylionem* scripserit. nisi forte id nomen in proverbio erat, cuius indicium latere videtur apud Millerum (Mélanges

p. 374) *ρμε' Ἀκυλίωνος* (scr. *Ἀγκυλίωνος*) *λεγομένην*. cf. Miller. 345. Mein. Herm. III 456. nomen *Ἀγκυλίων* exstat etiam Arist. Vesp. 1397.

1. 2. 3

καὶ γὰρ πάλαι πέττει τὰ νικητήρια.

. . . . . .

ἐξεπήδησ' ἀρτίως πέττουσα τὸν χαρίσιον.

. . . . . .

εἶεν, γυναῖκες· νῦν ὅπως τὴν νύχθ' ὅλην
ἐν τῇ δεκάτῃ τοῦ παιδίου χορεύσετε.
θήσω δὲ νικητήριον τρεῖς ταινίας
καὶ μῆλα πέντε καὶ φιλήματ' ἐννέα.

Athenaeus 15, 668 d *ἐγίνετο δὲ καὶ πεμμάτιά τινα ἐν ταῖς παννυχίσιν, ἐν αἷς πλεῖστον ὅσον χρόνον διηγρύπνουν χορεύοντες. καὶ διωνομάζετο τὰ πεμμάτια τότε χαρίσιοι* (*χαρισιαι* A) . . . *μνημονεύει Εὔβουλος ἐν Ἀγκυλίωνι λέγων οὕτωσί* (fr. 1). *εἶθ' ἑξῆς φησιν* (fr. 2). *ὅτι δὲ καὶ φίλημα ἦν ἆθλον ἑξῆς λέγει ὁ Εὔβουλος* (fr. 3). v. 2 idem 14, 646 b *Εὔβουλος ἐν Ἀγκυλίωνι ὡς περὶ ἄρτου αὐτοῦ* (*τοῦ χαρισίου*) *ὄντος οὕτωσὶ λέγει κτλ.* et Eustathius 1843, 27 *Εὔβουλος· εἶτ' εὐθὺς* (haec perperam finxit ex Athenaei *εἶθ' ἑξῆς*) *ἐξεπ. — χαρίσιον.* 1. *πέττι* A. 2. *ἐξεπήδησα* A 668 et Eust.] *ἐξεπίλησας* A 646. *πέττουσα*] *πέψουσα*? 3, 2 *τῇ δεκάτῃ* A. fragmentum alterum aut tetrametro trochaico aut duorum trimetrorum partibus constat. — de *δεκάτῃ* cf. Arist. Av. 494. 922. Hesych. *δεκάτην θύομεν· τῇ δεκάτῃ ἡμέρᾳ τὰ ὀνόματα τοῖς βρέφεσιν ἐτίθεσαν.* erravisse Athenaeum, cum *χαρίσιον* etiam panem esse diceret, demonstravit Fritzschius Daetal. 62. 3.

4

ὀπτήσιμον γογγυλίδα ταυτηνὶ φέρω.

Athenaeus 9, 369 e *ταύτης* (*τῆς γογγυλίδος*) *μνημονεύει Εὔβουλος ἐν Ἀγκυλίωνι οὕτως κτλ.*

ΑΓΧΙΣΗΣ

5

Pollux 6, 10 *ὅτι καὶ πτίλοις τὰ κνέφαλλα ἀνεπλήρουν Εὔβουλος ἐν Ἀγχίσῃ διδάσκει. καὶ πτερωτὰ καὶ πτιλωτὰ προσκεφάλαια ὀνομάζουσιν.*

6

Παλλάδας

Pollux 9, 76 *ἐνεκεχάρακτο Ἀθηνᾶς πρόσωπον, ὅθεν τὸ*

νόμισμα τοῦτο Εὔβουλος ἐν Ἀγχίσῃ καλεῖ Παλλάδας, πῶλον δὲ τὸ νόμισμα τὸ Κορίνθιον, ὅτι Πήγασον εἶχεν ἐντετυπωμένον. cf. Eurip. fr. 676 N. similiter iocatur Agesilaus Plut. Ag. 15 extr. Artax. 20 extr. possunt etiam extrema ex Eubuli Anchise excerpta esse.

ΑΜΑΛΘΕΙΑ

Herodian. I 273, 31 *Ἀμάλθεια· ἔστι δὲ αἶξ ἡ θρεψαμένη τὸν Δία.* Amaltheae cornu Hercules (cf. fr. 7) ab Acheloo victo accepisse dicebatur. cf. Preller. Myth. gr.[2] II 245 et Mein. I 356. 9.

7

θερμότερον ἢ κραυρότερον ἢ μέσως ἔχον,
τοῦτ' ἔσθ' ἑκάστῳ μεῖζον ἢ Τροίαν ἑλεῖν.
κἀγὼ γὰρ οὐ καυλοῖσιν οὐδὲ σιλφίῳ
οὐδ' ἱεροσύλοις καὶ πικραῖς παρυψίσι
5 *βολβοῖς τ' ἐμαυτὸν χορτάσων ἐλήλυθα.*
ἃ δ' εἴς τ' ἐδωδὴν πρῶτα καὶ ῥώμης ἀκμὴν
καὶ πρὸς ὑγίειαν, πάντα ταῦτ' ἐδαινύμην,
κρέας βόειον ἑφθὸν ἀσόλοικον μέγα,
ἀκροκώλιόν τε γεννικόν, ὀπτὰ δελφάκια
10 *ἁλίπαστα τρία.*

Athenaeus 2, 63 d *τούτων (τῶν βολβῶν) Ἡρακλῆς ἐσθίειν παραιτεῖται ἐν Ἀμαλθείᾳ Εὐβούλου λέγων κτλ.* Photius *κραυρότερον, εὐθρυστότερον, σκληρότερον.* 3. *ἐγὼ* K. 4. *μιαραῖς* Dobr. Adv. II 298. 7. *ταῦτα δαίνυμαι?* 9. *γενικόν* V. *δελφάκια* LV] *δελφάκι'* BCD. *ὀπτὸν δέλφακα* Dindf. *ὀπτὰ δέλφακος ἁλίπαστα* Mein. Anal. Ath. 33. *ἁλίπαστα τρίδραχμα* K. conl. Arist. Pac. 1210. Ran. 553.

cf. Alexid. 173. Sosip. 51 sq. — ridiculum Herculi videtur quod magis quomodo cocta sint quam quanta sint quae comeduntur homines curent. v. 2 ex Euripidis Androm. 369 repetitus *ὅτου τις τυγχάνει χρείαν ἔχων, τοῦτ' ἔσθ' ἑκάστῳ κτλ.* 3. *καυλοί* sunt laserpitii caules edules. 4. *παροψίδες ἱερόσυλοι*, ut *τοιχωρύχον λαγύνιον* Diphil. 3, *πανοῦργα ὀψάρια* com. anon. Plut. Mor. 126 a. 8. *κρέας ἀσόλοικον* carnem nullo artis lenocinio corruptam interpretatur Toupius Emend. III 96. *ἀκροκώλιον* item *ἑφθόν*, 'siquidem *ἀκροκώλια* (suilla) semper fuerunt cocta, nusquam assa'. Fritzsch. Arist. Ran. 1203 p. 366.

8

καὶ πρός γε τούτοις ἀσκὸν εἰς μέσον
καταθέντες εἰσάλλεσθε καὶ καχάζετε
ἐπὶ τοῖς καταρρέουσιν ἀπὸ κελεύσματος.

Schol. Arist. Plut. 1129. Suid. et Harpocrat. Marcian. (sine fabulae nomine) *ἀσκωλιάζειν· ἀσκωλιάζειν ἔλεγον τὸ ἐπὶ τῶν ἀσκῶν ἅλλεσθαι ἕνεκα τοῦ γελωτοποιεῖν. ἐν μέσῳ δὲ τοῦ θεάτρου ἐτίθεντο ἀσκοὺς πεφυσημένους καὶ ἀληλιμμένους, εἰς οὓς ἐναλλόμενοι ὠλίσθανον. καθάπερ Εὔβουλος ἐν Δαμαλείᾳ* (sic V., om. reliqui, *Δαμαλίᾳ* Suid., *Ἀμαλθείᾳ* Hemsterhusius) *φησὶν οὕτως κτλ.* 1. *τούτοις*] *τοῦτο* Harp. *ἀσκοὺς* Suid. in exitu *χαμαί* add. Bentl., *τινά* Dindf., *τάχα* vel *μέγαν* Mein. *ψιλὸν ἀσκὸν εἰς μέσον* K. 2. *ἐνάλλεσθε* Suid. *καχάζετε* Dindf.] *καγχάζετε. κἀκχέζετε* Harpocr. 3. *ἀπὸ κελεύσματος* Suid., om. Harpocr. *ἀπορρέουσιν ἀποκελεύσματα* V Arist.

ΑΝΑΣΩΙΖΟΜΕΝΟΙ

Cf. quae ad Antiphanis *Ἀνασωζομένους* adnotantur.

9

ἕτεροι δὲ θεοῖσι συμπεπλεγμένοι
μετὰ Καράβου σύνεισιν, ὃς μόνος βροτῶν
δύναται καταπιεῖν ἐκ ζεόντων λοπαδίων
ἅθρους τεμαχίτας, ὥστ' ἐνεῖναι μηδὲ ἕν.

Athenaeus 8, 340 d *Εὔβουλος δ' ἐν Ἀνασωζομένοις κτλ.* 1. *ἕταιροι* A. *τοῖς θεοῖσι* Casaub. *θεοισέχθροισι* vel *θηρίοισι* Herwerd. Nov. add. crit. 24. 2. *μόνος βροτῶν μόνος* A. 4. *ἁδροὺς* Dindf. *τεμαχήτας* A. *ἀνεῖναι* Dobr. *ὥστε μεῖναι* Coraes.

varia helluonum genera describuntur: alii carne delectantur, alii cum *Callimedonte* Carabo (cf. Antiph. 26, 5) piscibus. *συμπεπλεγμένοι*, ut Herodot. 3, 78. Demosth. 9, 51 *συμπλακέντας διαγωνίζεσθαι*. hic ridicule *ὀψοφάγοι digladiari* dicuntur — non cum deis sine dubio, sed cum piscibus. scribendum enim *ἕτεροι δὲ δὴ θύννοισι συμπεπλ.*, qui quam accepti fuerint Atheniensibus sexcentiens testantur comici.

ΑΝΤΙΟΠΗ

Euripidis potissimum tragoediam videtur traduxisse. Mein. I 395. cf. Hom. Od. 11, 260 sq. Apollodor. 3, 5, 5 et de Euripidis fabula Nauck. p. 326 sq. 338.

10

Ζῆθον μὲν ἐλθόνθ' ἁγνὸν ἐς Θήβης πέδον
οἰκεῖν κελεύει· καὶ γὰρ ἀξιωτέρους
πωλοῦσιν, ὡς ἔοικε, τοὺς ἄρτους ἐκεῖ·
ὁ δ' ὀξύπεινος· τὸν δὲ μουσικώτατον

5 κλεινὰς Ἀθήνας ἐκπερᾶν Ἀμφίονα,
οὗ ῥᾷστ' ἀεὶ πεινῶσι Κεκροπιδῶν κόροι
κάπτοντες αὔρας ἐλπίδας σιτούμενοι.

Athenaeus 2, 47 b *Εὔβουλος κτλ.* ad *Antiopam* recte rettulit Meinekius. 1. *ἐλθόνθ'* Iacobs. Addit. Ath. 40] *ἐλθεῖν.* quod si retinetur, v. 2 *κῴκεῖν* scribendum est. 4. *ὁ* Grotius] *σὺ.*

'nescio quis nuntius ad Zethum et Amphionem' (vel potius ad Antiopam) 'Iovis ut videtur mandata perfert'. Cobet. Obs. crit. Plat. 119. fortasse Mercurium induxit poeta. qui si (in prologo opinor, cf. Toeppel. Progr. Neobr. 1851, 14) oratione recta Iovis ipsius verba pronuntiabat, v. 2 *κελεύω* scribendum est. simillimum esse prologum Ionis monet Toeppelius, conl. simul Lucian. Deor. dial. 3 extr. 20 init. Hom. Il. 2, 9 sq. Nicostr. 21. 2. *ἀξιωτέρους*, ut Arist. Eq. 645. 672. Vesp. 491. cf. Cobet. Mnem. VIIII 345. 6. 6. *ῥᾷστα*, ut *θεοὶ ῥεῖα ζώοντες.* 7. Aesch. Ag. 1668 *οἶδ' ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους.* non huc pertinent quae Toeppelius contulit Eurip. Cycl. 629 *ἐγκάψαντες αἰθέρα γνάθοις*, siquidem eis verbis ut *taceant* admonentur satyri.

11

Καλλίστρατός τίς ἐστιν . . . . οὗτος οὖν
πυγὴν μεγάλην εἶχ', ὦ Χαριάδη, καὶ καλήν.
Β. τοῦτον καταλεκτέ' ἐστὶν ἐς τοὺς κόλλοπας
τοὺς ἐκδρομάδας.

Eustathius 1915, 18 *ἐν τοῖς τοῦ γραμματικοῦ Ἀριστοφάνους φέρεται ταῦτα· κόλλοπα τὸ παχὺ δέρμα φασὶ λέγεσθαι . . . ἕτεροι δὲ οὕτω καλοῦσι τὸν περιτρέχοντα καὶ ἑταιροῦντα, ὡς καὶ Εὔπολις ἐν τῷ Καλλίστρατός τίς ἐστι κτλ.* haec non Eupolidis, sed Eubuli ex Antiopa esse docuit Meinekius conl. Bekker. Anecd. 102, 33 *κόλλοπάς φασι δεῖν κυρίως λέγειν τοὺς τῶν ὀργάνων . . . οὐ τοὺς ἀνδρογύνους. Εὔβουλος Ἀντιόπῃ ἐπὶ τοῦ ἀνδρογύνου.* cf. quae ad Plat. com. 186 adnotavimus. verba melius digessit Meinekius. Eustathius *ἐστί τις — μεγάλην πυγὴν εἶχεν — καταλεκτέον ἐς κτλ.*

1. Bergkius *Καλλίστρατος δ' ἔστιν τίς; Β. ὅστις; οὗτος ὅς κτλ.* Nauckius Aristoph. Byz. 170 *Καλλίστρατός τίς ἐστιν οὕτως· οὗτος οὖν* (conl. Arist. Lys. 784), quod mihi prorsus alienum videtur. excidisse arbitror in exitu versus *ὁρᾷς*, de quo cf. quae ad Arist. Nub. 355 adnotavimus. de *Callistrato* cf. 107, 5. 6. Theopomp. com. 30. Antiph. 300. Theopomp. hist. Athen. 4, 166 e *Καλλίστρατος ὁ Καλλικράτους δημαγωγὸς καὶ αὐτὸς πρὸς μὲν τὰς ἡδονὰς ἦν ἀκρατής, τῶν δὲ πολιτικῶν πραγμάτων ἦν ἐπιμελής.* 4. Eustath. *ἐκδρομάδες οἱ ἀκολασταίνοντες ὑπέρακμα, ὡς παραδεδραμηκότες τὴν ὥραν.*

12

πώνειν μὲν ἁμὲς καὶ φαγεῖν μέγ' ἀνδρικοὶ
καὶ καρτερεῖμεν, τοῖς δ' Ἀθηναίοις λέγειν
καὶ μικρὰ φαγέμεν, τοὶ δὲ Θηβαῖοι μέγα.

Athenaeus 10, 417 b καὶ ἔθνη δὲ ὅλα εἰς πολυφαγίαν ἐκωμῳδεῖτο, ὡς τὸ Βοιωτόν. Εὔβουλος γοῦν ἐν Ἀντιόπῃ φησί κτλ. Eustath. 954, 33 ὡς δὲ καὶ ἐπολυφάγουν (οἱ Βοιωτοί), λεγέτω Εὔβουλος, παρ' ᾧ φησί τις Βοιωτός (cf. Ahrens Dial. II 523), ὅτι πονεῖν ἄμμες καὶ φαγεῖν ἀνδρικοί. 1. πώνειν (i. e. πίνειν) Ahrens Dial. II 524] πονεῖν A. ἁμὲς Ahrens] ἄμες A. μέγ' Mein.] μὲν A. 2. καρτερεῖμεν Ahrens] καρτερὴ μὲν A. τοῖς δ' Ἀθηναίοις A] τοὶ δ' Ἀθηναῖοι. καρτερεῖμεν τοίδε Θηβαῖοι· λέγειν | καὶ μικρὰ φαγέμεν τοῖς Ἀθηναίοις μέτα Ahrens. τοὶ δὲ Θηβαῖοι μέγα glossema esse suspicatur G. A. Hirschig. Ann. crit. 5. cui de τοὶ δὲ Θηβαῖοι adsentior, sed ad explendam oppositionem cum A scribendum censeo τοῖς δ' Ἀθηναίοις λέγειν καὶ μικρὰ φαγέμεν, μικρὰ δ' αὖ πώνειν μέλει.

13

περὶ πρώτους ὕπνους

Εὔβουλος Ἀντιόπῃ. Bekker. Anecd. 111, 22.

ΑΣΤΥΤΟΙ

Argumenti ratio facillime cognoscitur e Xenarchi fr. 1. sed cf. fr. 14 extr.

14

μὴ παρατίθει μοι θριδακίνας, ὦ γύναι,
ἐπὶ τὴν τράπεζαν, ἢ σεαυτὴν αἰτιῶ.
ἐν τῷ λαχάνῳ τούτῳ γάρ, ὡς ὁ λόγος, ποτὲ
τὸν Ἄδωνιν ἀποθανόντα προὔθηκεν Κύπρις·
5 ὥστ' ἐστὶ νεκύων βρῶμα.

Athenaeus 2, 69 c Καλλίμαχος δέ φησιν ὅτι ἡ Ἀφροδίτη τὸν Ἄδωνιν ἐν θριδακίνῃ κρύψειεν, ἀλληγορούντων τῶν ποιητῶν ὅτι ἀσθενεῖς εἰσι πρὸς ἀφροδίσια οἱ συνεχῶς χρώμενοι θρίδαξι. καὶ Εὔβουλος δ' ἐν Ἀστύτοις φησί κτλ. 1. μή νυν vel μὴ π. μοι τὰς Porson. μὴ μὴ Mein. et quidni μὴ παρατίθει σύ μοι? 3. ὁ λόγος] λόγος B.

Dobraeus non ἐν Ἀστύτοις, sed ἐν ἀστύτοις, *inter cibos Venerem exstinguentes* scripsisse Athenaeum et ab epitomes auctore eius verba non recte intellecta esse suspicatur. Plin. N. h. 19, 127 (lactucam vocant) *rotundam ac minima radice, latis foliis, astytida quidamque eunuchion, quoniam haec maxime refragetur Veneri.* ita-

que hoc fragmentum fortasse eis adnumerandum, quae sunt *ἀδήλων δραμάτων*. quamquam *ἐν ἀστύτοις φησί* mire dicitur pro *ἐν ἀστύτοις καταλέγει*.

ΑΥΓΗ

Euripideam tragoediam (Nauck. Tr. gr. fr. p. 347) ridicule imitabatur. cf. huius ed. I 782.

15

τί, ὦ πόνηρ', ἕστηκας ἐν πύλαις ἔτι,
ἀλλ' οὐ βαδίζεις; τοῖς δὲ γενναίως πάλαι
διεσπάρακται θερμὰ χηνίσκων μέλη,
διερράχισται σεμνὰ δελφάκων κρέα,
5 *κατηλόηται γαστρὸς ἐν μέσῳ κύκλος,*
κατηγίμωται πάντα τἀκροκώλια,
νενωγάλισται σεμνὸς ἀλλᾶντος τόμος,
παρεντέτρωκται τευθὶς ἐξωπτημένη,
παρεγκέκαπται κρανί' ἐννέ' ἢ δέκα.
10 *ὥστ' εἴ τι βούλει τῶν λελειμμένων φαγεῖν,*
ἔπειγ' ἔπειγε, μή ποθ' ὡς λύκος χανὼν
καὶ τῶνδ' ἁμαρτὼν ὕστερον συχνὸν δράμῃς.

Athenaeus 14, 622 e *τὰ ἐξ Αὔγης εἶπεν Εὐβούλου κτλ.* v. 7 Eustathius 1163, 27 *ἀναλογία δὲ τοῦ ἐνωγάλισται κατὰ τὸ κέκτηται ἔκτηται . . . καὶ τὸ ἐκπέπηξε ἐφέπηξε* (?) *παρὰ τῷ κωμικῷ, καὶ τέθλασται ἔθλασται.* 4. *σεμνά*, conlato praesertim v. 7, vix sanum videtur. fortasse *τέρενα*. cf. Aristoph. fr. 224. Alexid. 189. 5. *κατηλόισται* A, unde Meinekius in Ath. ed. *κατηλόκισται*, conl. Hesych. *κατηλόκισται· ἀνηλόκισται, ἀνέσχισται.* 7. *νενωγάλισται* Mein.] *ἐνωγάλισται* A. cf. quae adnotavimus ad Cratin. 164. 9. *παρεγκέκαπται* Valcken. Animadv. Ammon. 21] *παρεκκέκαπται* A. *κρανί'* Mein.] *στεραν*ι A. 10. *ὥστ' εἴ τι* Valck.] *ὥστε ἐπεὶ* A. *φαγεῖν*] *λαβεῖν* Mein. Anal. Ath. 299. 11. *ἔπειγ' ἐπεγ' μη ποτ'* (sic) A. 12. *ἁμάρτῃς* C omissis quae sequuntur. deinde *συχνῶ δραχμῆς* A.

cum v. 1 cf. Arist. Eccl. 1114, cum v. 11 Aristoph. fr. 337 et Euphron. 1, 30, ac potissimum Cratin. 52 quibus omnibus consideratis extrema hunc in modum emendo: *μὰ ποδρᾶς* (i. e. *μὴ ἀπ.*) *λύκος χανὼν καὶ τῶνδ' ἁμαρτὼν ὕστερον σαυτὸν δάκνῃς.* cf. Arist. Vesp. 778.

Praeterea cf. Philyll. 6.

ΒΕΛΛΕΡΟΦΟΝΤΗΣ

Euripidis Bellerophontem per parodiam expressit. Mein. I 360.

16

τίς ἂν λάβοιτο τοῦ σκέλους κάτωθέ μοι;
ἄνω γὰρ ὥσπερ κοττάβειον αἴρομαι.

Athenaeus 15, 666e *ἐκάλουν δὲ καὶ κατακτούς τινας κοττάβους· ἔστι δὲ λυχνία ἀναγόμενα πάλιν τε συμπίπτοντα. Εὔβουλος Βελλεροφόντῃ κτλ.* 1. *κάτωθέ μοι*] *κάτω θέμενοι* A. 2. *ανω* A.
'sunt Bellerophontis verba cum Pegaso in altum elati.' Mein. *κάτωθε* Alexid. 128, 3. cf. Arist. Ran. 286. 7. Lobeck. Phryn. 284. 5 et Soph. Ai. 259. 60.

ΓΑΝΥΜΗΔΗΣ

Eodem nomine inscriptae erant etiam Alcaei Antiphanisque comoediae. cf. quae adnotavimus ad Alcaei fr. 5.

17

ὕπνος αὐτὸν ὄντα κακόσιτον τρέφει.

Athenaeus 6, 248bc *κακοσίτου δὲ μέμνηται Εὔβουλος ἐν Γανυμήδει κτλ.* *ὕπνος γὰρ* Porson. ipsum Ganymedem significari censet Meinekius I 360. quae idem de Somno Ganymedis amatore ex Licymnio Athen. 13, 564c in ed. mai. excerpsit, ea non ad Ganymedem, cuius nemo quod sciam Somnum finxit amatorem, sed ad Endymionem pertinent. Eubulus excusare videtur cur seu Ganymedes seu quisquis alius hic respicitur adeo sit somniculosus: male nutritum enim esse.

18

δίπυρον

Εὔβουλος ἐν Γανυμήδει διπύρους τε θερμούς. οἱ δίπυροι δ' εἰσί τινες ἄρτοι τρυφῶντες. Ἀλκαῖος Γανυμήδει. Athenaeus 3, 110a. cf. Alcaei com. fr. 5.

ΓΛΑΥΚΟΣ

Glaucum docuit Anaxilas quoque et ut videtur etiam Antiphanes (75). Eubuli *Glaucum* a quibusdam Antiphani fuisse adsignatum Meinekius suspicatur I 75. cf. I 360.

19

καὶ νᾶπυ Κύπριον καὶ σκαμωνίας ὀπόν,
καὶ κάρδαμον Μιλήσιον καὶ κρόμμυον
Σαμοθρᾴκιον, καὶ καυλὸν ἐκ Καρχηδόνος,

καὶ σίλφιον θύμον τε τῶν Ὑμηττίων,
ὀρίγανόν τε Τενέδιον.

Pollux 6, 67 *ἔνια τῶν ἡδυσμάτων ἐπηνεῖτο ἐκ χωρίων, ὡς Εὔβουλος ἐν Γλαύκῳ φησί* (v. 1—4). v. 5 accessit ex Athenaeo 1, 28 d, ubi haec Antiphani tribuuntur: *Ἀντιφάνης δέ· νᾶπυ Κύπρου, καὶ σκαμωνίας ὀπόν, κάρδαμον Μιλήσιον, κρόμμυον Σαμοθρᾴκιον, καυλὸν ἐκ Καρχηδόνος καὶ σίλφιον, θύμον Ὑμήττιον, ὀρίγανον Τενέδιον.* Eustathius 867, 45 *περιᾴδεται ἐν κρομύοις τὸ Σαμοθρᾴκιον παρ' Ἀντιφάνει, καθὰ καὶ τὸ Κύπριον νάπυ καὶ τὸ Μιλήσιον κάρδαμον καὶ ὁ Ὑμ. θύμος καὶ τὸ Τενέδ. ὀρ.* 5. *τε* add. Porson. — Theophr. H. pl. 9, 20, 5 *τῆς δὲ σκα[μ]μωνίας ... ὁ ὀπὸς μόνον χρήσιμος, ἄλλο δ' οὐδέν.* (*Purgierwinde* Fraas 171). epitomes auctor videtur erravisse. cf. Antiphan. 325.

20

ἡμεῖς ποτ' ἄνδρας Κεκροπίδας ἐπείσαμεν
λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλα
καὶ σιτί' ἐπὶ μύρμηκας ἡμερῶν τριῶν,
ὡς χρυσοτεύκτου ψήγματος πεφηνότος.

Harpocratio 185, 21 *ἔπεσέ τις φήμη ποτὲ εἰς τὸ πλῆθος τὸ Ἀθηναίων, ὡς ἐν Ὑμηττῷ φανείη χρυσοῦ ψῆγμα πολὺ καὶ φυλάττοιτο ὑπὸ τῶν μαχίμων μυρμήκων. οἱ δὲ ἀναλαβόντες ὅπλα ἐξέθεον ἐπ' αὐτούς· ἄπρακτοι δ' ὑποστρέψαντες καὶ μάτην πεκακοπαθηκότες, ἔσκωπτον ἀλλήλους λέγοντες 'σὺ δέ γ' ᾠου χρυσοχοήσειν.' ... ἐχλευάζοντο δὲ καὶ ὑπὸ τῶν κωμικῶν. Εὔβουλος γοῦν ἐν Γλαύκῳ φησίν κτλ.* v. 1. 2 Append. prov. 5, 32, Greg. Cypr. Leid. 3, 39 et omisso fabulae nomine Suidas *χρυσοχοεῖον.* 2. *λαβόντες* A Harp. 3. *σιτί'* Valesius] *σὺ* ABC. *συὸς* I. quae exstant in Bekker. Anecd. 316, 3 *χρυσοχοεῖν ἐμάνθανε τί ἐστι· παροιμία ἐν ἤθει λεγομένη ἀντὶ τοῦ ἐπόρνευσεν,* huc certe non pertinent.

ΔΑΙΔΑΛΟΣ

21

ἐθέλει δ' ἄνευ
μισθοῦ παρ' αὐτοῖς καταμένειν ἐπισίτιος.

Athenaeus 6, 247 a *ἐπισίτιοι γὰρ καλοῦνται οἱ ἐπὶ τροφαῖς ὑπουργοῦντες... Εὔβουλος ἐν Δαιδάλῳ κτλ.* — *ἐπισιτίοις* A.

22

Themistius Aristot. De anim. 1, 3 extr. *οἱ κινουμένην κατὰ τόπον τὴν ψυχὴν κινεῖν τὸ σῶμα ἀποφαινόμενοι παραπλήσιόν τι*

λέγουσι Φιλίππῳ τῷ κωμῳδοδιδασκάλῳ· φησὶ γὰρ ὁ Δαίδαλος παρ' αὐτῷ κινουμένην ποιῆσαι τὴν ξυλίνην Ἀφροδίτην ἐγχέας ἄργυρον χυτόν. sic Spengelius p. 34. Schol. Plat. 331 Bekk. *Φίλιππον τὸν τοῖς Εὐβούλου δράμασιν ἀγωνισάμενον.* aut igitur docuit aut egit quasdam Eubuli fabulas Philippus: quapropter quae hic vocatur Philippi Daedalus eadem est quae Eubuli. Mein. I 342. fort. *χυτὸν ἄργυρον γὰρ ἐγχέας κινουμένην | ἐποίησα τὴν ξυλίνην Ἀφροδίτην (Δαίδαλος).*

23

μήχι

ὡς ναίχι καὶ οὐχί. Εὔβουλος Δαιδάλῳ. Bekker. Anecd. 108, 14. ludens id videtur finxisse, ut Democritus *τὸ δὲν* ad analogiam *τοῦ μηδέν.*

ΔΕΥΚΑΛΙΩΝ

24

ἡπάτια, νῆστις, πλεύμονες, μήτρα

Athenaeus 3, 100 e *Εὔβουλος ἐν Δευκαλίωνι κτλ.* idem 3, 107 f *ἡπάτιον δ' εἴρηκεν... Εὔβουλος ἐν Δευκαλίωνι.* deest in fine iambus. fort. *ἡπάτια, νήστεις, πλεύμονες, μήτρας τόμοι.*

Praeterea cf. 152. Eupol. 136.

ΔΙΟΝΥΣΙΟΣ

Non confundenda cum *Dionyso.* cf. *Σεμέλη ἢ Διόνυσος.* — Syracusanorum tyrannum significari docet fr. 25. egregie de hac fabula disputavit Meinekius I 361. 2.

25

ἀλλ' ἔστι τοῖς σεμνοῖς μὲν αὐθαδέστερος,
καὶ τοῖς κόλαξι πᾶσι τοῖς σκώπτουσί τε
ἑαυτὸν εὐόργητος· ἡγεῖται δὲ δὴ
τούτους μόνους ἐλευθέρους, κἂν δοῦλος ᾖ:

Athenaeus 6, 260 c d postquam Philippum regem pronum ad ludibria fuisse narravit ita pergit: *τὰ παραπλήσια ἐποίει καὶ ὁ Σικελιώτης Διονύσιος, ὡς Εὔβουλος ὁ κωμῳδιοποιὸς παρίστησιν ἐν τῷ τοῦ τυράννου ὁμωνύμῳ δράματι κτλ.* 2. *καὶ τοῖς*] *τοῖς δ' αὖ* vel (in Ath.) *τοῖσι δὲ* Mein. 3. *ἑαυτὸν* Casaub.] *αὐτὸν* A. *εἰς αὐτὸν* Mein. ed. mai. *πᾶσι, τοῖς σκώπτουσι δὲ | εἰς αὐτὸν* G. A. Hirschig. Ann. crit. 6. *δὲ δὴ* Schweigh.] *δὴ* A. 4. *κἂν δοῦλος ᾖ,* i. e. *τις αὐτῶν.* — *εὐόργητον* Athenaeus certe hic *facilem ad ignoscendum* interpretabatur.

26. 27

Εὐριπίδου δ' ἔσωσας ὡς ἴσασί σοι —

. . . . . .

[ὦ παρθέν' εἰ σώσαιμί σ', ἕξεις μοι χάριν;]

. . . . . .

καὶ τοῖς ἐμοῖσιν ἐγγελῶσι πήμασιν
τὰ σῖγμα συλλέξαντες, ὡς αὐτοὶ σοφοί.

Schol. Euripid. Med. 476 Dindf. *ἔσωσά σ', ὡς ἴσασιν· πλεονάζει ὁ στίχος τῷ σ. ὅθεν...Εὔβουλος Διονυσίῳ Εὐριπίδου δ' ἔσωσας, ὡς ἴσασί σοι· καὶ παρθενεύσεις ἕξεις μοι χάριν κτλ.* 2. *ὦ παρθέν' εἰ σώσαιμί σ' ἕξεις* Andromedae fr. 126 N., ubi tamen *εἴσει* pro *ἕξεις*] *παρθενεύσης ἕξει* I. *παρθενεύεις ἕξεις* B. Fl. 6. 15. 3. *ἐγγελῶσι* Porson.] *ἀγγελοῦσι.*

fr. 1 conl. Plat. com. 30 (ex parte cum Meinekio) fortasse ita redintegrandum *ἐκ τῶν σῖγμα τῶν Εὐριπίδου | ἔσωσας ὡς ἴσασιν Ἑλλήνων ὅσοι* —. v. 2 Euripidis est, non Eubuli, qui tamen eum fortasse per ludibrium repetiverat. v. 4 *ὡς αὐτός*, sc. *Εὐριπίδης* Fritzschius Arist. Thesm. 501, quod vulgatum est intellegi posse negans. non recte. inducitur Euripides ipse, de comicorum malignitate indignabundus, si quid minus bene fecerit acriter conligentium, tamquam ipsi soli sapientes sint et omni errore careant.

28

καὶ Προκλέους ἵπποι χλωρὰν ψαλάκανθαν ἔδουσιν.

Ptolemaeus Heph. Phot. Bibl. 190 p. 150 *ὅτι τὸ κτλ., ἀγνοηθὲν Καλλιμάχῳ, Εὐβούλου ἐστὶ τοῦ κωμικοῦ εἰς Διονύσιον κωμῳδία. καὶ περὶ τῆς παρῳδήσεως τοῦ στίχου. ἡ δὲ ψαλάκανθα βοτάνη ἐστὶν Αἰγυπτία, ἥτις ἵπποις περιαπτομένη νίκην παρέχει καὶ εὐδαιμονίαν.* Suidas III 223 *Πτολεμαῖος Κυθήριος, ἐποποιός. οὗτος ἔγραψε περὶ ψαλακάνθης. ἐν τούτῳ δέ φησιν, ὅτι βοτάνη ἐστὶ θαυμαστήν τινα δύναμιν ἔχουσα.* in quibus ante verba *οὗτος ἔγραψε* inserenda esse *Πτολεμαῖος Ἡφαιστίωνος* indicat Meinekius, ut Ptolemaeus Cytherius discernatur a grammatico Ptolemaeo. — Eubuli versus quomodo ad inrisionem Dionysii pertineat non adparet. *Procles,* Naxiorum in Sicilia imperator, patriam Dionysio prodidit Ol. 94, 2. Diodor. 14, 15. Mein. I 361.

29

κωφότερος κίχλης

παρ' Εὐβούλῳ ἐν Διονυσίῳ. λέγεται καὶ ἀφωνότερος κίχλης. Photius, Suidas, Cramer. Anecd. Par. I 396, 33. Zenobius 4, 66 *κωφότερος κίχλης· ταύτης Εὔβουλος ἐν Διονυσίῳ μέμνηται.*

ΔΙΟΝΥΣΟΣ

Cf. *Σεμέλη ἢ Διόνυσος*. Mein. I 363.

ΔΟΛΩΝ

Iliadis Doloneam ut videtur comice tractavit.

30

ἐγὼ κεχόρτασμαι μέν, ἄνδρες, οὐ κακῶς,
ἀλλ' εἰμὶ πλήρης, ὥστε καὶ μόλις πάνυ
ὑπεδησάμην ἅπαντα δρῶν τὰς ἐμβάδας.

Athenaeus 3, 100a *Εὔβουλος ἐν Δόλωνι κτλ.* 3. *ὑπεδησάμην* cum ceteris codicibus A. quod moneo propter G. A. Hirschigium Ann. crit. 6. Dolon haec dicere videtur nocturnam in castra Graecorum expeditionem parans. *ἅπαντα δρῶν*, i. e. vel opera data vix mihi contigit ut soccos induerem.

31

διένιψα δ' οὐδὲν σκεῦος οὐδεπώποτε·
καθαρώτερον γὰρ τὸν κέραμον εἰργαζόμην
ἢ Θηρικλῆς τὰς κύλικας, ἡνίκ' ἦν νέος.

Athenaeus 11, 471d *Εὔβουλος ἐν Δόλωνι κτλ.* v. 2. 3 Moeris *Θηρίκλειον*, Thomas Mag. 182 omissis tamen postremis *ἡνίκ' ἦν νέος*. Etymol. m. 451, 29 *Θηρικλέους τέκνον* (Theopomp. com. 32, 1)· *κύλιξ, ἣν λέγουσι (λέγεται) πρῶτος κεραμεὺς Θηρικλῆς ποιῆσαι, ὥς φησιν Εὔβουλος ὁ τῆς μέσης κωμῳδίας ποιητής*. Etym. Gud. 251, 56 *Θηρίκλειον· σημαίνει τὸ Θηρικλέους ποτήριον, ὥς φησιν Εὔμυλος*. 2. *γὰρ*] *δὲ* Thom. Mag. *εἰργαζόμην*] *εἰργάσμην* Thom. Mag. 3. *τὰς κύλικας*] *τἀκπώματα* Moeris et Thom. Mag.

gloriatur servulus se numquam vascula eluisse, sed *elingendo* effecisse ut puriora essent recentibus Thericlis poculis. quamquam illud ipsum quod gravissimum erat, *elingendo* se vascula purgasse, non dicit, si poeta scripsit quae exstant in A *ἡνίκ' ἦν νέος* (cf. Arist. Eq. 412. 417. 426). sed fort. scripsit *ἐκλιχμώμενος*. simplex *λιχμᾶσθαι* Arist. Vesp. 1033. Pac. 756.

32

πρὸς φθεῖρα κείρασθαι

Εὔβουλος Δούλῳ (*Δόλωνι* Mein.) Photius. Pollux 2, 29 *ἔλεγον δὲ καὶ πρὸς φθεῖρα κείρεσθαι τὴν πένθιμον κουράν, ὡς Εὔβουλος ὁ κωμικός*.

ΕΙΡΗΝΗ

33

Bekker. Anecd. 86, 30 *γέμειν τὴν ναῦν μόνον φασὶ δεῖν λέγειν, τὰ δ' ἄλλα μεστὰ λέγειν. ἐλέγχει δ' αὐτοὺς Εὔβουλος Εἰρήνῃ.* in eis quae proxime antecedunt Antiatticista dixerat *γοργός . . . ἐλέγχει δ' αὐτοὺς Ἀριστοφάνης Εἰρήνῃ* (565). unde Fritzschius Ind. Rost. 1857|8 p. 7 Eubuli *Εἰρήνην* per errorem commemoratam et *Εὔβ. Εὐρώπῃ* scribendum esse coniecit. itaque titulus est dubius.

ΕΥΡΩΠΗ

34

κτίζε Βοιωτῶν πόλιν
ἀνδρῶν ἀρίστων ἐσθίειν δι' ἡμέρας.

Athenaeus 10, 417 c (*Εὔβουλος*) *ἐν Εὐρώπῃ κτλ.* Eustathius 954, 34 (omisso fabulae nomine). *κτίζω* Eust. — cf. fr. 66. est oraculum Cadmo ab Apolline datum, a comico lepide inmutatum. Apollodor. 3, 4, 1 *ὁ δὲ θεὸς εἶπε. . .πόλιν κτίζειν ἔνθα ἂν (ἡ βοῦς) πέσῃ καμοῦσα.* cf. Diodor. 4, 2.

ΗΧΩ

35

νύμφα ἀπειρόγαμος τεύτλῳ περὶ σῶμα καλυπτὰ
λευκόχρως παρέσται,
ἔγχελυς, ὦ μέγα μοι μέγα σοι φῶς . . ἐναργές.

Athenaeus 7, 300 b *ὅτι δ' ἥσθιον τὰς ἐγχέλεις καὶ μετὰ τεύτλων ἐντυλίξαντες . . . Εὔβουλός φησιν ἐν Ἠχοῖ κτλ.* 1. *νύμφα* supra scr. *η* A. *ἀπειρόγαμε* C. 3. *ὦ*] *ἃ* et deinde *φῶς ἔσται* vel *ἔσσετ'* Mein. mihi conlato Hom. Il. 6, 6 *φόως δ' ἑτάροισιν ἔθηκε* veri similius videtur poetam scripsisse *φῶς θήσει ἐναργές.*
Cf. praeterea fr. 139.

ΙΞΙΩΝ

36

ἐν ταῖς γεννικαῖς εὐωχίαις
ἀμύλων παρόντων ἐσθίουσ' ἑκάστοτε
ἄνηθα καὶ σέλινα καὶ φλυαρίας
καὶ κάρδαμ' ἐσκευασμένα.

Athenaeus 8, 347 d *φησὶν ἐν Ἰξίονι Εὔβουλος.* *Ἰξίονι*, non *Ἰξίωνι* A. 3. *ἄνηθα*] an *ἄννηθα*? Arist. Thesm. 486. Bekker. Anecd. 403, 3 *ἄννηττον.* Alexid. 127, 7. at ibid. 5 *μάραθρον, ἄνηθον*, fort. *ἄννηθα, μάραθρον.*

ΙΩΝ

37

μετὰ ταῦτα θύννων μεγαλόπλουτ' ἐπεισέπλει
ὑπογάστρι' ὀπτῶν, αἵ τε λιμνοσώματοι
Βοιώτιαι παρῆσαν ἐγχέλεις θεαὶ
τεῦτλ' ἀμπεχόμεναι.

Athenaeus 7, 300 b c *ὅτι δ' ἥσθιον τὰς ἐγχέλεις καὶ μετὰ τεύτλων ἐντυλίξαντες καὶ Εὔβουλός φησιν... ἐν Ἴωνι κτλ.* v. 1. 2 idem 7, 302 d *ἐπαινεῖται δὲ τοῦ ἰχθύος τούτου τὰ ὑπογάστρια, ὡς καὶ Εὔβουλός φησιν ἐν Ἴωνι μετὰ ταῦτα — ὀπτῶν.* 1. *μετὰ* A 302] *καὶ μετὰ* A 300. *μετὰ ταῦτα* om. C 300. *ἐπεισέπλει* A 302] *ἐπὶ σὲ πλεῖ* A 300. 3. *παρῆσαν* Mein. Anal. Ath. 132.

1. *ἐπεισέπλει*, ut *ἐπιχορεύειν* Diphil. 44, 1. 64, 4, *ἐπιβακχεύειν* Nicostr. (Philet.) 4, 1, *ἐπιδονεῖν* Antiph. 185, *ἐπιρροθεῖν* Soph. fr. 691 N. cf. Antiph. 207. Alexid. 117. 2. *λιχνοσώματοι* Mein., *λιπαροσώματοι* G. A. Hirschig. Ann. crit. 6, *λειοσώματοι* Valcken. (et Cobet. N. l. 138). mihi *χιονοσώματοι* scribendum videtur. cf. Antiph. 49. praeierat quodammodo Euripides Helen. 216 *Ζεὺς ...χιονόχρως κύκνου πτερῷ* et cuius auctoritas apud comicos illius aetatis non minus valet Philoxenus Cytherius Athen. 4, 147 a *μάζας χιονόχροας. λευκόχρως* anguilla dicitur 35, 2.

38

τρύβλια δὲ καὶ βατάνια καὶ κακκάβια καὶ
λοπάδια καὶ πατάνια πυκινὰ ταρφέα
κοὐδ' ἂν λέγων λέξαιμι.

Athenaeus 4, 169 f *Εὔβουλος ἐν Ἴωνι καὶ βατάνια* (*βατάνεια* A) *καὶ πατάνια* (*πατάνεια* A) *λέγει ἐν τούτοις κτλ.* v. 1. 2 Pollux 10, 106 *ἐν Εὐβούλου Ἴωνι εἴρηται τρύβλια δὲ καὶ πατάνια καὶ κακκάβια καὶ λοπάδια, ὡς ἕτερον ὂν παρὰ τὴν λοπάδα τοῦτο τῷ σχήματι.* 2. hic *πατάνια* A. *ταρφέα κοὐδ' ἂν*] *ταρβα καὶ ουδαν* A. 3. *λήξαιμι* Fritzschius Daetal. 73 n. 38 conl. Rhes. 874 *ὅδ' αὖ τὸν αὐτὸν μῦθον οὐ λήξει λέγων.* iure adversatur Meinekius III 223 et 441. *οὐδ' ἂν λέγων λέξαιμι* est '*ne si incipiam quidem dicere dicere possim.*'

βατάνια et *πατάνια* coniungi potuisse iure negat Meinekius. cum v. 1 Pollux praebeat *πατάνια*, v. 2 scribendum est *τηγάνια*. Athenaeus fort. scripsit *ἐν Ἴωνι τὰ βατάνια καὶ πατάνια λέγει.* sed corrupta sunt etiam *πυκινὰ ταρφέα*, formae apud comicos, in trimetris praesertim, inauditae.

39

οὕτω σφόδρ' ἐστὶ τοὺς τρόπους Βοιώτιος,
ὥστ' οὐδὲ δειπνῶν, ὡς λέγουσ', ἐμπίμπλαται.

Athenaeus 10, 417 c (*Εὔβουλος*) *ἐν Ἴωνι κτλ.* 2. *δειπνῶν* Casaub.] *δείπνων* A. *ἐμπίμπλαται* Dindf.] *ἐμπίπλαται* A.

ΚΑΛΑΘΗΦΟΡΟΙ

Hesych. *καλαθηφόροι· οἱ τὰ μαγειρικὰ φέροντες. μυστικὰ* Meinek. Philol. XII 615, *μυστηρικά* idem XIII 556. *Δημητριακὰ* M. Schmidt. nescio tamen an neglecto Hesychio puellae intellegendae sint florum calathos portantes.

40

Ammonius Differ. verb. 50 et Etym. Gud. 186, 52 *ἔσω... ἀντὶ τοῦ ἔνδον. Εὔβουλος ὁ τῆς μέσης κωμῳδίας ποιητὴς ἐν Καλαθηφόροις ὅπως δὲ σπεύσεθ' ὅτε τις γέρων ἔσω, δέον εἰπεῖν ἔνδον.* Etymol. Gud. *ὀπεύσεσθαι ὅτι.* Meinekius *ὅπως δὲ πεύσεσθ' εἴτε τις γέρων ἔσω. ἔσω* (apud comicos *εἴσω*) pro *ἔνδον* positum magnam habet dubitationem.

ΚΑΜΠΥΛΙΩΝ

A quibusdam Araroti adscripta. cf. fr. 41. Mein. I 363 et Arar. fr. 8—12. cum *καμπύλη* sit rusticorum, voce *καμπυλίων* *hominem agrestem* significari arbitror.

41

τίς ἦν ὁ γράψας πρῶτος ἀνθρώπων ἄρα
ἢ κηροπλαστήσας Ἔρωθ' ὑπόπτερον;
ὡς οὐδὲν ᾔδει πλὴν χελιδόνας γράφειν,
ἀλλ' ἦν ἄπειρος τῶν τρόπων τῶν τοῦ θεοῦ.
ἔστιν γὰρ οὔτε κοῦφος, οὔτε ῥᾴδιος
ἀπαλλαγῆναι τῷ φέροντι τὴν νόσον,
βαρὺς δὲ κομιδῇ· πῶς ἂν οὖν ἔχοι πτερὰ
τοιοῦτο πρᾶγμα; λῆρος, εἰ κἄφησέ τις.

Athenaeus 13, 562 c *Ἀραρὼς ἢ Εὔβουλος ἐν Καμπυλίωνι κτλ.* Eustathius 987, 24 *Εὔβουλος... ἀποστερεῖ πτερῶν τὸν Ἔρωτα, ὡς οὔτε κοῦφον οὔτε ῥᾴδιον ἀπαλλαγῆναι τῷ φέροντι τὴν νόσον, βαρὺν δὲ κομιδῇ.*

2. *Ἔρωτα* A. 8. verba extrema (*λῆρος κτλ.*) om. C. *εἰ κἄφησέ τις* Dindf.] *εἰ κἂν φήσειέ τις* A. *τοιοῦτο πρᾶγμα λῆρον ἂν φήσειέ τις* Porson.

42

ὡς δ' ἐδείπνει κοσμίως,
οὐχ ὥσπερ ἄλλαι τῶν πράσων ποιούμεναι

τολύπας ἔσαττον τὰς γνάθους καὶ τῶν κρεῶν
ἀπέβρυκον αἰσχρῶς, ἀλλ' ἑκάστου μικρὸν ἂν
5 *ἀπεγεύεθ' ὥσπερ παρθένος Μιλησία.*

Athenaeus 13, 571 f *Εὔβουλος ἐν Καμπυλίωνι κοσμίαν ἑταίραν παράγων φησίν κτλ.* 4. 5. *ἂν ἀπεγεύεθ'* Piers. Moer. 101] *αναπετευε* A.

ποιουμένη — ἔσαττε — ἀπέβρυκεν Herwerd. Obs. crit. 59. perperam: cf. quae ad Arist. Eq. 784 congessimus exempla. quibus addo Plat. Symp. 189 c *δοκοῦσιν ἄνθρωποι...μέγιστ' ἂν αὐτοῦ ἱερὰ κατασκευάσαι...οὐχ ὥσπερ νῦν τούτων οὐδὲν γίγνεται.* Reip. 3, 410 b *πρὸς τὸ θυμοειδὲς βλέπων ... πονήσει μᾶλλον ἢ πρὸς ἰσχύν, οὐχ ὥσπερ οἱ ἄλλοι ἀθληταὶ ῥώμης ἕνεκα σιτία καὶ πόνους μεταχειρίζονται* (sic enim recte C. Fr. Hermann. ex Galeno). 5. *Μιλησία.* Athen. 10, 429 a *παρὰ Μασσαλιήταις νόμος ὑδροποτεῖν. ἐν δὲ Μιλήτῳ ἔτι καὶ νῦν φησι Θεόφραστος τοῦτ' εἶναι τὸ νόμιμον* (Schweigh.).

43

ὦ γαῖα κεραμί, τίς σε Θηρικλῆς ποτε
ἔτευξε κοίλης λαγόνος εὐρύνας βάθος;
ἦ που κατειδὼς τὴν γυναικείαν φύσιν,
ὡς οὐχὶ μικροῖς ἥδεται ποτηρίοις.

Athenaeus 11, 471 e *Ἀραρὼς ἢ Εὔβουλος ἐν Καμπυλίωνι κτλ.* Eustath. 1153, 45. 1. *κεραμί, τίς σε* Porson. Miscell. 242] *κεραμι τιοσε* A. *κεραμῖτι σὲ* C Eustath. *γῆ κεραμίς* etiam Poll. 10, 185 (Mein.). loquitur sine dubio mulier. 'quis tantus artifex tam scite te confecit: nam certe non minus prudens fuit quam Thericles.'

44

τήν τ' εὐπρόσωπον λοπάδα τοῦδε τοῦ θαλαττίου
γλαύκου φέρουσαν εὐγενέστερον
λάβρακά θ' ἑφθὸν . . . ἅλμῃ μίαν.

Athenaeus 7, 295 e *Εὔβουλος Καμπυλίωνι κτλ.* om. C. 3. *θ'*] *τ'* A. Meinekius Anal. Ath. 130 *τήν τ' εὐπρόσωπον λοπάδα τοῦ θ. γλαύκου φέρουσαν εὐγενέστατον κάρα*, quod Athenaeus haec adferat ut doceat quanti sit caput glauci aestimatum. at iam duo alia fragmenta inseruerat, quorum neutro caput glauci commemorat. Dobraeus Adv. II 315 *λοπάδα τοῦ θ.* | *αὐτοῦ φέρουσαν γλαῦκον εὐγενέστερον*, glaucum nobiliorem ipso Glauco. Cobetus N. l. 11 *τοῦ θαλαττίου θεοῦ Γλαύκου* omisso ut videtur *λοπάδα.* Herwerd. Anal. crit. 30 *τήν τ' εὐπρ. λοπάδ' ἔτ' εὐγενέστερον γλαῦκον φέρουσαν τοῦ θαλαττίου θεοῦ.* deinde v. 3 *λάβρακά θ' ἑφθὸν λιπαρὸν ἅλμῃ νὴ Δία* Meinek. conl. Sotad. 1, 9. — unum perspicio

τοῦ θαλαττίου prorsus inutile esse epitheton *pisci* additum et pertinere ad *θεοῦ*, quod recte addidit Cobetus. sic anguillae ipsae deae dicuntur vel cum deabus comparantur Antiph. 147. Anaxandr. 39, 5. Eubul. 37. 64. itaque scribendum esse arbitror *λοπάδα τοῦ θαλαττίου | γλαῦκον φέρουσαν εὐγενέστερον θεοῦ*, quod, cum *θεοῦ* in primum versum esset translatum, degeneravit in *τοῦδε τοῦ*. v. 3 *λάβρακά θ' ἕφθὸν (τόνδ') ἐν ἁλμαίᾳ (φέρω)*. cf. Aristoph. fr. 419.

45

τραγημάτων δ' ἔσθ' ἡ τράπεζά σοι πλέα.
Β. οὐ φιλοτραγήμων εἰμί πως ἑκάστοτε.

Athenaeus 14, 642c *Εὔβουλος Καμπυλίωνι κτλ.* 2. *οὐ* C] *οὐχὶ* A.

46

ἀνιακκάς, περιμανώς, μανέρως

Suidas *ἀνιακκάς· ᾠδῆς ὄνομα ὁ (ὡς* Mein.) *περιμανὼς καὶ μανέρως. Εὔβουλος Καμπυλίωνι.* Bekker. Anecd. 405, 7 ex hac glossa nihil habet nisi *ἀνιακκάς*. Suidas *μανέρως καὶ περιμανώς· ὀνόματα ᾠδῆς. Εὔβουλος Καμπυλίωνι.*

Cf. praeterea fragmenta Ararotis 8—12.

ΚΑΤΑΚΟΛΑΩΜΕΝΟΣ

Tituli rationem non intellego. intellegerem, si esset *Κατακηλούμενος*. Hesych. *κατακηλούμενοι· ἐξοιστρούμενοι, καταθελγόμενοι.* sed in tanta Athenaei constantia, qui semel atque in praepositione sola, non in verbo variat, mutare non audeo.

47

καὶ πνικτὰ Σικελὰ πατανίων σωρεύματα

Athenaeus 9, 396a *Εὔβουλος Κατακολλωμένῳ κτλ.* Pollux 10, 107 *τὸ δὲ πατάνιον Εὐβούλου ἐν Κατακολλῶντι κτλ.* *Σικελὰ* Bentl. in Poll.] *σικελικά.* an *Σικελῶν*? cf. 132. *πατανιων* sine accentu A Ath. — in Anal. Ath. 171 Meinekius suspicatur hic ut alibi coqui nomen (*Πατανίων*) obscuratum latere.

48

ἀλλ' εἰσὶ φιάλαι πέντε, τραγέλαφοι δύο.

Athenaeus 11, 500e *οὕτω (τραγέλαφοι) τινὰ καλεῖται ποτήρια, ὧν μνημονεύει . . . Εὔβουλος ἐν Κατακολλωμένῳ (μετακ.* A) *κτλ.* — cf. Antiph. 224.

49

ἀλλὰ παραλαβὼν ἀκράτῳ κροῦε καὶ δίδου πυκνὰς
καὶ βότρυς τρώγειν ἀνάγκαζ' αὐτὸν ἐξ οἴνου συχνούς.

Athenaeus 14, 653e *οἴδασι δὲ οἱ πρὸ ἡμῶν καὶ τοὺς ἐν οἴνῳ συντιθεμένους βότρυς. Εὔβουλος γοῦν ἐν Κατακολλωμένῳ φησίν κτλ.* cf. 138. Amphid. 18. Plaut. Casin. 3, 5, 16 *se percussit flore Liberi.* Ovid. Rem. am. 145 *multo tempora quassa mero.* Athen. 4, 168b *διασειόμενοι τοὺς κροτάφους ὑπὸ τοῦ ἀκράτου* (Mein.). *πυκνάς*, i. e. *πύσεις.*

50

Athenaeus 10, 442e *Μιλησίους δ' Εὔβουλος ἐν Κατακολλωμένῳ ὑβριστὰς εἶναί φησι μεθυσθέντας.*

51

διατοιχεῖν ἔδει

ἀντὶ τοῦ ἀνατοιχεῖν. Εὔβουλος Κατακολλωμένῳ. Bekker. Anecd. 89, 20. cod. *διατυχεῖν* et *κατακολλωναίῳ. ἔδει* add. H. Iacobi Mein. ed. min. XVI ex Polluce, qui 1, 114 de re navali disputans *ἐρεῖς δὲ καὶ 'διατοιχεῖν ἔδει'· τὸ γὰρ ἀνατοιχεῖν ἰδιωτικόν.* Phryn. App. 34 *διατοιχεῖν τὸ εἰς τὸν ἕτερον τοῖχον τῆς νεὼς διαβαίνειν ἐν τῷ πλοίῳ* (*πλῷ* Lobeck.), *ὅπερ οἱ ἰδιῶται ἀντιτοιχεῖν* (*ἀνατ.*?) *λέγουσιν.* Lobeck. Phryn. 161. 2.

52

τροποῦσθαι κώπην

Εὔβουλος Κατακολλωμένῳ. Bekker. Anecd. 114, 25. *κατακολλωμένοις* cod. — Hesych. *τροπώσασθαι· τὸ τὴν κώπην πρὸς τὸν σκαλμὸν δῆσαι τῷ τροπωτῆρι.* Phot. Suid. *τροπωτῆρες· οἱ ἱμάντες οἱ ἐν τοῖς πλοίοις, ἐν οἷς αἱ κῶπαι περὶ τοὺς σκαλμοὺς περιδέονται.* Poll. 1, 87 *ὅθεν μὲν αἱ κῶπαι ἐκδέδενται, σκαλμός, ᾧ δὲ ἐκδέδενται, τροπωτήρ, καὶ τροπώσασθαι τὴν ναῦν.*

ΚΕΡΚΩΠΕΣ

Cf. quae ad cognominem Hermippi comoediam adnotavimus I 233.

53

μετὰ ταῦτα Θήβας ἦλθον, οὗ τὴν νύχθ' ὅλην
τήν θ' ἡμέραν δειπνοῦσι καὶ κοπρῶν' ἔχει
ἐπὶ ταῖς θύραις ἕκαστος, οὗ πλήρει βροτῷ
οὐκ ἔστι μεῖζον ἀγαθόν· ὡς χεζητιῶν

5 *μακρὰν βαδίζων, πολλὰ δ' ἰδίων ἀνήρ,*
δάκνων τὰ χείλη, παγγέλοιός ἐστ' ἰδεῖν.

Athenaeus 10, 417 d *καὶ ἔθνη δὲ ὅλα εἰς πολυφαγίαν ἐκωμῳδεῖτο, ὡς τὸ Βοιωτόν. Εὔβουλος γοῦν... ἐν Κέρκωψι κτλ.* v. 1. 2 Eustath. 954, 33. 1. *μεταταῦτα* A. *θήβαζ'* C et Eustath. *οὐ*] *οὐ* A. 2. *καὶ* cum reliquis omittunt C et Eustath. *κοπρῶν'* Casaub.] *κόπρων* A. 3. *οὐ*] *οὐ* A. *βροτῷ* Casaub.] *βροτῶν* A. *βορᾶς* Herwerd. Obs. crit. 59. 5. *ἰδίων* Fritzsch. Com. gr. fr. 7. 8] *ἐσθίων. δὲ στένων* Dobr. *ἀσθμαίνων* Mein. — cf. 34. 66.

54

Κόρινθον ἦλθον· ἡδέως ἐνταῦθά πως
λάχανόν τι τρώγων ὤκιμον διεφθάρην.
κἀνταῦθα κατελήρησα τὴν ἑξωμίδα.

Athenaeus 13, 567 c *Εὐβούλου ἐκ Κερκώπων κτλ.* *Ὤκιμον* meretrix erat illo tempore celeberrima. Athen. 13, 587 c. Anaxandr. 9. Nicostr. 21. *κατελήρησα*, ut *καταπεφρόντικα* Arist. Nub. 857, *κατεμώρανεν* Antiph. 239, *καταμισθοφορῆσαι* Arist. Eq. 1352, *κατεσικέλιζε* Vesp. 911. — fragmenta 53 et 54 ad eandem narrationem, Herculis opinor, pertinebant. Mein. I 364.

ΚΛΕΨΥΔΡΑ

Cf. quae ad Pherecratis Corianno adnotavimus. Athen. 13, 567 d *Εὐβούλου Κλεψύδρα. οὕτω δ' ἐκλήθη αὕτη ἡ ἑταίρα, ἐπειδὴ πρὸς κλεψύδραν συνουσίαζεν, ἕως κενωθείη.* Mein. I 364. fragmenta non exstant.

ΚΟΡΥΔΑΛΛΟΣ

Phrynich. Ecl. 338 *κορυδαλλός· Εὐβούλου τοῦ κωμῳδιοποιοῦ δρᾶμα ἐπιγράφεται οὕτως. σὺ δὲ... κόρυδον λέγε τὸ ζῷον.* aviculam *galeritam* dicit. Mein. I 364. scribendum autem *κορυδαλλός* secundum Herodian. I 158, 24. ac sic Hippothoontidis pagus in inscriptionibus.

55

ἴθι δεῦρ' ἀφελοῦ τ' ὦ λάγνα ταχὺ τὰ ποικίλα.

Bekker. Anecd. 1189 *σημειούμεθα τὸ λάγνης ὦ λάγνα παρ' Εὐβούλῳ ἐν Κορυδαλῷ. ἔχει δὲ οὕτως κτλ.* *δεῦρ' ἀφελοῦ τ' ὦ λάγνα ταχὺ τὰ ποικίλα* Mein.] *δεῦρο ἀφελοῦ λάγνου ταχυπάκιλα* cod.

ΚΥΒΕΤΤΑΙ

'Aleatorum insaniam perstrinxisse videtur, quod argumentum in cognomine fabula tractaverunt Antiphanes et Amphis et in

Aleonibus a Nonio laudatis L. Pomponius.' Mein. I 364 conl. Arist. Vesp. 74. Philetaer. 2. Aeschin. 1, 42. 68. O. Ribb. Com. Rom. fr.[2] 225.

56

ἄρτι μὲν μάλ' ἀνδρικὴν
τῶν θηρικλείων ὑπεραφρίζουσαν παρά,
κωθωνόχειλον, ψηφοπεριβομβήτριαν,
μέλαιναν, εὐκύκλωτον, ὀξυπύνδακα,
5 *στίλβουσαν, ἀνταυγοῦσαν, ἐκνενιμμένην,*
κισσῷ κάρα βρύουσαν, ἐπικαλούμενοι
εἵλκον Διὸς σωτῆρος.

Athenaeus 11, 471 d *Εὔβουλος...ἐν Κυβευταῖς κτλ.* 1. *μάλ' ἀνδρικὴν* C et epit. Hoesch.] *μαλαν αν δρικην* A. 2. *παρα* A. *πάνυ* Dobr. Adv. II 331. *πέριξ* Ahlwardt. Seebod. Bibl. crit. 1821, n. 5. *κάρα* Mein. *πάτερ* Herwerd. Obs. crit. 66. 7. 3. *κωθωνόχειλον* Ahlwardt] *κωθωνοχειρον* A. 4. *ὀξυπύνδακα* Schweigh.] *ὀξυπινδακα* A. 6. *κάρα βρύουσαν* Porson. conl. Soph. O. C. 473] *καταβρύουσαν* A. *κισσοῖσι καταβρύουσαν* Mein. Anal. Ath. 217. *ἐπικαλούμενοι* A] *ἐπικαλούμενος* C et Hoesch.

2. *ὑπεραφρίζουσαν κάρα* '*poculum super oram spumans*' Mein. mihi scribendum videtur *χαρᾷ* conl. 109. Alexid. 119. Aristophont. 14. potatoris enim laetitia poculo tribuitur. 3. *χείλη* 'sunt *ὀφρυώδεις ἐπαναστάσεις* sive *ἄμβωνες*, quos in cothone commemorat Critias Plut. Lycurg. 9. Athen. 11, 483 b. Pollux 6, 97'. Mein. *ψηφοπεριβομβήτριαν* 'subindicat quandam similitudinem, quam poculum illud cum clepsydra habebat, in quam demissi calculi iudiciales argutum sonum efficiebant'. Mein. quae interpretatio frigidissimas argutias poetae obtrudit. fortasse scripsit *γριφοπεριβ.*, quia inter potum griphi proponebantur. 4. an *εὐρυπύνδακα*? 6. *κισσῷ* hic non temptandum propter orationem elatiorem. ceterum cf. Archestr. Athen. 1, 29 b *ὅταν πλήρωμα Διὸς σωτῆρος ἕλησθε, ἤδη χρὴ γεραόν, πολιὸν σφόδρα κρᾶτα φορεῦντα οἶνον ὑγρὰν χαίταν λευκῷ πεπυκασμένον ἄνθει πίνειν*, et Antiph. 4.

57

κεντρωτός, ἱερός, ἅρμ' ὑπερβάλλον πόδας,
κήρυνος, εὐδαίμων, κυνῶτες, ἄρτια,
Λάκωνες, ἀντίτευχος, Ἀργεῖος, δάκνων,
Τιμόκριτος, ἐλλείπων, πυαλίτης, ἐπίθετος,
5 *σφάλλων, ἀγύρτης, οἶστρος, ἀνακάμπτων, δορεύς,*
λάμπων, Κύκλωπες, ἐπιφέρων, Σόλων, Σίμων.

Pollux 7, 205 *καὶ ἄλλοι δὲ πολλοί εἰσιν (βόλοι), οὓς ὀνομάζει*

Εὔβουλος ἐν τοῖς Κυβευταῖς κτλ. v. 6 Photius 207 *λάμπων· κυβιστικὸς (κυβευτικὸς) βόλος. οὕτως Εὔβουλος. ἀστραγάλων* iactus Eustathius (1289, 57) dicit triginta quinque numero fuisse, *κύβων* iactus supra quinquaginta novimus. Eubuli enim catalogo et fragmentis 58. 59 addenda sunt ea quae Pollux 7, 204 profert nomina (cf. etiam 9, 100), praeterea Hesych. *ἀβραμίας· ὄνομα βόλου κυβευτικοῦ.*

1. *ἅρμ' ὑπερβάλλον πόδας* Bentleius Epist. Mill. 486 Lips. dictum existimat ut *πεζὸς ὁδεύων παρὰ Λύδιον ἅρμα.* 2. Photius (attulit Nauck Philol. VI 417) *κάρυννος· βόλων ὀνόματα (βόλου ὄνομα).* Cramer. Anecd. Ox. II 21, 22 *κυνωτός· βώλου ὄνος (βόλου ὄνομα* Mein.). *κυνώτας* Lobeck. Pathol. prol. 263 n. 24. Hesych. *ἄρτος· βόλος τις.* verum erit *ἄρτιος.* 3. Phot. *Λάκωνες· κυβευτικοῦ βόλου ὄνομα.* Hesych. *Ἀργεῖος (ἀργείης* cod.*)· κυβευτικοῦ βόλου ὄνομα.* 4. *πυαλίτης*, attice *πυελίτης.* Lob. Phryn. 309. sed multa in his nominibus insunt dorismi vestigia. 5. pro *σφάλλων* fort. scribendum *σχαδών.* Hesych. *σχαδών· κυβευτικὸς βόλος.* Hesych. et Etym. m. *ἀγύρτης· καὶ ὄνομα βόλου κυβευτικοῦ.* 6. *Simon* Meinekio nomen accepisse videtur a Simone illo famosissimo veteratore, de quo Zenob. 5, 41. Diogen. 7, 26. fueritne idem cum eo quem inriserunt Arist. Nub. 351. 399, Eupol. 218 nescio. — plurimorum nominum rationes explicari vix poterunt.

58

Proverbia Bodlei. 642 (Append. proverb. Leutsch. 3, 98) *Μίδας ἐν κύβοις εὐβολώτατος· βόλου ὄνομα ὁ Μίδας, οὗ καὶ Εὔβουλος ἐν Κυβευταῖς μέμνηται.* 'priora si Eubuli sunt, senarium facile restituas, *Μίδας μὲν ἐν κύβοισιν εὐβολώτατος.*' Mein. dissentit Pollux 7, 204 *τῶν μὲν φαύλων καὶ δυσβόλων . . . Μίδας, Μάνης.* 205 *ὁ μέντοι Μίδας καὶ τῶν μέσων βόλων ἦν.* Midas rex non magis dives fuit quam stolidus: quocirca non facile est diiudicare.

59

Hesychius *Μάνης· κυβευτικοῦ βόλου ὄνομα . . . καθάπερ Εὔβουλος ἐν Κυβευταῖς παρίστησι, καὶ ἄλλων καταλέγων ὀνόματα βόλων (καταλεγομένων βόλ.* cod., emend. Musurus). cf. Arist. Ran. 965 cum eis quae adnotavit Fritzschius.

Aliam quoque Hesychii glossam *Ξανθιμίας (Ξανθίας* Mein.*)· βόλου ὄνομα* ad hanc comoediam pertinere censet Meinekius.

ΛΑΚΩΝΕΣ Η ΑΗΔΑ

60

ἀλλ' ἠκούσαμεν
καὶ τοῦτο, νὴ τὴν Ἑστίαν, οἴκοι ποθ' ὡς

ὅσ' ἂν ὁ μάγειρος ἐξαμάρτῃ, τύπτεται,
ὥς φασιν, αὐλητὴς παρ' ὑμῖν.

Athenaeus 9, 380. 1 ἐπὶ τούτοις ὁ μάγειρος ἔφη, λέξω τοίνυν κἀγὼ ... εὕρεσιν ἐμήν, ἵνα μὴ ὁ αὐλητὴς πληγὰς λάβῃ· ὁ γὰρ Εὔβουλος ἐν Λάκωσιν ἢ Λήδᾳ ἔφη κτλ. 3. ὅσ' add. Schweigh. ἐξαμαρτάνῃ C. 4. φασιν Grotius Excerpt. 653] φησιν A. αὐλητὴς Mein.] ὁ αὐλητὴς A. cf. Philyll. 10.

61

οὐκ ᾠου σύ με
χολὴν ἔχειν, ὡς δ' ἡπάτῳ μοι διελέγου,
ἐγὼ δέ γ' εἰμὶ τῶν μελαμπύγων ἔτι.

Athenaeus 3, 108a ἔστι δὲ καὶ ἰχθύς τις ἥπατος καλούμενος, ὃν φησιν ὁ αὐτὸς Εὔβουλος ἐν Λάκωσιν ἢ Λήδᾳ (ἤδη δ' pro ἢ Λήδᾳ A) οὐκ ἔχειν χολὴν κτλ. 1. σύ add. Pors. — loqui videtur Tyndareos: adhuc ita se validum esse dicit, ut iniuriam inlatam ulciscatur. Arist. Lys. 802 μελάμπυγος τοῖς ἐχθροῖς ἅπασιν. sic Hercules dicitur μελάμπυγος. Preller. Myth. gr.[2] II 231.

62

ὥσπερεὶ σπονδὴν διδοὺς
ἐν τῷ κυλικείῳ συντέτριφεν τὰ ποτήρια.

Athenaeus 11, 460de εἴρηται γὰρ οὕτως (κυλικεῖον) ἡ τῶν ποτηρίων σκευοθήκη... Εὔβουλος ἐν Λήδᾳ κτλ. ὥσπερεὶ Schweigh.] ὥσπερ A. — cf. Aristoph. fr. 104. prima verba non intellego: neque quicquam proficitur eo quod Toeppelius (Progr. Neobr. 1857, 7) confert Eurip. Ion. 1192 τὰς δὲ πρὶν σπονδὰς θεοῦ δίδωσι γαία.

63

πρὸς τούτοισιν δὲ παρέσται σοι
θύννου τέμαχος, κρέα δελφακίων,
χορδαί τ' ἐρίφων, ἧπάρ τε κάπρου,
κριοῦ τ' ὄρχεις, χόλικές τε βοός,
5 κρανία τ' ἀρνῶν, νῆστίς τ' ἐρίφου,
γαστήρ τε λαγώ, φύσκη, χορδή,
πνεύμων, ἀλλᾶς τε.

Athenaeus 7, 330c παραθήσομέν σοι καὶ ἃ Εὔβουλος εἴρηκεν ἐν Λάκωσιν ἢ Λήδᾳ κτλ. 1. τούτοισιν Kuster. ap. Schweigh.] τούτοις. 5. κρανία τε A. 7. ἀλλάς A. 6 et 7 om. C. — cum χορδαί et v. 3 et v. 6 commemorentur, dubito an semel scribendum sit κωλῇ (κωλαῖ).

ΜΗΔΕΙΑ

64

τεῦτλ' ἀμπεχομένης παρθένου Βοιωτίας
Κωπᾶδος· ὀνομάζειν γὰρ αἰδοῦμαι θεάν.

Athenaeus 7, 300c *ὅτι δ' ἥσθιον τὰς ἐγχέλεις καὶ μετὰ τεύτλων ἐντυλίξαντες ... Εὔβουλος δέ φησιν ... ἐν Μηδείᾳ κτλ.* 1. *τεῦτλ' ἀμπεχομένης* addenda esse monuit Casaub. praecedit enim apud Athenaeum fr. 37. *παρθένου*, quia anguilla quasi locum occupat Minervae. non hoc dicit se vereri anguillam deam adpellare, sed vereri deam suo nomine *anguillam* adpellare, tamquam non sit dea. parodiam esse Eurip. Orest. 37 *ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς* | *Εὐμενίδας* monuit Toeppelius Progr. Neobr. 1851, 15. — *θεάν*, ut Antiph. 81. cf. Aristoph. fr. 204.

ΜΥΛΩΘΡΙΣ

Harpocr. *μυλωθρός· ὁ μυλῶνα κεκτημένος καὶ (ὁ) ἐργαζόμενος (ἐν) αὐτῷ ... ἔστι δὲ καὶ παρὰ τοῖς κωμικοῖς πολὺ τοὔνομα.* Dinarch. 1, 23 *Μένωνα μὲν τὸν μυλωθρὸν ἀπεκτείνατε, διότι παῖδα ἐλεύθερον .. ἔσχεν ἐν τῷ μυλῶνι.* cf. Demosth. 53, 14. *Μυλωθρόν* scripsit Alexis.

65

καὶ πιεῖν χωρὶς μέτρῳ
ὀξύβαφον εἰς τὸ κοινόν. εἶθ' ὑπώμνυτο
ὁ μὲν οἶνος ὄξος αὐτὸν εἶναι γνήσιον,
τὸ δ' ὄξος οἶνον αὐτὸ μᾶλλον θατέρου.

Athenaeus 11, 494e *μνημονεύει δὲ τοῦ ὀξυβάφου ὡς ποτηρίου καὶ Εὔβουλος ἐν Μυλωθρίδι (μυλωθρίδηι A) κτλ.* 1. *μετρῷ* Schweigh. 2. *εἶτ' ἐπομνύτω* Dindorf. 3. *αὐτὸν*] *αὐτὸς* Mein. in Athen. ed. 4. *αὐτὸ* Dindf.] *αὐτὸν* A. Coraes *αὐτὸ*, ac sic Mein. in Ath., simul proponens *οἶνος* Anal. Ath. 228.

Harpocr. *ὑπωμοσία· τὸ ὑπερτίθεσθαι δίκην προφάσει χρώμενον ἀποδημίᾳ ἢ νόσῳ ἤ τινι τῶν παραπλησίων μεθ' ὅρκου ... ἐλέγετο ... ὑπόμνυσθαι.* duo extremi versus facilem habent interpretationem. sed quem locum in tali causa habeat ampliatio et quae sit intellegenda simulationis species neque ex fragmento ipso cognoscitur neque ex eis quae Dobraeus Adv. II 334 et Meinekius in ed. mai. exposuerunt.

ΜΥΣΟΙ

Habent aliquam similitudinem fragmenta 66 et 53. 54. cf. Mein. I 365.

66

σὺ μὲν τὸ Θήβης, ὡς λέγεις, πέδον λιπών,
ἀνδρῶν ἀρίστων ἐσθίειν δι' ἡμέρας
ὅλης τραχήλους καὶ κοπρῶνος πλησίον —

Athenaeus 10, 417 d ἐν τοῖς Μυσοῖς πρὸς τὸν Ἡρακλέα ποιεῖ τινα τάδε λέγοντα (Εὔβουλος) κτλ. v. 2 etiam fr. 34. 1. λέγεις] λόγος Naber. Mnem. nov. VIII 247. talia soluta sententiarum continuatione diiudicari non possunt. 3. κοπρῶνος Schweigh.] κοπρῶνας A. scribendum videtur τοῦ κοπρῶνος πλησίον. καὶ τακῶνας πλησίον κοπρῶνος Mein. Anal. Ath. 184. deest verbum finitum. — τράχηλοι, *cochlearum cervices*, libentissime ab Atheniensibus edebantur. Archedic. 3, 4. Posidipp. 12, 3 Mein. sed *Boeotis* alia sine dubio placebant, neque eos per totos dies cochleis delectatos fuisse consentaneum est. scribendum φασήλους, qui est rusticorum cibus. Arist. Pac. 1144. Demetr. com. 5. *vilem phaselum* dicit Verg. Georg. 1, 227. Plin. N. h. 18, 118 (faba) *praevalens pulmentari cibo et hebetare sensus existimata.*

ΝΑΝΝΙΟΝ

Ab aliis Philippo tributa. Mein. I 342. cf. quae adnotantur ad fr. 105.

67

ὅστις λέχη γὰρ σκότια νυμφεύει λάθρᾳ,
πῶς οὐχὶ πάντων ἐστὶν ἀθλιώτατος;
ἐξὸν θεωρήσαντι πρὸς τὸν ἥλιον
γυμνὰς ἐφεξῆς ἐπὶ κέρως τεταγμένας,
5 ἐν λεπτοπήνοις ὕφεσιν ἑστώσας, οἵας
Ἠριδανὸς ἁγνοῖς ὕδασι κηπεύει κόρας,
μικροῦ πρίασθαι κέρματος τὴν ἡδονήν,
καὶ μὴ λαθραίαν κύπριν, αἰσχίστην νόσων
πασῶν, διώκειν, ὕβρεος οὐ πόθου χάριν.
10 Ἑλλάδος ἔγωγε τῆς ταλαιπώρου στένω,
ἣ Κυδίαν ναύαρχον ἐξεπέμψατο.

Athenaeus 13, 568 f καὶ ἐν Ναννίῳ (νανίῳ A), εἰ (om. A) Εὐβούλου τὸ δρᾶμα καὶ μὴ Φιλίππου (φιλιππίδου A, cf. Mein. Menandr. praef. XI), φησίν κτλ. v. 4—7 etiam in Pannychide (fr. 84). v. 10 est Euripidis Iphig. Aul. 370. 4. ἐπικαιρως A. 5. ὕφεσιν Porson. Miscell. 243] ὕμεσιν A. 8. νόσων Casaub.] ὅσων A. νόσον Mein. 9. ὕβρεως A. 10. στένω Porson. ex Eurip.] περιστένω A. cf. Mein. I 356. 11. η κυδια A.

manifesta est tragoediae imitatio, siquidem per totam eclogam anapaestis abstinuit et v. 8 *κύπριν* producta syllaba priore posuit. cf. Antiph. 242. Nauck. Trag. fr. adesp. 128. duo extremi versus cum prioribus non videntur cohaerere. — 4. cf. Xenarch. 4, 6. 6. 'Phaethontiadas dicit in populos mutatas. comparatio ad corporis gracilitatem et membrorum concinnitatem spectat'. Mein. 9. *ὕβρεος*, cf. Theopomp. com. 32, 3. *Cydiam* eum fuisse arbitratur Meinekius, de quo Ruhnken. Hist. cr. or. LXXIIII.

ΝΑΥΣΙΚΑΑ

68

ὃς νῦν τετάρτην ἡμέραν βαπτίζεται
νῆστιν πονήρου κεστρέως τρίβων βίον.

Athenaeus 7, 307 f *Εὔβουλος Ναυσικάᾳ κτλ.* Eustathius 1178, 4 (sine fabulae nomine). 1. *ὃς*] *ὡς* Eust. 2. *νῆστιν*] *νῆστις* C (suprascr. *νῆστιν*) et Eust. *πονήρου* Gesn. De aquat. 562. nam non pravus, sed innocens mugil et miser habebatur. Zenob. 4, 52 extr. cf. Aristoph. fr. 156. — Ulixem significari intellexit Meinekius.

ΝΕΟΤΤΙΣ

Cf. quae ad Pherecratis Corianno adnotavimus et Mein. I 365.

69

μισῶ κάκιστον γραμματικὸν ἔκπωμ' ἀεί·
ἀτὰρ ὡς ὅμοιον οὑμὸς υἱὸς ᾤχετο
ἔχων φιάλιον τῷδε. Β. πολλὰ γίνεται
ὅμοια.

Athenaeus 11, 467 bc *μνημονεύει δὲ τοῦ γραμματικοῦ ἐκπώματος ὡς οὕτως καλουμένου Εὔβουλος ἐν Νεοττίδι οὕτως κτλ.* 1. *κάκιστα* Dobr. Adv. II 330 conl. Arist. Ran. 1456] *κάκιστον* A. *ἔκπωμ'* Iacobs. Addit. Ath. 250] *ἔκπωμα ει* A. 2. *αταρως ὁμοιον ουμὸς υἱὸς ᾤχετ'* A. 3. *φιάλιον τῷδε. Β. πολλὰ* Cobet. N. l. 20] *φιάλιον· τῷ δὲ πολλά.*

'pater *ἀτὰρ* — *τῷδε*, deinde alius nascentem suspicionem avertens aut elevans respondet *πολλὰ κτλ.*' Cobet. necessarium videtur sic verba distribuere: *Α. μισῶ* — *ἀεί. Β. ἀτὰρ* — *τῷδε. Α. πολλὰ κτλ.* Plaut. Rudent. 478 *haec* (urna) *litterata est: eapse cantat quoia sit.*

ΞΟΥΘΟΣ

Hellenis filius, Ionis pater. cf. Preller. Myth. gr.[2] II 154.

70

τί ποτ' ἔσθ' ἁπαξάπαντα διαπεπρισμένα
ἡμίσε' ἀκριβῶς ὥσπερεὶ τὰ σύμβολα;

Schol. Eurip. Med. 613 *σύμβολα· οἱ ἐπιξενούμενοί τισιν ἀστράγαλον κατατέμνοντες θάτερον μὲν αὐτοὶ κατεῖχον μέρος, θάτερον δὲ κατελίμπανον τοῖς ὑποδεξαμένοις, ἵνα, εἰ δέοι πάλιν αὐτοὺς ἢ τοὺς ἐκείνων ἐπιξενοῦσθαι πρὸς ἀλλήλους, ἐπαγόμενοι τὸ ἥμισυ ἀστραγάλιον ἀνανεοῖντο τὴν ξενίαν. Εὔβουλος Ξούθῳ κτλ. οὕτως Ἑλλάδιος.* 1. *ἔσθ' ἁπαξάπαντα* Cobet. N. l. 131] *ἐστὶν ἅπαντα.* 2. *ἡμίσε'* Mein.] *ἡμίσεως.* *ὡσπερεὶ* Mein.] *ὥσπερ εἰς.*

'agitur de rebus quibusdam accuratissime in duas partes divisis. illud autem dubium est, *σύμβολα* Eubulus utrum de hospitali an nummaria tessera intellegi voluerit. eadem enim utriusque erat ratio, docente Polluce 9, 71.' Mein. cf. Hermipp. 61. 14. Aristoph. fr. 44. Archipp. 8.

ΟΔΥΣΣΕΥΣ Η ΠΑΝΟΠΤΑΙ

Panoptas iam Cratinus, diverso tamen sine dubio consilio, scripserat. cf. quae ad illum titulum adnotavimus et Mein. I 365.

71

ὁ δ' ἱερεὺς εὐηγορῶν
ἐν μέσοις αὐτοῖσιν ἑστὼς τὴν καλὴν σκευὴν ἔχων
οἶνον ἐξέσπενδε κοτύλῳ.

Athenaeus 11, 478 c *Εὔβουλος ἐν Ὀδυσσεῖ ἢ Πανόπταις κτλ.* 1. *εὐηγορῶν* Mein.] *εὐήγορος.* 2. *αὐτοῖσιν*] *ἀστοῖσιν* Mein. *τὴν καλὴν*] *παγκάλην* K.

ΟΙΔΙΠΟΥΣ

72

ὁ πρῶτος εὑρὼν τἀλλότρια δειπνεῖν ἀνὴρ
δημοτικὸς ἦν τις, ὡς ἔοικε, τοὺς τρόπους.
ὅστις δ' ἐπὶ δεῖπνον ἢ φίλον τιν' ἢ ξένον
καλέσας ἔπειτα συμβολὰς ἐπράξατο,
5 *φυγὰς γένοιτο μηδὲν οἴκοθεν λαβών.*

Athenaeus 6, 239 a *Εὔβουλος ἐν Οἰδίποδι κτλ.* 1. cf. Theopomp. 34. etiam Eubulus sine dubio Euripidem per parodiam imitatur, cuius versum 5 quoque esse suspicatur Meinekius. cf. Diphil. 73, 7—9.

ΟΙΝΟΜΑΟΣ Η ΠΕΛΟΨ

73

περιφοραῖς κυκλούμενος,
ὥσπερ κυλιστὸς στέφανος

Athenaeus 15, 678 f *μνημονεύει δ' αὐτοῦ (τοῦ κυλιστοῦ στεφάνου) Εὔβουλος ἐν Οἰνομάῳ ἢ Πέλοπι κτλ.* Eustathius 1538, 42 (sine fabulae nomine). 1. *περιφοραῖς* om. Eust. 2. *ὥσπερ τις* Eust. — fortasse intellegendus Oenomaus in certamine curru excussus. cf. Archipp. 40.

ΟΛΒΙΑ

74

ἐν τῷ γὰρ αὐτῷ πάνθ' ὁμοῦ πωλήσεται
ἐν ταῖς Ἀθήναις· σῦκα — Β. κλητῆρες Α. βότρυς,
γογγυλίδες, ἄπιοι, μῆλα — Β. μάρτυρες Α. ῥόδα,
μέσπιλα, χόρια, σχαδόνες, ἐρέβινθοι — Β. δίκαι
5 *Α. πυός, πυριάτη, μύρτα — Β. κληρωτήρια*
Α. ὑάκινθος, ἄρνες — Β. κλεψύδραι, νόμοι, γραφαί.

Athenaeus 14, 640b *ὡς ὁ Εὔβουλος ἐν Ὀλβίᾳ ἔφη κτλ.* 2. *σῦκα, κλητῆρες* Pierson. Moer. 368] *οὐ κακλητηρες* A. 4. 5. *δικαι πυος πυριατη* sine accentu A. in personarum notatione secutus sum Toeppelium (Progr. Neobr. 1851, 12 not.). cf. Arist. Plut. 190 sq. 1. verbi *πωλήσεται* neque tempus neque forma probanda. scribendum *πωλεῖτ' ἀεί.* cf. Aristoph. fr. 569. 5. cf. Arist. Vesp. 710. Cratin. 142.

ΟΡΘΑΝΗΣ

Cf. Aristoph. fr. 702. Plat. com. 174, 12. Strab. 13, 587. 8 *ἀπεδείχθη δὲ θεὸς (ὁ Πρίαπος) ὑπὸ τῶν νεωτέρων· οὐδὲ γὰρ Ἡσίοδος οἶδε τὸν Πρίαπον, ἀλλ' ἔοικε τοῖς ἀττικοῖς Ὀρθάνῃ καὶ Κονισάλῳ καὶ Τύχωνι καὶ τοῖς τοιούτοις.* Hesych. *Ὀρ[η]θάνης· τῶν ὑπὸ Πριάπόν ἐστι θεῶν, καὶ αὐτὸς ἐντεταμένον ἔχων τὸ αἰδοῖον.* Phot. *Ὀρθάνης· πριαπώδης θεός· ἐντέτεκται ἑρμοῦ καὶ νύμφης.* Porson. *ἐντέτακται Ἑρμῇ καὶ Νύμφαις.* mihi potius Mercurii ex Nympha aliqua filium esse Photius dicere videtur.

75

πᾶσαδ' εὔμορφος γυνὴ
ἐρῶσα φοιτᾷ τηγάνων τε σύντροφα
τριβαλλοπανόθρεπτα μειρακύλλια·
ὁμοῦ δὲ τευθὶς καὶ Φαληρικὴ κόρη

5 σπλάγχνοισιν ἀρνείοισι συμμεμιγμένη
πηδᾷ, χορεύει, πῶλος ὡς ἄπο ζυγοῦ.
ῥιπὶς δ' ἐγείρει σκύλακας Ἡφαίστου κύνας,
θερμῇ παροξύνουσα τηγάνου πνοῇ.
ὀσμὴ δὲ πρὸς μυκτῆρας ἠρεθισμένη
10 ᾄσσει. μεμαγμένη δὲ Δήμητρος κόρη
κοίλην φάραγγα δακτύλου πιέσματι
σύρει, τριήρους ἐμβολὰς μιμουμένη,
δείπνου πρόδρομον ἄριστον.

Athenaeus 3, 108ab *Εὔβουλος Ὀρθάνῃ* (ὀρθάννῃ A) κτλ. v. 7. 8. 1. 2 etiam 6, 228f *Εὔβουλος ἐν Ὀρθάνῃ* (ὀρθάχνῃ A) '*ῥιπὶς — πνοῇ*'. *καὶ πάλιν*· '*πᾶσα δ' εὔμορφος — συντρυφᾷ*'. 2. *ἐρῶσα φοιτᾷ* A 228] *ἐρεῖ σσ απηδει* A 108. *τηγάνων τε σύντροφα* A 108] *τηγάνῳ τε συντρυφᾷ* A 228. 3. *τριβαλλοποπανόθρεπτα* Casaub. 4. *καὶ*] scrib. *χή*. *Φαληρικὴ* Dalecamp.] *φαληρὶς ἡ* A. 6. *ἀπὸ* Iacobs. Add. Ath. 70 conl. Eurip. Orest. 45 *πηδᾷ δρομαῖος πῶλος ὡς ἀπὸ ζυγοῦ*] *ὑπὸ* A. 7. *σκύλακας* K. Mus. Rhen. XXX 405. 6] *φύλακας* A 108. *φλόγας* C 228. 8. *θέρμη* (sic) — *πνοὴ* A 228. *τηγάνου* A 228] *πηγάνου* A 108. 11. *κοίλην φάραγγα* Dobr. Adv. II 302] *κοίλη φάραγγος* A. *πιέσματι* Valck. Schol. N. t. I 377] *πιάσματι*. cf. Mein. Anal. Ath. 48.

'conveniunt mulierculae et adulescentuli libidinosi, Orthanae sacra facturi.' Mein. cf. Plat. com. 174. 2. *τηγάνων σύντροφα μ.* sunt 'adulescentuli delicatis opsoniis adsueti'. Mein. 3. rectissime A *τριβαλλοπανόθρεπτα*. cf. quae ad Arist. Av. 1529 adnotavimus et de Pane lasciviae amatore Preller. Myth. gr.[2] I 583 not. 3. 4. *Phalerica puella* est *apua*, ut *Δήμητρος κόρη* v. 10 *farina*. cf. Strattid. 2. Antiph. 52, 9. 6. *πηδᾷ*, ignis scilicet aestu in olla. Eubulus praeter ceteros tragicorum imitationibus gaudet. cf. Mein. I 356. itaque v. 10 retinendum *ᾄσσει*. 7. tragici et lyrici poetae 'quos *comites* deis deabusque iungunt eos *canes* adpellare solent'. Iacobs. Add. Ath. 71, conl. Aesch. Ag. 136. Prom. 1022, quibus addo Prom. 803. 9. ut ventus *incitatus* dici potest, sic etiam *nidoris flamen* celeriter ad nares perveniens. quod moneo propter Herwerd. Nov. add. crit. 25. 10. fort. scribendum *μεμαγμένη — κόρη κοίλην φάραγγα — πιέσματα σύρει — μιμουμένην*. cavitates quae in massa, dum magna vi subigitur, exsistere solent, cum sulcis comparantur quos in mari arant naves (Schweigh.). 13. *πρόδρομον ἄριστον* id genus est adpositionis, quo praeter ceteros Euripides gaudet. Orest. 1105 *Ἑλένην κτάνωμεν, Μενέλεῳ λύπην πικράν*. 841. 2 *σφάγιον ἔθετο ματέρα, πατρῴων παθέων ἀμοιβάν*. cf. El. 1260. Androm. 291. Tro. 879. Orest. 499. 727. 962. Herc. fur. 323. Phoen. 213. Heindorf. Plat. Gorg. 507e. Pflugk. Eur. Andr. 291. Hec. 1074.

76

ὡς εὖ νεναυάγηκεν ἐπὶ τοῦ τηγάνου
ὁ θεοῖσιν ἐχθρός.

Athenaeus 3, 108 d *τὰ ἐξ Ὀρθάνου* (*ὀρθάννου* A) *Εὐβούλου ἰαμβεῖα* (*ἰαμβία* A) *εἰπών κτλ.* *Μυρτίλος* quod post *ἐχθρός* ab Athenaeo additur non Eubuli esse Meinekius Anal. Ath. 49 monuit: est enim Myrtilus unus ex convivis. ac fortasse etiam *ὁ θεοῖσιν ἐχθρός* Athenaei est. — *ὡς εὖ νεναυάγηκεν, quam bene factum est, quod naufragium fecit.*

77

δεινὸν μὲν ἰδόντα παριππεῦσαι
Κυπρίους ἄρτους· μαγνῆτις γὰρ
λίθος ὥς ἕλκει τοὺς πεινῶντας.

Athenaeus 3, 112 ef *Κυπρίων δ' ἄρτων μνημονεύει Εὔβουλος ὡς διαφόρων ἐν Ὀρθάνῃ διὰ τούτων κτλ.*

78

καρῖδα καθῆκα κάτω κἀνέσπασ' αὖθις.

Athenaeus 3, 105 f *ἐκτεταμένως δ' εἴρηκε καρῖδα . . . Εὔβουλος ἐν Ὀρθάνῃ* (*ὀρθάννῃ* A) *κτλ.* *καθηκατω κ' ἀνέσπασ'* A. 'temere haec tentavit Herwerd. Nov. add. crit. 25. cf. Gaisford. ad Heph. p. 341 ed. pr.' Mein. Anal. Ath. 47.

79

τοῦ κυάθου

μνημονεύει . . . Εὔβουλος ἐν Ὀρθάνῃ (*ὀρθάννῃ* A). Athenaeus 10, 424 b. eum dicit *κύαθον* quo medici utuntur. Arist. Pac. 542.

ΠΑΜΦΙΛΟΣ

80. 81. 82

ἐγὼ δέ, καὶ γὰρ ἔτυχεν ὂν κατ' ἀντικρὺ
τῆς οἰκίας καινὸν καπηλεῖον μέγα,
ἐνταῦθ' ἐπετήρουν τὴν τροφὸν τῆς παρθένου
κεράσαι κελεύσας τὸν κάπηλόν μοι χόα
5 *ὀβολοῦ, παραθεῖναί θ' ὡς μέγιστον κάνθαρον*
. . . . . .
ὁ δὲ κάνθαρος πάλαι κενὸς ὡς ξηραίνεται
. . . . . .
ἅμα δὲ λαβοῦσ' ἠφάνικε πηλίκον τινὰ

οἶεσθε μέγεθος ἀρεσιαν; μέγαν πάνυ,
καὶ ξηρὸν ἐποίησ' εὐθέως τὸν κάνθαρον.

Athenaeus 11, 473 e *Εὔβουλος ἐν Παμφίλῳ πολλάκις μεμνημένος τοῦ ὀνόματος (κάνθαρος) φησίν ἐγὼ δὲ — κάνθαρον. καὶ πάλιν ὁ δὲ — ξηραίνεται. καὶ ἔτι ἅμα κτλ.* 3. *ἐνταῦθα* A. 6. *κενὸς* Schweigh.] *δὴ καινὸς* A. *ὡς*] *ὧν* Mein. delebat Schweigh. *πάλαι δὴ κείμενος* | *ξηραίνεται* Mein: Anal. Ath. 256. *δὴ* (i. e. *δηλονότι*) *κενὸς ὡς* (*ὧν*) delet Cobet. N. l. 38. *πάλαι πάλαι ξηραίνεται* Herwerd. Stud. crit. 84. 8. *Ἀρεσία* Dobr. Append. Arist. 113. pro *μέγαν πάνυ* edulii nomen restituendum esse suspicatur Herwerd. Mnem. nov. VI 67.

v. 8 quod scripsit Dobraeus *Ἀρεσία* non bene convenit cum *οἶεσθε*. 9. '*ξηρὸν ποιεῖν τ. κ.* est cantharum potando siccare.' Iacobs. — tria haec fragmenta ex eadem narratione excerpta sunt. inebriat nescio quis amatae puellae nutricem, cuius fr. 2 esse videtur dolentis quod tam diu cantharus sit siccus. rursus dato a caupone vino (fr. 3) cantharum celerrime ebibit.

83

πρῶτον μὲν αὐτοῦ παραλαβὼν τῷ χαλκίῳ
τὸν ἰὸν ἐκ τῆς χειρὸς ἐξεσπόγγισεν.

Pollux 9, 90 *τὸν δὲ νῦν χαλκὸν οἱ Ἀττικοὶ χαλκίον εἰώθασι καλεῖν, ὡς ἀπὸ τοῦ ἀργύρου ἀργύριον καὶ ἀπὸ τοῦ χρυσοῦ χρυσίον ...Εὔβουλος ἐν Παμφίλῳ κτλ.* medicum dicit pro exigua mercede venenum spongia de manu abstersisse.

ΠΑΝΝΥΧΙΣ

84

ἢ τὰς φιλῳδοὺς κερμάτων παλευτρίας
οὐκ οἶσθα, πώλους Κύπριδος ἐξησκημένας,
γυμνάς, ἐφεξῆς ἐπὶ κέρως τεταγμένας,
ἐν λεπτοπήνοις ὕφεσιν ἑστώσας, οἷας
5 *Ἠριδανὸς ἁγνοῖς ὕδασι κηπεύει κόρας·*
παρ' ὧν βεβαίως ἀσφαλῶς τ' ἔξεστί σοι
μικροῦ πρίασθαι κέρματος τὴν ἡδονήν.

Athenaeus 13, 568 e *ἢ οὐκ οἶδας κατὰ τὴν Εὐβούλου Παννυχίδα τὰς κτλ.* 1. *ἢ τὰς* ex Athenaei verbis Eubulo reddidit Cobet. N. l. 138. *φιλῳδοὺς* Dobr. Adv. II 343] *φειδωλους* A. 2. *οὐκ οἶσθα* ex Ath. (*οἶδας*) supplevit Cobet. 3. *ἐπικαιρως* A. 4. *λεπτονήποις ὕμεσιν* A. *ὕφεσιν* Porson. Misc. 243. 6. *παρ' ὧν*] *παρὼν* A. — ceterum cf. fr. 67.

ΠΑΡΜΕΝΙΣΚΟΣ

Parmeniscus Metapontinus Pythagoreus est Athen. 14, 614 a, *Παρμενίσκος ὁ Διονυσοδώρου κοινωνός* Demosth. 56, 5. 7. 9. 10. sed fortasse neuter significatur.

85

ἀπὸ τῶν ἐκείνου καὶ τὰ κυντατώτατα

Photius *κυντερώτατα· καὶ κυντατώτατα λέγουσιν. Εὔβουλος Παρμενίσκῳ κτλ.* Bekk. Anecd. 101, 30 *κυντερώτερον καὶ κυντατώτατον· Εὔβουλος Παρμενίσκῳ.* sententia et verborum nexus in tanta fragmenti exiguitate non perspicitur. fortasse *ἀπολῶν ἐκεῖνον καὶ τ. κ.* | *δράσων.*

86

τετορύνηκας

ἔστιν ἐν Εὐβούλου Παρμενίσκῳ. Pollux 10, 98. scilicet coquorum vocabula tunc in locum coriariorum successerant. cf. Arist. Eq. 463—469. 479.

ΠΛΑΓΓΩΝ

Meretrix illa aetate notissima. Anaxil. 22, 8. Timocl. 25. fortasse eadem, de qua Demosth. 39, 2. 4. 9. 32. 40, 2. 8. 10. 11. 20. 23. 27. 51. 61. Meinek. I 366.

87

μετοίκιον

Harpocration 127, 2 *ἐδίδοντο δὲ ὑπ' αὐτῶν (τῶν ξένων) καθ' ἕκαστον ἔτος δραχμαὶ ιβ', ὅπερ ὠνόμαστο μετοίκιον, ὡς δηλοῖ Εὔβουλος ἐν τῇ Πλαγγόνι.* cf. Poll. 3, 55. Phot. *μετοίκιον.* Boeckh. Oec. Ath. I 446. Schoem. Ant. gr.[2] I 366.

ΠΟΡΝΟΒΟΣΚΟΣ

88

τρέφει με Θετταλός τις, ἄνθρωπος βαρύς,
πλουτῶν, φιλάργυρος δὲ κἀλιτήριος,
ὀψοφάγος, ὀψωνῶν δὲ μέχρι τριωβόλου.

Athenaeus 3, 108 d *τὰ ἐκ Πορνοβοσκοῦ Εὐβούλου ἰαμβεῖα (ἰαμβία* A) *τάδε κτλ. βαρὺ πλουτῶν* Boisson. *βαθὺ πλ.* Mein. Anal. Athen. 49, nulla necessitate. sed miror neminem vidisse quam non conveniat tali homini, qualis ultimis inprimis verbis describitur, epitheton *ὀψοφάγος*, quod ortum est ex proximo *ὀψωνῶν.* restituendum est aut *μονοφάγος* conl. Arist. Vesp. 923. Amips. 24, aut *σκατοφάγος.* Menand. 757 Mein.

89

οὐκ ἂν δυναίμην ἐμφαγεῖν ἄρτον τινά·
παρὰ Γναθαινίῳ γὰρ ἄρτι κατέφαγον
ἕψουσαν αὐτὴν καταλαβὼν γηθυλλίδας.

Athenaeus 9, 371 ef *τοῦτο δὲ τὸ ὄνομα (γηθυλλίδες) μνήμης εὑρίσκω τετυχηκὸς παρὰ μὲν Εὐβούλῳ ἐν Πορνοβοσκῷ οὕτως κτλ.* 3. *ἕψουσαν* Dalecamp.] *ἑψευσαν* A. — non credo poetam scripsisse *ἄρτον τινά*, nam de oleribus loquitur. fortasse *ἀρτύματα.*

ΠΡΟΚΡΙΣ

'Nota de Cephalo et Procride fabula, fortasse etiam Philetaero in Cephalo tractata, argumentum praebuit.' Mein. I 366. cf. Preller. Myth. gr.[2] II 144 sq. Sophoclis tragoedia fuit *Procris.* cf. E. Rohde, Gr. Rom. 101, 3.

90

οὔκουν ὑποστορεῖτε μαλακῶς τῷ κυνί;
κάτω μὲν ὑποβαλεῖτε τῶν Μιλησίων
ἐρίων, ἄνωθεν δ' ἐπιβαλεῖτε ξυστίδα.
Β. Ἄπολλον. Α. εἶτα χόνδρον αὐτῷ δεύσετε
5 *γάλακτι χηνός. Β. Ἡράκλεις. Α. καὶ τοὺς πόδας*
ἀλείψετ' αὐτοῦ τῷ Μεγαλλείῳ μύρῳ.

Athenaeus 12, 553 b *ἐν δὲ Πρόκριδι (προκρίδα* A) *λέγει τις πῶς δεῖ ἐπιμελεῖσθαι τοῦ τῆς Πρόκριδος κυνός, ὡς περὶ ἀνθρώπου τοῦ κυνὸς τὸν λόγον ποιούμενος κτλ.* 1. *οὔκουν* Toeppel. Progr. Neobr. 1851, 16] *οὐκοῦν.* 6. *ἀλείψετ'* Cobet. N. l. 111] *ἀλείψατ'* A. *Μεγαλλείῳ* Mein. in Ath.] *μεγαλλίῳ.* cf. Pherecr. 140. Aristoph. fr. 536. Strattid. 33.

de *Laelape,* Procridis cane cf. Ovid. Met. 7, 754. Hygin. Fab. 189, inprimis autem (quem indicavit Meinekius) Poll. 5, 39 *τὰς Μολοττίδας (κύνας) ἀπογόνους εἶναι κυνὸς ὃν Ἥφαιστος ἐκ χαλκοῦ Δημονησίου* (ex insula prope Chalcedonem, cf. Steph. Byz. *Δημόνησυς*) *χαλκευσάμενος, ψυχὴν ἐνθεὶς δῶρον ἔδωκε Διὶ κἀκεῖνος Εὐρώπῃ, αὕτη δὲ Μίνῳ. καὶ Μίνως Πρόκριδι καὶ Πρόκρις Κεφάλῳ.* 5. *γάλακτι χηνός* nequaquam confirmatur notissimo proverbio (*ὀρνίθων γάλα*) apud Aristophanem: nusquam enim hic locus est rebus quae non sunt. scribendum videtur *στέατι χηνός.* sic Dioscorides *στέαρ ὀρνίθειον, χήνειον.* ridicule (fort. Procris ipsa) de cane venatico loquitur, tamquam sit canicula Melitensis, quales tunc mulierculae alebant.

91. 92

ἡμεῖς δ' οὐδέπω δεδείπναμεν.
. . . . . .
ὃν χρὴ δεδειπνάναι πάλαι.

Athenaeus 10, 422e *εἴρηκε δὲ οὕτως (δεδείπναμεν)... Εὔβουλος Πρόκριδι (προκρίδη* A) *ἡμεῖς δ' — δεδείπναμεν, καὶ πάλιν ὃν — πάλαι.* χρὴ] 'fort. χρῆν' Mein. — cf. Hermipp. 60.

ΠΡΟΣΟΥΣΙΑ Η ΚΥΚΝΟΣ

93

ἀγαπῶν τε κἂν ἑψητὸν ἐν τεύτλοις ἕνα
διὰ δωδεκάτης ἑψόμενον ἡμέρας ἴδῃ.

Athenaeus 7, 301a *ἑψητὸς ἐπὶ τῶν λεπτῶν ἰχθυδίων... Εὔβουλος ἐν Προσουσίᾳ ἢ Κύκνῳ κτλ.* 2. *δια* (sine acc.) A.

ΣΕΜΕΛΗ Η ΔΙΟΝΥΣΟΣ

94

τρεῖς γὰρ μόνους κρατῆρας ἐγκεραννύω
τοῖς εὖ φρονοῦσι· τὸν μὲν ὑγιείας ἕνα,
ὃν πρῶτον ἐκπίνουσι, τὸν δὲ δεύτερον
ἔρωτος ἡδονῆς τε, τὸν τρίτον δ' ὕπνου,
5 *ὃν ἐκπιόντες οἱ σοφοὶ κεκλημένοι*
οἴκαδε βαδίζουσ'. ὁ δὲ τέταρτος οὐκ ἔτι
ἡμέτερός ἐστ', ἀλλ' ὕβρεος· ὁ δὲ πέμπτος βοῆς·
ἕκτος δὲ κώμων· ἕβδομος δ' ὑπωπίων·
ὁ δ' ὄγδοος κλητῆρος· ὁ δ' ἔνατος χολῆς·
10 *δέκατος δὲ μανίας, ὥστε καὶ βάλλειν ποιεῖ·*
πολὺς γὰρ εἰς ἓν μικρὸν ἀγγεῖον χυθεὶς
ὑποσκελίζει ῥᾷστα τοὺς πεπωκότας.

Athenaeus 2, 36b *Εὔβουλος δὲ ποιεῖ τὸν Διόνυσον λέγοντα κτλ.* Suidas *οἶνος.* Cramer. Anecd. Ox. IIII 254, 6 (sine auctoris fabulaeve indicio) *το μὲν πρῶτον ὑγείας· τὸ δεύτερον ἡδονῆς· τὸ τρίτον ὕβρεως· τὸ δὲ τελευταῖον μανίας.* ad *Semelen vel Dionysum* rettulit Grotius Excerpt. 649. 1. *γὰρ*] *γίνεται* C. 2. *ὑγιείας* Dindf.] *ὑγείας.* *ἕνα*] *ἕνεκα* Suid. 5. *ἐκπιόντες* C] *εἰσπίνοντες. ἐκπίνοντες* Suid. 6. *ἔτι* Suid.] *ἔθ'.* 7. *ἡμέτερος*] *ὑμέτερος* A Suidae. *ἐστ'*] *ἐστιν* Suid. *ὕβρεος* Dindf.] *ὕβρεως.* cf. Theopomp. 32, 3. 9. *ὁ δ' ὄγδ.* Casaub.] *ὄγδ.* *κλητῆρος* Florens Christianus Arist. Vesp. 1384] *κλήτορος.* 10. *ὥστε καὶ βάλλειν*] *ὥστ' ἐκβάλλειν* Suid. *ὥστε καὶ σφάλλειν πόδας* Iacobs. Add. Ath. 35. *ὥστε κἀκβάλλειν* Mein. Anal. Ath. 18. 11. *μικρὸν* et 12. *ῥᾷστα* om. Suid.

1. fortasse scribendum *ἐγκεράννυμεν.* cf. v. 7. 3. an *ὃν ἄκρατον ἐκπίνουσι?* nam conlatis testimoniis ab Athenaeo 486f.

487 adpositis adparet *ἀγαθοῦ δαίμονος* et *ὑγιείας* eandem fuisse potionem: illa autem meraca erat. C. F. Hermann. Ant. priv. 28, 18. 10. *ὥστε βαμβάλλειν ποιεῖ*, i. e. *balbutire*. cf. Lobeck. Pathol. prol. 113 not. 2. 12. *ὑποσκελίζει*, i. e. *mentem pervertit*.

95

πρῶτον μὲν ὅταν ἐμοί τι θύωσίν τινες,
αἷμα, κύστιν, μὴ καρδίαν
μηδ' ἐπιπόλαιον. οὐκ ἐγὼ γὰρ ἐσθίω
γλύκιον οὐδὲ μηρίαν.

Clemens Alex. Strom. 7, 6, 30 *Εὔβουλος ὁ καὶ αὐτὸς κωμικὸς ὧδέ πως περὶ τῶν θυσιῶν γράφει* (fr. 130). *καὶ παραγαγὼν τὸν Διόνυσον ἐν Σεμέλῃ διαστελλόμενον πεποίηκεν κτλ.* 1. *θύωσιν* Sylb.] *θύωσι* L. 2. *θύουσιν αἷμα* Sylb. post *κύστιν* plura excidisse suspicatur Mein. 3. *μηδ'* Sylb.] *μηδὲ*. 4. *γλύκιον* G. Hermann.] *γλυκείαν*. *κοιλία* Arsen. Viol. 299. *οὐκ ἐγὼ γὰρ ἐσθίω | γλυκύτερον οὐδὲν μηρίων* Grotius Excerpt. 655. *γλυκεῖαν* i. e. *fel* Mein. IIII 613 sq. quae in Mnem. nov. VI 68 Herwerdenus protulit ea, utpote graecae linguae legibus adversa, publica luce indigna erant. neque vero probanda quae G. Hermannus proponit Aeschyl. II 101 *θύουσιν αἷμα, κύστιν· οὐ μὴ καρδίαν, μηδ' ἐπιπόλαιον· οὐκ ἐγὼ γὰρ ἐσθίω | γλύκιον οὐδὲν μηρίων*;

mihi conl. Pherecr. 23 non dubium videtur quin Bacchus his verbis illa recuset quae homines quippe quibus ipsi uti non possint deis inmolant, et ea poscat quae antiquitus deis dabantur *μηρία*. itaque sic haec constituo: *μήθ' αἷμα μήτε κύστιν μήτε καρδίαν, | μηδ' ἐπιπόλαιον· ὡς ἔγωγ' οὐκ ἐσθίω | γλύκιον οὐδὲν μηρίων*. Hesych. *ἐπιπόλαιον· τὸν ἐπίπλουν, ὑμένα*. cf. Philetaer. 17.

96

Ἑρμῆς ὁ Μαίας λίθινος, ὃν προσεύγμασιν
ἐν τῷ κυλικείῳ λαμπρὸν ἐκτετριμμένον —

Athenaeus 11, 460 e *εἴρηται οὕτως (κυλικεῖον) ἡ τῶν ποτηρίων σκευοθήκη... Εὔβουλος... ἐν Σεμέλῃ ἢ Διονύσῳ κτλ.* 1. *προσεύγμασιν*] *προσευξάμην* Fritzschius apud Toeppel. Progr. Neobr. 1857, 8. at quis praestet poetam orationem non sic continuavisse *ὃν προσεύγμασιν — ἐκτετριμμένον τιμῶμεν* vel *ἱκετεύομεν*? 2. *ἐκτετριμμένον* rectissime. sic Polybius *τὰς πανοπλίας ἐκτρίβειν*. cum poculis in *κυλικείῳ* Mercurius marmoreus positus erat ut deus tutelaris cauponae. id signum ut pocula abstergebatur. cf. Alexid. 119 et Toeppel. 8. 9. non audiendus est Herwerden. Nov. add. crit. 25.

ΣΚΥΤΕΥΣ

97

κοχῶναι

μέμνηται καὶ Εὔβουλος ἐν Σκυτεῖ. Schol. Hippocr. Epid. 5, 7. Erotian. 20, 9 Klein. *Εὔβουλος ἐκ Σκυτειῶν* (i. e. *Σκυτέων* vel *Σκυτέως*) Goett. Gel. anz. 1852 p. 424.

ΣΤΕΦΑΝΟΠΩΛΙΔΕΣ

Cn. Naevii *Corollariam* Eubuleae fabulae imitationem fuisse probabilis est coniectura Fielitzii De Att. com. bip. p. 10. cf. O. Ribbeck. Com. Rom. fr.[2] 12.

98

μὰ Δί' οὐχὶ περιπεπλασμέναι ψιμυθίοις,
οὐδ' ὥσπερ ὑμεῖς συκαμίνῳ τὰς γνάθους
κεχριμέναι. κἂν ἐξίητε τοῦ θέρους,
ἀπὸ τῶν μὲν ὀφθαλμῶν ὑδρορρόαι δύο
5 *ῥέουσι μέλανος, ἐκ δὲ τῶν γνάθων ἱδρὼς*
ἐπὶ τὸν τράχηλον ἅλοκα μιλτώδη ποιεῖ,
ἐπὶ τῷ προσώπῳ δ' αἱ τρίχες φορούμεναι
εἶξασι πολιαῖς, ἀνάπλεῳ ψιμυθίου.

Athenaeus 13, 557 f *αἱ δὲ γαμεταὶ ἡμῶν γυναῖκες οὐκ εἰσὶ τοιαῦται, οἵας Εὔβουλός φησιν ἐν Στεφανοπώλισιν κτλ.* Eustathius 976, 56 (sine fabulae nomine). 1. *ψιμμυθίῳ* C et Eust. 3. *κεχρισμέναι* C et Eust. *ἐξείητε* A. 4. *μὲν τῶν* C et Eust. *ὑδρορόαι* A. 7. *δ' αἱ*] *δὲ* Eust. 8. *εἴξασιν ἤγουν ὁμοιοῦνται* Eust.

4. 5. Bekker. Anecd. 68, 17 *ὑπογράμματα· οἷς ὑπογράφονται τοὺς ὀφθαλμούς· ἔστι δέ τις μέλαινα σκευασία, ἣν καὶ στίβην* (*στίμμι*) *καλοῦσιν.* cf. Aristoph. fr. 320, 5. 880. Pollux 5, 101 *ἴσως δ' ἂν τοῖς κόσμοις προσήκοι καὶ τὸ ἔντριμμα, ψιμύθιον, ἄγχουσα, φῦκος, καὶ τὰ ὑπογράμματα.* cf. Hesych. *ὑπογράμματα.* Phot. *ὑπόγραμμα.*

99

στεφάνους ἴσως βούλεσθε· πότερ' ἐρπυλλίνους
ἢ μυρτίνους ἢ τῶν διηνθημένων;
Β. τῶν μυρτίνων βουλόμεθα τουτωνί· σὺ δὲ
τά γ' ἄλλα πώλει πάντα πλὴν τῶν μυρτίνων.

Athenaeus 15, 679 de *καταλέγει δὲ Εὔβουλος καὶ ἄλλους στεφάνους* (fr. 105) *κἂν τοῖς ἑξῆς τάδε φησί κτλ.* cum 679 b Athenaeus ex Eubuli Corollariis quaedam excerpserit (fr. 104), dubium esse non potest quin hoc quoque fragmentum et 105 ad eandem fabulam pertineant.

1. πότερ' Canter.] πότερον A. 2. διεξηνθισμένων Porson. at quid est διεξανθίζειν? cum apud Aeschylum (Suppl. 73) inveniatur verbum ἀνθεμίζεσθαι, ab ἄνθεμον derivatum ut ἀνθίζειν ab ἄνθος, ἄνθεμον autem apud poetas Atticos sit frequentissimum, fortasse licebit scribere διηνθεμισμένων. 3. τουτωνί· σὺ δὲ Dobr. Arist. Plut. 361 p. 44] τούτῳ σὺ A. 4. τά γ' ἄλλα G. Hermann.] τἄλλα A. ἅπαντα πώλει τἄλλα Dohr. τούτων τῶν καλῶν· | σὺ δὲ τἄλλα Bergk. τουτωνὶ δίδου· | τὰ δ' ἄλλα Mein. in Ath.

3. '*myrteas volumus coronas; ceteras vendas licet.*' Mein.

100

λῦε τἀλαβάστια
θᾶττον σὺ καὶ τῇ σπαθίδι τὸν πώγωνά μου
καὶ τὴν ὑπήνην μύρισον.

Pollux 10, 120 Εὔβουλος ἐν ταῖς Στεφανοπώλισι τοῦτο μὲν (τὸ εἰς τὰς ληκύθους καθιέμενον ἐπὶ γεύματι τοῦ μύρου) σπαθίδα, τοὺς δ' ἀλαβάστους ἀλαβάστια εἴρηκεν κτλ. cf. Aristoph. fr. 205.

101

εἰ μὴ σὺ χηνὸς ἧπαρ ἢ ψυχὴν ἔχεις.

Athenaeus 9, 384c χηνείων δ' ἡπάτων...μνημονεύει Εὔβουλος ἐν Στεφανοπώλισι λέγων οὕτως κτλ. (εὔπολις ἐν στεφανοπώλησι A).

102

Αἰγυπτίῳ ψάγδανι τρὶς λελουμένη

Athenaeus 15, 690e Εὔβουλος δ' ἐν Στεφανοπώλισιν κτλ. ψάγδανι sine acc. A. cf. Eupol. 198. Aristoph. fr. 206. Epilyc. 1.

103

εὔχρων τι κιλλόν, μανθάνεις, θερίστριον

Herodian. I 158, 3. II 101, 9 Lentz. τὰ εἰς λος ἑτέρῳ λ παραληγόμενα, οὗ τὸ α μὴ προηγεῖται, ὀξύνεται· κιλλός, εἶδος χρώματος (*eselsgrau*) ἐν Στεφανοπώλισιν Εὐβούλου κτλ. de θεριστρίῳ Valcken. Theocr. Adoniaz. p. 368c conferri iubet Meinekius. de μανθάνεις cf. quae adnotavimus ad Arist. Nuh. 355. Av. 1003.

104

ὦ μάκαρ ἥτις ἔχουσ' ἐν δωματίῳ
. . στρούθιον ἀεροφόρητον
λεπτότατον περὶ σῶμα συνίλλεταί τε
ἡδυπότατον περὶ νυμφίον εὔτριχα

5 κισσὸς ὅπως καλάμῳ περιφύεται
αὐξόμενος ἔαρος ὀλολυγόνος
ἔρωτι κατατετηκώς.

Athenaeus 15, 679 b στέφανον...τὸν στρούθιον καλούμενον, οὗ μέμνηται μὲν ὁ Ἀσκληπιάδης, παρατιθέμενος τὰ ἐκ τῶν Εὐβούλου Στεφανοπωλίδων ταῦτα κτλ. πλέκεται δ' οὗτος ἐκ τοῦ στρουθίου καλουμένου ἄνθους. 1. ἐν] ἑ in rasura m.[1] A. 3. sic, sine accentu tamen, non συνίλλεσται, A. cf. Cobet. N. l. 457. 5. κισσος, καλάμω et 6. ὀλολυγονος A.

plurimae in pulcherrima hac ecloga commemorandae sunt hominum doctorum coniecturae. 1. δώματι Mein. fort. ἐνὶ δώματι | ῷ. 2. ἁβροφόρητον et (Anal. Ath. 328) ἀερόφοιτον Mein. idem lacunam indicavit, quam voce στέφανον explet G. A. Hirschig. Ann. crit. 7. mihi in exitu scribendum videtur αὐροδόνητον. 3. πτερύγωμα Herwerd. Mnem. nov. IIII 322. περίδημα K. in exitu τε delendum est. 3. ἡδύτατον Mein., ἡδύπνοον, coniungendum cum περίδημα, K. 5. scribendum est πλατάνῳ. 6. εἴαρος αὐξομένου Mein., αὐξομένας ὥρας Bergk.

1. μάκαρ ἥτις. cf. quae ad Arist. Av. 1723 adnotavimus. 4. νυμφίον εὕτριχα, ut εὕτριχι πώλῳ Cratin. 87. 5. cf. Theophr. Caus. pl. 2, 18, 3. 6. ὀλολυγόνα Lobeckius Rhemat. 324 interpretatur *Käuzlein*. mihi hic quidem *luscinia* dici videtur. hedera arborem amplectitur, ut lusciniam in eius ramis canentem audiat. aliter tamen Meinekius: extrema 'ad incognitam nobis fabulam spectare videntur de Cisso (Nonn. 12, 97. 188. Paus. 1, 31) Ololygonis nymphae amore tabescente'. fallitur E. Rhodius Gr. Rom. 158. 9 de Cissi Calamique amore cogitans, cum Nonnus nihil nisi Cissum et Ampelon a Calamo sustineri narret. — excepto ultimo versus videntur dactylici esse. fortasse haec ea puella recitavit, quae fr. 105 adpellatur.

105

Αἰγίδιον, σὺ δὲ τόνδε φορήσεις
στέφανον πολυποίκιλον ἀνθέων,
γρυπότατον, χαριέστατον, ὦ Ζεῦ.
τίς γὰρ αὐτὸν ἔχουσα φιλήσει.

Athenaeus 15, 679 d e καταλέγει δὲ Εὔβουλος καὶ ἄλλους στεφάνους κτλ. — cf. fr. 99. 2. τὸν στ. Iacobs. Add. Ath. 355. 3. ὑγρότατον G. A. Hirschig. Ann. crit. 7. 4. τί γάρ; Bergk. φιλήσεις Mein. (τίς γὰρ ἂν αὐτὸν ἔχουσ' ἀφίλητος; in Ath.) fortasse τίς γὰρ ἂν αὐτὸν ἔχουσ' ἄφιλος μένοι;

Αἴξ meretricum cognomen erat (Machon. Athen. 13, 583 c d, 584 e f), inprimis Nannii (587 a), quam Hyperides commemoraverat ἐν τῷ κατὰ Πατροκλέους. cf. Amphid. 23.

ΣΦΙΓΓΟΚΑΡΙΩΝ

Significatur servus (*Καρίων*) quidquid dicebat Sphingis instar tamquam aenigmatum tenebris involvens. Mein. I 277. 8. 366.

106

νὴ τὸν Δί' ἡσθένουν γάρ, ὦ βέλτιστε σύ,
φαγοῦσα πρῴην σῦκα τῆς μεσημβρίας.

Athenaeus 3, 80ab *ἄλλοι δέ φασιν ὅτι μη δεῖ σῦκα προσφέρεσθαι τῆς μεσημβρίας... Εὔβουλος ἐν Σφιγγοκαρίωνι κτλ.* cf. Pherecr. 80. Aristoph. fr. 463. Nicophont. 12.

107

ἔστι λαλῶν ἄγλωσσος, ὁμώνυμος ἄρρενι θῆλυς,
οἰκείων ἀνέμων ταμίας, δασύς, ἄλλοτε λεῖος,
ἀξύνετα ξυνετοῖσι λέγων, νόμον ἐκ νόμου ἕλκων.
ἓν δ' ἐστὶν καὶ πολλά, καὶ ἂν τρώσῃ τις ἄτρωτος.
5 *τί ἐστι τοῦτο; τί ἀπορεῖς; Β. Καλλίστρατος.*
Α. πρωκτὸς μὲν οὖν οὗτος. Β. σὺ δὴ ληρεῖς ἔχων.
Α. οὗτος γὰρ αὐτός ἐστιν ἄγλωττος, λάλος,
ἓν ὄνομα πολλοῖς, τρωτός, ἄτρωτος, δασύς,
λεῖος· τί βούλει; πνευμάτων πολλῶν φύλαξ.

. . . . . .

10 *ἀττελεβόφθαλμος, μὴ πρόστομος, ἀμφικέφαλλος,*
αἰχμητής, παίδων ἀγόνων γόνον ἐξαφανίζων.
ἰχνεύμων Αἰγύπτιος.
τῶν γὰρ κροκοδείλων οὗτος ᾠὰ λαμβάνων,
πρὶν θηριοῦσθαι τὸν γόνον καταγνύει,
15 *ἔπειτ' ἀφανίζει· διότι δ' ἔστ' ἀμφίστομος;*
κεντεῖ κάτωθεν, τοῖς δὲ χείλεσιν δάκνει.

. . . . . .

οἶδ' ἐγὼ ὃς νέος ὢν ἐστὶν βαρύς, ἂν δὲ γέρων ᾖ,
ἄπτερος ὢν κούφως πέτεται καὶ γῆν ἀφανίζει.
πάππος ἀπ' ἀκάνθης· οὗτος γὰρ
20 *νέος μὲν ὢν ἕστηκεν ἐν τῷ σπέρματι·*
ὅταν δ' ἀποβάλῃ τοῦτο, πέτεται κοῦφος ὢν
δήπουθεν, ὑπὸ τῶν παιδίων φυσώμενος.

. . . . . .

ἔστιν ἄγαλμα βεβηκὸς ἄνω, τὰ κάτω δὲ κεχηνός,
εἰς πόδας ἐκ κεφαλῆς τετρημένον, ὀξὺ διαπρό,

25 ἀνθρώπους τίκτον κατὰ τὴν πυγὴν ἓν' ἕκαστον·
ὧν οἱ μὲν μοίρας ἔλαχον βίου, οἱ δὲ πλανῶνται,
αὐτὸ δ' ἕκαστος ἔχων αὐτόν, καλέω δὲ φυλάττειν.

Athenaeus 10,449 e *Εὔβουλος ἐν Σφιγγοκαρίωνι τοιούτους γρίφους προβάλλει, αὐτὸς καὶ ἐπιλύων αὐτούς κτλ. ταῦτα δὲ* (i. e. quae v. 23 sq. proposuit) *ὅτι κληρωτικὸν σημαίνει, ὑμεῖς διακρίνατε, μὴ πάντα παρὰ τοῦ Εὐβούλου λαμβάνωμεν.* 2. *ἄλλοτε λεῖος* VL] *ἄλλο τει δεῖος* A. 5. *τί ἐστι*] *τίς ἐστι* A. 6. *σὺ δὲ* A. 9. *τί βούλει; πνευμάτων* Casaub.] *τι βουλεπινευμάτων* A. 10. *μικρόστομος* Casaub. *πικρόστομος* Mein. *ἀμφικέφαλλος* Dindf., conl. Arist. Eq. 418] *ἀμφικέφαλος* A. 13. an *τῷ' ἐκεῖνος*? 14. *καταγνύει* Porson. Eurip. Med. 743] *κατάγνυσιν* A. 15. *δ' ἔστ'* Grotius Excerpt. 655] *δὲ* A. 16. *κεντει κατω θε τοις* A. *δάκνει* C] *δάκνων* A. 17. *ὃς* C] *ὡς* A. 18. *κοῦφον* C. *κοῦφος* Grotius. *πέτεται* nescio quis] *πέταται* A. 24. *διαπρό* Lobeck. Pbryn. 614] *διάτρωτον* A. 25. *τίκτον* ep. Hoesch. et ('ni fallor' Dindf.) C] *τίκτειν* A. *τίκτει* Schweigb. 26. *βίον* A. 27. *αυτο* et *αυτον* A. *οἱ δὲ πλανῶνται αὐτὸς ἕκαστος ἔχων αὐτόν, κόλπῳ δὲ φυλάττει* Emperius Mus. Rhen. I 459. ceterum necessario aut *φυλάσσειν* aut *φυλάσσει*, et si illud verum est, fortasse *κέλομαι* pro *καλέω* scribendum.

'primum aenigma quod Cario servus proponit ad *Callistrati* (Theopomp. 30. Antipb. 300) contumeliam spectat, bominis in republica administranda strenui, sed voluptatibus dediti.' Mein. *ὁμ. ἄρρ. θ.*, quia podex maris feminaeque idem nomen habet. 'quae ad Callistratum translata quid significent baud obscurum est.' Mein. 3 confert Iacobsius Eurip. Phoen. 1508 (1512) *δυσξύνετον ξυνετὸς μέλος ἔγνω Σφιγγός. νόμον ἐκ νόμου*, modum ex modo, cantum ex cantu, *eine Melodie nach der anderen.* 4. *ἓν καὶ πολλά* callidum Callistrati ingenium designant. 5. inter duas interrogationes intercapedo facienda est, dum is qui interrogat alterius responsum exspectat. post v. 9. 11. 16. 18. 22 nonnulla ab Athenaeo omissa esse adparet. 10. Arcbestr. Athen. 4, 163 d. 7, 310 e *ὅσοι κεπφαττελεβώδη ψυχὴν κέκτηνται θνητῶν εἰσίν τ' ἀπόπληκτοι.* locustarum et ichneumonis oculos pro ratione capitis magnos esse Buffone auctore monet Schweighaeuser. *μὴ πρόστομος* reicit Casaubonus, quod os vel rostrum ichneumonis sit acutissimum. ceterum ex v. 15 facile cognoscitur bic quoque scribendum esse *ἀμφίστομος*. 'bicipitem icbneumonem dicit, quod cauda eius speciem aliquam capitis prae se fert.' Mein. cf. tamen Brehm. Thierleben I 474 sq., qui plurimas de eo narrationes fabulas esse docet. 14. *θηριοῦσθαι* simili significatione atque *ἀνδροῦσθαι.* 15. *cur cum dicam ἀμφίστομον, scire cupis?* 18. bene Meinekius confert Plat. Protag. 338 a *φεύγειν εἰς τὸ πέλαγος τῶν λόγων ἀποκρύψαντα γῆν* et Verg. Aen. 3,291 *protinus aerias Phaeacum abscondimus arces.*

19. frustra Herwerdenus Mnem. nov. VI 68 versum explere conatur: interponit enim suam Athenaeus, ut 12 et eis quae in exitu addit, interpretationem. Soph. fr. 783 *γραίας ἀκάνθης πάππος ὡς φυσώμενος*. 23. etiam invito Casaubono scribendum *μεμυκὸς ἄνω*. camus enim (*κημός*) sine dubio tectus erat sive corio sive alia re, ita tamen ut fissura maneret, qua demitterentur calculi. cf. Cratin. 132. 25. *ἓν' ἕκαστον* 'quia de singulis sontibus separatim feruntur suffragia'. Casaub. 26. *οἱ μέν* sunt ei qui absolvuntur; *πλανᾶσθαι* est in exsilium expelli.

108

ἐν θαλάμῳ μαλακῶς κατακείμενον· ἐν δὲ κύκλῳ νιν
παρθενικαὶ τρυφεραὶ χλανίσιν μαλακαῖς κατάθρυπτοι
τὸν πόδ' ἀμαρακίνοισι μύροις τρίψουσι τὸν ἐμόν.

Athenaeus 12, 553a *ἔθος δ' ἦν Ἀθήνησι καὶ τοὺς πόδας τῶν τρυφώντων ἐναλείφειν μύροις ... Εὔβουλος ἐν Σφιγγοκαρίωνι κτλ.* 1. *νιν*] $\overline{\text{νιν}}$ A. *ἕνδεκ' Ἄδωνιν* Iacobs. Add. Ath. 293. 2. *παρθενικαὶ τρυφεραὶ χλανίσιν μαλακαῖς* Iacobs.] *παρθενικὰ τρυφερὰ χλανιδανα μαλακὰ* A. *χλιδαναὶ μάλα καὶ κατάθρυπτοι* Mein. in Ath., praeferens tamen dualem *παρθενικὰ τρυφερὰ — καταθρύπτω*. 3. *μύροις* Iacobs.] *μύροισι* A. *ἐμόν* A] *ἀμόν* vel *ἁβρόν* Iacobs, *ἐλλόν* '*pernicem*' Mein., *αἰνόν*, Callistratum gripho significari censens, Bergk. sed quid hic esse possit griphi non intellego. — v. 1 *κατακείμενον* pendet a verbo posito in eis quae Athenaeus omisit; in exitu fortasse scribendum *ἐν δὲ δύω νιν κτλ.* de adiectivo *παρθενικά* pro *παρθένω* posito cf. quae ad Arist. Nub. 186 adnotavimus. 2. *παρθενικά, τρυφερά, χλιδανά, μαλακά, καταθρύπτω*. 3. *τὸν πόδα μύροις τρίβειν* nemo umquam dixit. poeta scripsit *τὼ πόδ' — μύροις χρίσουσι τυράννῳ*.

ΤΙΤΑΝΕΣ

Fortasse non diversa a *Τίτθαις*. Mein. I 367.

109

προσγελῶσά τε
λοπὰς παφλάζει βαρβάρῳ λαλήματι,
πηδῶσι δ' ἰχθῦς ἐν μέσοισι τηγάνοις.

Athenaeus 6, 229a *Εὔβουλος . . . καὶ ἐν Τιτᾶσι κτλ.* v. 2 Pherecrati tribuit Eustathius 1290, 45, cuius tamen contra Athenaeum auctoritas nulla est. v. 3 sine auctoris nomine idem adfert 1862, 17. 2. *βαρβάροις λαλήμασιν* Eusth. — *προσγελῶσα*. cf. fr. 56, 2.

ΤΙΤΘΑΙ

De accentu cf. quae adnotavimus ad Antiph. 159, 4. *Τίτθη* fuit Menandri, *Τίτθη* vel *Τίτθαι* Alexidis, *Titthe* Caecilii Statii. O. Ribbeck. Com. Rom. fr.[2] 71.

110

μὴ πολυτελῶς, ἀλλὰ καθαρείως ὅ τι ἂν ᾖ,
ὁσίας ἕνεκα, σηπίδι' ἢ τευθίδια,
πλεκτάνια μικρὰ πουλύποδος, νῆστίν τινα,
μήτραν, χόρια, πυόν, λάβρακος κρανίον
5 *εὐμέγεθες.*

Athenaeus 7, 311 d *ὡς διαφόρου ὄντος τοῦ τῶν λαβράκων ἐγκεφάλου, καθάπερ καὶ τοῦ τῶν γλαύκων. καὶ Εὔβουλος δ' ἐν Τιτθαῖς φησι κτλ.* 1. *καθαρίως* A. *ἂν ᾖ* Casaub. conl. Ephipp. 15] *ἐανη* A. 2. *σηπίδια* A. 3. *μικρὰ* Schweigh.] *τὰ μικρὰ* A. *πουλύποδος* Dindf.] *πολυποδος* A. 4. *χόρια, πυόν* Casaub.] *χοριαπυον* A.

imitatus est, si quidem imitatus est, Ephippus *Ὁμοίοις* fr. 15, 3. 4. cf. etiam Nicostr. (Philet.) 6, 2. Amphid. 35. *καθαρείως* est *honeste* et *modeste*. Strab. 3, 154 *καθαρείως καὶ λιτῶς. τευθίδιον* a *τευθίς, τευθῖδος* Athen. 3, 106 c contra comicorum consuetudinem, apud quos semper *τευθίδες* et *τευθίδια* (Pherecr. 130, 10. Ephipp. 15, 4). ac fortasse Eubulus ex Ephippo emendandus *καθαρείως· ὅ τι ἂν ᾖ, ὁσίας ἕνεκ' ἀρκεῖ. τευθίδια, σηπίδια.*

111

καρῖδάς τε τῶν
κυφῶν.

Εὔβουλος Τιτθαῖς (*τηθαῖς* A). Athenaeus 3, 106 a. in poetae verbis nihil varietatis habet A.

112

ὡς γὰρ εἰσῆλθε τὰ γερόντια τότ' εἰς δόμους,
εὐθὺς ἀνεκλίνετο· παρῆν στέφανος ἐν τάχει·
ἤρετο τράπεζα. παρέκειθ' ἅμα τετριμμένη
μᾶζα χαριτοβλέφαρος.

Athenaeus 15, 685 e *Φιλόξενος ὁ διθυραμβοποιὸς ἐν τῷ ἐπιγραφομένῳ Δείπνῳ ἀρχὴν ποιεῖται τὸν στέφανον τῆς εὐωχίας... Εὔβουλος Τιτθαῖς* (post hanc vocem rasura in A) *κτλ.* 2. *στέφανος* Erfurdt Obs. 457] *ὁ στέφανος* A. 3. *ἤρετο* A. — numeri sunt paeonici.

113

μύστακα

βραχέως. Εὔβουλος Τιτθῇ. Bekk. Anecd. 108, 28. i. e. *μύστᾰκα.* cf. Strattid. 65 cum eis quae adnotavimus.

ΦΟΙΝΙΞ

114

καὶ γὰρ ὁ ταῶς διὰ τὸ σπάνιον θαυμάζεται.

Athenaeus 9, 397ab *ὅτι σπάνιος οὗτος ὁ ὄρνις δηλοῖ . . . Εὔβουλος ἐν Φοίνικι κτλ.* *ταῶς* Mein.] *ταὼς* A. Athenaei, non poetae verba esse suspicatur Naber. Mnem. nov. VIII 247.

ΧΑΡΙΤΕΣ

115

καὶ γὰρ πόσῳ κάλλιον, ἱκετεύω, τρέφειν
ἄνθρωπόν ἐστ' ἄνθρωπον, ἂν ἔχῃ βίον,
ἢ χῆνα πλατυγίζοντα καὶ κεχηνότα,
ἢ στρουθόν, ἢ πίθηκον, ἐπίβουλον κακόν.

Athenaeus 12, 519a *ἔφη Εὔβουλος ὁ κωμικὸς ἐν Χάρισιν οὕτως κτλ.* 2. *ἂν ἔχῃ βίον* om. C. — adpellatur aliquis qui aut ipse matrimonium pertinaciter aversabatur aut filio matrimonium inire non permittebat. 1. cum exclamatio sit, non interrogatio, prorsus inusitatum est *πόσῳ* pro *ὅσῳ*, ut dubitem an scribendum sit *καὶ πάτερ, ὅσῳ. ἱκετεύω* absolute, ut *ἀντιβολῶ*, Arist. Ran. 745. Eccl. 1071. Plat. com. 191. Philetaer. 7, 1. 2. *ἂν ἔχῃ, ὁ τρέφων δηλονότι.*

ΧΡΥΣΙΛΛΑ

Meretrix sine dubio intellegenda est, sed diversa ab illa, quam Teleclides commemorat fr. 17. Mein. I 367.

116. 117

κακὸς
κακῶς ἀπόλοιθ' ὅστις γυναῖκα δεύτερος
ἔγημε· τὸν γὰρ πρῶτον οὐκ ἐρῶ κακῶς·
ὁ μὲν γὰρ ἦν ἄπειρος, οἶμαι, τοῦ κακοῦ,
5 *ὁ δ' οἷον ἦν γυνὴ κακὸν πεπυσμένος*
. . . . . .
ὦ Ζεῦ πολυτίμητ', εἶτ' ἐγὼ κακῶς ποτε
ἐρῶ γυναῖκας; νὴ Δί' ἀπολοίμην ἄρα,
πάντων ἄριστον κτημάτων. εἰ δ' ἐγένετο
κακὴ γυνὴ Μήδεια, Πηνελόπη δέ γε
10 *μέγα πρᾶγμ'. ἐρεῖ τις ὡς Κλυταιμνήστρα κακή·*
Ἄλκηστιν ἀντέθηκα χρηστήν. ἀλλ' ἴσως
Φαίδραν ἐρεῖ κακῶς τις· ἀλλὰ νὴ Δία

χρηστὴ τίς ἦν μέντοι, τίς; οἴμοι δείλαιος,
ταχέως γέ μ' αἱ χρηστὰι γυναῖκες ἐπέλιπον,
15 τῶν δ' αὖ πονηρῶν ἔτι λέγειν πολλὰς ἔχω.

Athenaeus 13, 559b *Εὔβουλος δ' ἐν Χρυσίλλᾳ κακὸς — πεπυσμένος. καὶ προελθών (προσελθών A) φησιν ὦ Ζεῦ κτλ.* 2. *ἀπόλοιτο* A. *δεύτερος* Mein.] *δεύτερον* A. 5. *πεπυσμένος* Porson.] *πεπεισμένος* A. 6. *πολυτίμητε* A. *κακῶς ποτε* Iacobs. Addit. Ath. 296] *ποτε κακῶς.* 9. *Πηνελόπη δέ γε* Cobet. Mnem. V 91] *πηνελόπη δὲ* A. 10. *πρᾶγμα* A. 12. *κακήν* Mein. Anal. Ath. 257. 13. *τίς ἦν* Mein.] *τις ἦν* A, qui etiam secundo loco *τις.*

imitatus est Aristophon fr. 5. 2. *δεύτερον γαμεῖ* 'qui post prioris uxoris mortem alteram duxerit; at Eubulus' (cf. v. 4.5) 'de eo loquitur qui omnium hominum secundus uxorem duxit'. Toeppel. Progr. Neobr. 1857, 12. 8. cf. Plat. com. 98. Herodot. 5, 24. 13. cf. Arist. Nub. 787. 8. Plat. Phaedr. 340f *ὄμνυμι γάρ σοι — τίνα μέντοι, τίνα θεῶν*; de *οἴμοι δείλαιος* cf. Arist. Eq. 139 cum eis quae adnotavimus.

ΨΑΛΤΡΙΑ

118

τὰ κυλικεῖα δὲ
ἐξεῦρεν ἡμῖν.

Athenaeus 11, 460e *εἴρηται οὕτως (κυλικεῖον) ἡ τῶν ποτηρίων σκευοθήκη. Εὔβουλος . . . κἀν Ψαλτρίᾳ δὲ ἔφη κτλ.* 1. *δ'* A. — fortasse v. 2 explendus *ἐξεῦρεν ἡμῖν ὁ Σεμέλης.* sequitur enim apud Athenaeum *ἐν δὲ Σεμέλῃ* (fr. 96).

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

119

εἰσὶν ἡμῖν τῶν κεκλημένων δύο
ἐπὶ δεῖπνον ἄμαχοι, Φιλοκράτης καὶ Φιλοκράτης.
ἕνα γὰρ ἐκεῖνον ὄντα δύο λογίζομαι
μεγάλους . . . . . μᾶλλον δὲ τρεῖς.
5 *ὃν φασί ποτε κληθέντ' ἐπὶ δεῖπνον πρὸς φίλου τινὸς*
εἰπόντος αὐτῷ τοῦ φίλου, ὁπηνίκ' ἂν
εἴκοσι ποδῶν μετροῦντι τὸ στοιχεῖον ᾖ,
ἥκειν, ἕωθεν αὐτὸν εὐθὺς ἡλίου
μετρεῖν ἀνέχοντος, μακροτέρας δ' οὔσης ἔτι
10 *πλεῖν ἢ δυοῖν ποδοῖν παρεῖναι τῆς σκιᾶς,*
ἔπειτα φάναι, μικρὸν ὀψιαίτερον
δι' ἀσχολίαν ἥκειν, παρόνθ' ἅμ' ἡμέρᾳ.

Athenaeus 1, 8b *Εὔβουλος ὁ κωμικός φησί που κτλ.* 2. *καὶ*

Φιλοκράτης L] *καὶ φιλοκτήτης* BCD. 4. *μᾶλλον δὲ τρεῖς μεγάλους* Bothius. cogit. *μεγάλους ἱέρακας συμποσίων* vel tale quid. 5. *ποτε κληθέντ'* Schweigh.] *ποι κληθέντ'* BC. *πρὸς*] *ὡς* BC. *φίλου τινὸς* B] *φίλου αὐτοῦ τινος* C. *φίλου . . . . τινὸς* D. *ὃν φασι παρακληθέντ'* (sic iam VL) *ἐπὶ δεῖπνον πρός τινος | εἰπόντος αὐτῷ τῶν φίλων* Porson. *ὃν φασί ποτε κληθέντ' ἐπὶ δεῖπνον πρὸς φίλου | εἰπόντος αὐτῷ τότε μάλισθ', ὁπηνίκ' ἂν κτλ.* Herwerd. Mnem. nov. IIII 295. 11. *ἔπειτα φάναι*] *φάναι δ' ἔπειτα* Porson. [*ἔπειτα δὲ φάναι*] Dindorf., lubricam tamen emendandi operam esse in his priorum librorum corruptelis epitomes scriptoris manu multifariam vitiatorum recte monens. 12. *ἥκειν παρόνθ'* G. Hermann. De metr. 165] *παρόνθ' ἥκειν.*

1. *πάρεισιν* Iacobs. Add. Ath. 6. perperam: nondum enim adsunt qui invitati erant. conloquuntur coquus et dominus ut videntur de ingenio convivarum: duos enim esse prorsus invictos cet. itaque fortasse *ἔτ' εἰσίν.* — fuerunt permulti illis temporibus Philocratae, ex quibus quis potissimum hic exagitetur non constat. 5. *δεῖπνον* Eubulus dicit *vespertinam cenam*: ea enim erat recentiorum consuetudo. cf. Etym. m. 262, 35. Hesych. *δεῖπνον.* iam Philocrates ab amico invitatus, si viginti pedum umbra esset, eam mensuram non ad vespertinum, ut debebat, sed ad matutinum tempus referens primo mane ad cenam adfuit. cf. Fielitz. De Att. com. bip. 55. Menand. 353 Mein. — in exitu v. 5 scribendum videtur *ἐπὶ δεῖπνον, προσφόρως κτλ.*, v. 6 *τοῦ φίλου τόθ', ἡνίκ' ἂν κτλ.*, v. 11 *κᾆτ' ἀπολογεῖσθαι.*

120

ἰχθὺν δ' Ὅμηρος ἐσθίοντ' εἴρηκε ποῦ
τίνα τῶν Ἀχαιῶν; κρέα δὲ μόνον ὤπτων, ἐπεὶ
ἕψοντά γ' οὐ πεποίηκεν αὐτῶν οὐδένα.
ἀλλ' οὐδὲ μίαν ἄλλην ἑταίραν εἶδέ τις
5 *αὐτῶν, ἑαυτοὺς δ' ἔδεφον ἐνιαυτοὺς δέκα.*
πικρὰν στρατείαν δ' εἶδον, οἵτινες πόλιν
μίαν λαβόντες εὐρυπρωκτότεροι πολὺ
τῆς πόλεος ἀπεχώρησαν, ἧς εἷλον τότε.

Athenaeus 1, 25c *ὅτι δὲ καὶ ἰχθῦς ἤσθιον, Σαρπηδὼν δῆλον ποιεῖ ὁμοιῶν τὴν ἅλωσιν πανάγρου δικτύου θήρᾳ· καί τοι Εὔβουλος κατὰ τὴν κωμικὴν χάριν φησὶ παίζων κτλ.* v. 1. 2 Eustath. 1720, 30 *Εὔβουλος κωμικώτερον παίζων φησίν· ἰχθὺν — Ἀχαιῶν.* 1. *δ'* Grotius Excerpt. 659] *δὲ ποῦ γ'* VL. *δέ που* B. *δὲ ποῦ* Eust. *εἴρηκε ποῦ* Grot.] *εἴρηκε* BCD Eust. 2. *τίνα* Dindf.] *τινὰ.* 5. *αὐτῶν* om. C. *ἑαυτοὺς*] *αὐτοὺς* BCD. 6. *εἶδον*] *εἶχον* Mein., sed cf. V 83. 7. *μίαν*] *βίᾳ* Dobr. 8. *πόλεος* Dindf.] *πόλεως*, cf. Theopomp. com. 32, 3.

4. οὐδὲ μίαν ἄλλην 'ex noto usu dicendi' explicat Meinekius. at non solum ea quae attulit Iacobsius Add. Ath. 22. 3, sed omnia omnino eius usus exempla alienissima sunt. poeta scripsit ἀλλ' οὐδὲ μὰ Δία πάλιν ἑταίραν εἶδέ τις. nam postquam piscium usum carniumque elixarum heroica aetate ignotum esse docuit, etiam ἑταίρας tunc fuisse negat. πάλιν sic saepe, velut Antiphan. 144, 4. 191, 8. Menand. 295, 9 Mein.

121. 122

Α. θὲς ἑπτάκλινον. Β. ἑπτάκλινος οὑτοσί.
Α. καὶ πέντε κλίνας Σικελικάς. Β. λέγ' ἄλλο τι.
Α. Σικελικὰ προσκεφάλαια πέντε. (Β. πέντ', ἰδού.
Α. καὶ πέντε τρίποδας.) Β. τρίποδες οὗτοι πέντε σοι.
5 *Α. καὶ πέντε — Β. πεντηκοστολόγος γενήσομαι.*

Athenaeus 2, 47 f ὅτι καὶ τρίκλινοι οἶκοι καὶ τετράκλινοι καὶ κατὰ τοὺς ἑξῆς ἀριθμοὺς ἦσαν παρὰ τοῖς παλαιοῖς . . . Εὔβουλος κτλ. (v. 1—3). idem 2, 49 c Εὔβουλος τρίποδες οὗτοι πέντε — γενήσομαι. probabiliter in unum fragmentum coniunxit Meinekius. quae uncis inclusi, v. 3 ego supplevi, v. 4 Meinekius. cf. Eupolid. 149. 152. 3. 5. i. e. si totiens (deciens) quinas nescio quas res in rationem referam, πεντηκοστολόγος γενήσομαι. Phot. πεντηκοστολόγοι· τελῶναι. Μένανδρος (904 Mein.). Poll. 2, 124 δεκατηλόγους δὲ καὶ πεντηκοστηλόγους Δημοσθένης (21, 133. 34, 7. [59, 27]). Boeckh. Oec. Att.[2] I 425—432. II 352—355. εἰκοστολόγος Arist. Ran. 363.

123

Athenaeus 2, 65 e τὸ στρουθάριον παρ' ἄλλοις τε καὶ παρ' Εὐβούλῳ· περδίκια λαβὲ τέτταρ' ἢ καὶ πέντε, δασύποδας τρεῖς, στρουθάριά θ' οἷον ἐντραγεῖν, ἀκανθυλλίδας, βιττάκους, σπίνια, κερχνῆδας, τά τ' ἄλλ' ἅττ' ἂν ἐπιτύχῃς. λάβετε τέταρ' ἢ πέντε C. — nescio cur Meinekius in ed. min. de restituendis his versibus desperaverit, quod multo facilius est quam ipsi in ed. mai. successit. difficile est sententiam poetae ita interpretari, ut tibi ipse satisfacias. versus fere fuerunt hi:

περδίκια
λαβὲ (i. e. *eme*) *τέτταρ' ἢ καὶ πέντε, δασύποδας δὲ τρεῖς,*
στρουθάριά θ' οἷον ἐντραγεῖν, ἀκανθίδας
καὶ βιττάκους, σπινίδια, κερχνῆδάς τε καὶ
5 *τἄλλ', ἅττ' ἂν ἐπιτύχῃς.*

in his nihil fere mutavi praeter ἀκανθίδας, quae non raro commemorantur, et σπινίδια, quae semper sic, numquam σπίνια vocantur. nescio tamen quid sit οἷον ἐντραγεῖν, etiamsi scribi possit ὅσον ἐπεντραγεῖν. quamquam enim aviculae illis temporibus inter τραγήματα

numerabantur, tamen *ἐντραγεῖν*, cum pariter ad omnia quae commemorantur pertineat, aut primis aut extremis verbis, non mediae orationi erat inserendum. quae cum ita sint, scribo *στρουθάρια πίον', ἀτταγᾶν*, vel secundum posteriorum consuetudinem (Phoenicid. 2, 5) *ἀτταγῆν', ἀκανθίδας*. si quis autem miretur *psittacos* (*βιττάκους*) et *κερχνῆδας* emi, Ach. 875 etiam *κολοιοί* veneunt.

124. 125

Θάσιον ἢ Χῖον λαβὼν
ἢ Λέσβιον γέροντα νεκταροσταγῆ.
Β. ἄτοπον δὲ τὸν μὲν οἶνον εὐδοκιμεῖν ἀεὶ
παρὰ ταῖς ἑταίραις τὸν παλαιόν, ἄνδρα δὲ
μὴ τὸν παλαιόν, ἀλλὰ τὸν νεώτερον.

Athenaeus 1, 28 f *Εὔβουλος· Θάσιον — νεκταροσταγῆ*. idem 1, 25 f *Εὔβουλος δέ φησιν ἄτοπον δὲ κτλ. τὸ αὐτὸ δὲ καὶ Ἄλεξις* (282) *σχεδὸν ἀπαραλλάκτως, τοῦ σφόδρα μόνου κειμένου ἀντὶ τοῦ ἀεί*. Eustathius 1422, 48 *Εὔβουλος δὲ ὁ κωμικὸς παίζει οὕτως κτλ. λέγεται δὲ καὶ Ἄλεξις σχεδόν τι ἀπαραλλάκτως οὕτω γράψαι. ἄτοπόν γε* Eust. *ἀεὶ* om. Eust. — in unum fragmentum coniunxit Meinekius, meretricem cum amatore conloqui censens. 2. *νεκταροσταγῆ*, ut Aristoph. fr. 579, 5.

126

Σίκων ἐγὼ
βεβρεγμένος ἥκω καὶ κεκωθωνισμένος.
Β. πέπωκας οὗτος; Α. ναὶ μὰ Δία, πέπωκ' ἐγὼ
Μενδαῖον.

Athenaeus 1, 23 ab *Εὔβουλος κτλ.* v. 2. 3 (-*οὗτος*) Eustathius 890, 50. Cramer. Anecd. Paris. IIII 247, 10 *βεβρεγμένος ἥκει, ὥς φησιν Εὔβουλος. ναὶ μὰ Δία πέπωκ' ἐγὼ* Hanov. Exerc. crit. 45] *πέπωκ' ἐγὼ μα Δία. Sicon* et servorum et liberorum hominum nomen est. in nova comoedia *prodigum* significare Meinekius demonstrat conl. Themist. 34 p. 462 Dindf. (*πλέον διδοὺς ἢ ὅσον τις ἤτησε*) *τίνα Σίκωνα οὐκ ἀποφαίνει Σμικρίνην*; de vino *Mendaeo* cf. Cratin. 183.

127

γύναι,
ῥάφανόν με νομίσασ' εἰς ἐμὲ σὺ τὴν κραιπάλην
μέλλεις ἀφεῖναι πᾶσαν, ὡς ἐμοὶ δοκεῖς.

Athenaeus 1, 34 d *Εὔβουλος δέ πού φησι κτλ.* 2. *σὺ*] *σου* Dobr. — 'mulier vini iraeque plena cum vehementer invecta esset in hominem nescio quem, ille *videris* inquit *me pro brassica habere*,

in quam omnem tuam effundas crapulam. brassica enim crapulam diluere existimabatur'. Iacobs. Add. Ath. 30. cf. Anaxandr. 58. Amphid. 37. Alexid. 286.

128

κόκκον λαβοῦσα κνίδιον ἢ τοῦ πεπέριδος
τρίψασ' ὁμοῦ σμύρνῃ διάπαττε τὴν ὁδόν.

Athenaeus 2, 66 d *εἰς τὸ πρόπομα καὶ ταῦτα ἐνεβάλλοντο, πέπερι, φυλλίς, σμύρνα, κύπειρον, μύρον Αἰγύπτιον . . . Εὔβουλος κτλ.* Cramer. Anecd. Ox. IIII 338, 10 *τὸ δὲ πεπέριδος Εὔβουλος εἶπε.* 1. *κνίδιον* VL] *κνίδειον* BCD. *ἢ τοῦ*] *ἤ τοι* Mein. *πεπέριος* L. 2. *διάπαττε* L] *διαπάτει* V. *τὴν ὁδόν* suspectum Meinekio. *τήνδ' ὅλην* Herwerd. Obs. crit. 60, quod minime aptum, quia maxima pars vasis *vino* sine dubio explenda est. fort. *τὴν πρόχουν.* — granum cnidium non a Cnido, sed ab *urtica* (*κνίδη*) nomen accepisse sententia est Schweighaeuseri, nequaquam tamen necessaria. Theophr. H. pl. 9, 20, 2 *ὁ κνίδιος κόκκος στρογγύλον ἐρυθρὸν τῇ χροιᾷ, μεῖζον δὲ τοῦ πεπέριος, ἰσχυρότερον δὲ πολὺ τῇ θερμότητι, δι' ὃ καὶ ὅταν διδῶσι κατάποτον, διδόασι γὰρ πρὸς κοιλίας λύσιν, ἐν ἄρτῳ ἢ στέατι περιπλάττοντες.* cf. Plin. N. h. 13, 114 (*granum Cnidium*). 27, 70. apud Eubulum ad *πρόπομα* adhiberi testatur Athenaeus.

129

πολλοί, φυγόντες δεσπότας, ἐλεύθεροι
ὄντες πάλιν ζητοῦσι τὴν αὐτὴν φάτνην.

Stobaeus Floril. 62, 32 *Εὐβούλου* A. tropice haec de cupiditatibus tamquam dominis hominum videntur dicta esse.

130

αὐτοῖς δὲ τοῖς θεοῖσι τὴν κέρκον μόνην
καὶ μηρὸν ὥσπερ παιδερασταῖς θύετε.

Clemens Alex. Strom. 7, 6, 30 *Εὔβουλος δὲ ὁ καὶ αὐτὸς κωμικὸς ὧδέ πως περὶ τῶν θυσιῶν γράφει κτλ.* 2. *μηρί'* Cobet. N. l. 138 conl. fr. 95.

131

ὁ Λευκάδιος πάρεστι καὶ μιλίττιος
οἰνίσκος οὔπω πότιμος.

Athenaeus 1, 29 a *Εὔβουλος κτλ.* 1. *Μιλήσιος* L. 2. *οὔπω* L] *οὔτω* BC. *οὐ Λευκ. γάρ ἐστι* Mein. in Athen.

Milesium vinum nusquam commemorari adnotavit Meinekius. *οἰνίσκος*, ut Cratin. 183. scribendum est *Λ. οὐ Λευκάδιος γάρ*

ἐστι; (hoc vinum nonne Leucadium est?) *Β. ναί, μελίττιον, οἰνίσκος οὔπω πότιμος. μελίττιον* Arist. Vesp. 367. atque etiam nomen proprium est *Μελίττιον*.

132

Athenaeus 1, 28c *Εὔβουλος δέ φησι Κνίδια κεράμια, Σικελικὰ βατάνια, Μεγαρικὰ πιθάκνια. κεράμια* L] *κεράμεια* BC. *βοτάνια* C. — *Μεγαρικὰ πιθάκνια* 'amphorae species fuit. Schol. Arist. Nub. 1204 et Odyss. 2, 90'. Mein. tantam brevium syllabarum multitudinem a poeta congestam esse vix crediderim. fort. scribendum *Κνίδια κεράμια καὶ Σικελικὰ βατάνια*, | *Μεγαρικὰ δ' αὖ πιθάκνια*.

133

καὶ μὴν οἴκαδε
πολλοστιαῖος ἀποτρέχω, γύναι.

Cramer. Anecd. Oxon. I 369, 1 *τριακοστὸς τριακοσταῖος. οὕτως καὶ παρὰ τὸ πολλός πολλοστός καὶ πολλοσταῖος, παρὰ Εὐβούλῳ κτλ. οἴκαδε πολλοστιαῖος* Nauck.] *οἴκαδε τι πολλοσταῖος. γύναι*] *γῦναι*.

134

ταῖς ξυστίσιν ταῖς χρυσοπάστοις στόρνυται.

Pollux 6, 10 *ξυστίδες χρυσόπαστοι, ὡς Εὔβουλος κτλ. στόρνυται, ἡ κοίτη δηλονότι.*

135

Athenaeus 2, 43f *Εὔβουλος εὑρετικούς φησι τὸ ὕδωρ ποιεῖν τοὺς πίνοντας αὐτὸ μόνον, τὸν δ' οἶνον ἡμῶν τῷ φρονεῖν ἐπισκοτεῖν. τὰ αὐτὰ δ' ἰαμβεῖα καὶ Ὠφελίων φησί.* Ὠφελίων Porson. Misc. Kidd. 233] *ὀφελῖ* ms. a Porsono commemoratus. *ὠφελίτας* B. *ὁ Φιλητᾶς* ceteri. haec verba cum Athenaeus et apud Eubulum et apud Ophelionem inveniri testetur, non inter *ἀμφισβητήσιμα* referenda, sed utrique poetae tribuenda erant. versus ita fere restitui possunt

ποιεῖ τε τοὺς πίνοντας εὑρετικοὺς μόνον,
ὁ δ' οἶνος ἡμῶν τῷ φρονεῖν ἐπισκοτεῖ.

Plin. N. h. 23, 42 *in proverbium cessit sapientiam vino obumbrari.*

136

ἐγὼ ποιήσω πάντα κατὰ Νικόστρατον.

Zenob. Milleri (Mélanges p. 353) *εἴρηται ἡ παροιμία παρ' Εὐβούλῳ τῷ τῆς μέσης κωμῳδίας ποιητῇ. ἦν δὲ ὁ Νικόστρατος ὑποκριτὴς τραγικὸς δοκῶν καλλίστους* (*κάλλιστα* Miller) *ἀγγέλους εἰρηκέναι.* cf. Append. prov. Leutsch. 2, 9a. Macar. 3, 46.

Suidas ἐγὼ ποιήσω, qui perperam ut videtur *comicum* fuisse actorem narrat. Meinekius I 347 eum ante Ol. 90 fuisse docet.

137

φηγούς, κάρυα Καρύστια

Athenaeus 2, 52 b Εὔβουλος κτλ.

138

οἶνον γάρ με ψίθιον γεύσας
ἡδὺν ἄκρατον, διψῶντα λαβὼν
ὄξει παίει πρὸς τὰ στήθη.

Athenaeus 1, 28 f μέμνηται δὲ οὗτος (Εὔβουλος) καὶ ψιθίου οἴνου κτλ. cf. Anaxandr. 71. 'cum Psithium vinum mihi degustandum dederit, nunc sitientem videns acetum, i. e. vile vinum, mihi infundit'. Mein. conl. Theopomp. com. 65. — παίει, ut κροῦε 49.

139

οὗτοι ἀνιπτόποδες χαμαιευνάδες ἀερίοικοι,
ἀνόσιοι λάρυγγες,
ἀλλοτρίων κτεάνων παραδειπνίδες, ὦ λοπαδάγχαι
λευκῶν ὑπογαστριδίων.

Athenaens 3, 113 f οὗτοι ἀνιπτόποδες χαμαιευνάδες ἀερίοικοι, κατὰ τὸν κωμικὸν Εὔβουλον, ἀνόσιοι λάρυγγες, ἀλλοτρίων κτεάνων παραδειπνίδες, οὐχ ὁ προπάτωρ ὑμῶν Διογένης ... ἔλεγεν ἄρτον ἐσθίειν καλῶς πεποιημένον; ὑμεῖς δ' ὦ λοπαδάγχναι, κατὰ τὸν αὐτὸν ποιητὴν Εὔβουλον, λευκῶν ὑπογαστριδίων, ἑτέροις οὐ παραχωροῦντες φθέγγεσθαι τὰς ἡσυχίας οὐκ ἄγετε. v. 1—3 (ἀνιπτόποδες — παραδειπνίδες) Eustathius 1058, 12 φέρεται γοῦν Εὐβούλου περὶ φιλοσόφων τὸ κτλ. 3. παραδειπνίδαι Mein. ed. mai. conl. Lobeck. Soph. Ai. 880. λοπαδάγχαι Dalecamp.] λοπαδάγχναι. 4. τῶν λευκῶν Mein. ed. mai. λευκαυγῶν Herwerd. Nov. add. crit. 25. deinde 'fort. ὑπογαστρίων' Mein.

metrum cum idem sit atque fr. 35, Meinekius ad *Echo* fabulam hos versns refert. ἀνιπτόποδες, χαμαιεῦναι Selli dicuntur Hom. Il. 16, 235. apud Eubulum *cynici* his verbis significantur in summa simplicitatis specie voracissimi; χαμαιευνάδες autem pro χαμαιεῦναι eo consilio, quo apud Homerum Ἀχαιΐδες, οὐκέτ' Ἀχαιοί. — versus quarti, qui in fr. 35 deest, neqne de metro neque de verbis constat.

140

προανάσυρμα παρθένου

Εὔβουλος ὁ κωμικὸς τὸ λαθρίδιον γέννημα .. καταγελάστως ὠνό-

μασεν. Pollux 3, 21. *ἀνασύρεσθαι* obscaena significatione Bekker. Anecd. 399, 8 *ἀνερύσατο* (Mein. *ἀνεσύρατο*)· *ἐγύμνωσεν.* Hesych. *ἀνασῦραι· ἀποκαλύψαι. ἀνεσύρατο· ἄνω τὰ ἱμάτια ἔσυρεν.*

141

ἀπορησία

ἀντὶ τοῦ ἀπορία. οὕτως Εὔβουλος. Bekker. Anecd. 433, 32. Suidas. cf. Lobeck. Phryn. 514.

142

γλωττοκομεῖον

εἴρηται καὶ τὸ γυναικεῖον αἰδοῖον ὑπὸ Εὐβούλου φοινικιστὴν σκώπτοντος. Etymol. m. 235, 46. Hesych. *γλωττοκομεῖον...καὶ τὸ γυναικεῖον αἰδοῖον. φοινικισταί* sunt homines foede inpudici. Schol. Arist. Pac. 883 *λείκτης διεβάλλετο ὁ Ἀριφράδης... ὡς φοινικιστὴς γὰρ λοιδορεῖται.* Hesych. *σκύλαξ· σχῆμα ἀφροδισιακόν, ὡς τὸ τῶν φοινικιζόντων.* Lucian. Pseudolog. 28 *ἐπειδὰν κἀκεῖνα λέγωσιν οἱ πολλοί, λεσβιάζειν σε καὶ φοινικίζειν.*

143

δεδιυῖα

Bekker. Anecd. 90, 1 *δεδιὼς ὄντος* (*ὄντως* cod.) *τοῦ ἀρσενικοῦ, δεδιυῖα τὸ θηλυκόν. Εὔβουλος.*

144

εὐκερματεῖν

Εὔβουλός που κέχρηται τῷ ὀνόματι. Photius. *nummis bene instructum esse.*

145

ἱστόπους

ὡς Εὔβουλος λέγει. καὶ κελέοντες δὲ οἱ ἱστόποδες καλοῦνται. Pollux 7, 36.

146

νωδός

ὁ ὀδόντα μὴ ἔχων, ὡς Εὔβουλος λέγει καὶ Φρύνιχος ὁ κωμικός (79). Pollux 2, 96. cf. quae ad Eupol. 281 adnotavimus.

147

σικύαν

τὴν τῶν ἰατρῶν. οὕτως Εὔβουλος. Photius. cf. Antiphan. 208.

148

Στήνια

ἑορτὴ Ἀθήνησιν, ἐν ᾗ ἐδόκει ἡ ἄνοδος γενέσθαι τῆς Δήμητρος. ἐλοιδοροῦντο δ' ἐν αὐτῇ νυκτὸς αἱ γυναῖκες ἀλλήλαις. οὕτως

Εὔβουλος. Photius. cf. Schoemann. Ant. gr.[2] II 461. Preller, Demet. u. Pers. 339.

149

τοκάδα

Εὔβουλος τὸ κηρύκειον, ἢ τὴν μάχαιραν. λεγόμενόν τι. Photius et Etymol. m. 761, 37. recte distinxisse videntur Dobraeus Adv. I 610 et Meinekius hunc in modum: *τοκάδα· [τὴν γεννῶσαν]. Εὔβουλος.* (Suidas *τοκάς· ἡ γεννῶσα.*) *τὸ κηρύκειον ἢ τὴν μάχαιραν. λεγόμενόν τι.*

ΑΜΦΙΣΒΗΤΗΣΙΜΑ

150

Ἀμφιδρομίων ὄντων, ἐν οἷς νομίζεται
ὀπτᾶν τε τυροῦ Χερρονησίτου τόμον,
ἕψειν τ' ἐλαίῳ ῥάφανον ἠγλαϊσμένην,
πνίγειν τε παχέων ἀρνίων στηθύνια,
5 *τίλλειν τε φάττας καὶ κίχλας ὁμοῦ σπίνοις,*
ὁμοῦ τε χυαύειν μαινίσιν σηπίδια,
πιλοῦν τε πολλὰς πλεκτάνας ἐπιστρεφῶς,
πίνειν τε πολλὰς κύλικας εὐζωρεστέρας.

Athenaeus 2, 65 c *σπίνοι. Εὔβουλος κτλ.* cf. 9, 370 d. 1. *νομίζεται* L] *νομίζηται* B. *ὀνομάζεται* V. 2. *τυροὺς* A 370. *Χερρονν.* BC. *τόμον*] *τόμους* A 370. 4. *ἀρνιῶν* A 370. 6. *ὁμοῦ*] *κοινῇ* A 370. *μαινίσιν*] *τευθίσιν* A 370. 7. *πιλεῖν* et *ἐπιστρόφως* A 370. 8. *εὐζωρεστέρους* LV 65.

in epitome haec Eubulo adsignantur; at cum Athenaeus ipse 9, 370 d eosdem versus duobus aliis auctos ex Ephippi Geryone (fr. 3) excerptos commemoret, scriptori ipsi plus fidei habendum videtur quam epitomes auctori. poterat sane etiam Ephippus ab Eubulo mutuari. — de *Amphidromiis* cf. Schoemann. Ant. gr.[2] II 537. 7. cf. Aristoph. fr. 191. Bekker. Anecd. 293, 10 *αἱ πλεκτάναι τοῦ πολύποδος οἱ λεγόμενοι ἱμάντες, οὓς εἴωθεν ἀποτείνειν.* polypos autem et sepias Amphidromiis ab amicis donari solitas narrat Suidas *ἀμφιδρόμια.*

151

ἐπεὶ δὲ σηκῶν περιβολὰς ἠμείψαμεν,
ὕδωρ τε ποταμοῦ σῶμα διεπεράσαμεν,
[καὶ] ἡμῶν δὲ πᾶσα δύναμις ὑδάτων ἄρδεται.

Athenaeus 2, 43 c *τὸ ὕδωρ ποταμοῦ σῶμά φησί που Εὔβουλος ὁ κωμῳδιοποιὸς εἰρηκέναι Χαιρήμονα τὸν τραγικόν κτλ.* v. 1. 2 Eustathius 1545, 50. 3. *ὑδ.* Schweigh.] *ἐξ ὑδ.* — Chaeremonis esse duo versus priores, tertium Eubuli, *ἡμῶν δὲ κτλ*, Dindorfii est sen-

tentia. 'Eubuli locum, in quo ipsum illud *ποταμοῦ σῶμα* riserat, excidisse', tertium autem versum neque Chaeremonis neque Eubuli esse suspicatur Meinekius.

152

Cf. Eupolidis fr. 136.

153

Hygin. Astron. 29 *Eubulus autem Cecropem demonstrat esse* (aquarium), *antiquitatem generis commemorans et ostendens antequam vinum traditum sit hominibus, aqua in sacrificiis deorum usos esse, et ante Cecropem regnasse quam vinum sit inventum.* num comicus Eubulus significetur incertum est.

154

Schol. Ven. Hom. Π. 22, 162 *περὶ τέρματα· ἀντὶ τοῦ διὰ τὰ τέρματα. εἰς γὰρ τούτους τὸ τέλος τῆς νίκης ἀπόκειται, ἐπεὶ εἰ περὶ τὰ τέρματα δραμοῦσιν, εὐφυῶς κάμπτειν οὐ δύνανται. οὕτως Εὔβουλος.* hic quoque quis Eubulus intellegatur dubium est.

ΦΙΛΙΠΠΟΣ

Meinekius I 340—343.

ΑΔΗΛΟΥ ΔΡΑΜΑΤΟΣ

ἀποσιμῶσαι

τὸ ἐπικῦψαι καὶ τὴν πυγὴν προτεῖναι γυμνήν. Φίλιππος. Suidas et omisso Philippi nomine Bekker. Anecd. 434, 22. Erotian. 93, 2 Klein. *λορδότατον· τὸ ἀποσεσιμωμένον καὶ ἐναντίον τῷ κυρτῷ λορδὸν καλεῖται, ὃ δὴ καὶ κυφὸν καλεῖ.* indicavit H. Iacobi Mein. ed. min. XVI. cum Erotiano fere consentit Photius *λορδόν*.

ΑΡΑΡΩΣ

Mein. I 343—346.

ΑΔΩΝΙΣ

1

ὁ γὰρ θεὸς τὸ ῥύγχος ὡς ἡμᾶς στρέφει.

Athenaeus 3, 95e *καὶ Ἀραρὼς Ἀδώνιδι κτλ.* Bekker. Anecd. 113, 9 *ῥύγχος· τὸ πρόσωπον. Ἀραρὼς κτλ. εἰς ἡμᾶς τρέφει* cod.

Bekk. — fortasse significatur Mars in aprum mutatus. Mein. I 344. Preller. Myth. gr.[2] I 272. 3.

2

ἄλλος ἄλλον παρεκάλει

ἀντὶ τοῦ ἀλλήλους. Ἀραρὼς Ἀδώνιδι. Bekker. Anecd. 81, 8. ibid. 379, 9 *ἄλλος ἄλλον· ἀντὶ τοῦ ἀλλήλους.*

3

κολοβωθῆναι

Ἀραρὼς Ἀδώνιδι. Bekker. Anecd. 104, 3.

ΚΑΙΝΕΥΣ

Cf. Antiphanis *Caeneus* et Mein. I 344. 5.

4

παρθένος δ' εἶναι δοκεῖ
φορῶν κροσωτοὺς καὶ γυναικείαν στολήν.

Pollux 7, 65 (*οἱ θύσανοι*) *καὶ κροσσοὶ δοκοῖεν ἂν ὠνομάσθαι Ἀραρότος εἰπόντος ἐν Καινεῖ κτλ. ἔνιοι γὰρ οὕτω γράφουσιν ἀντὶ τοῦ κροκωτούς.* Pollucem *κροσ(σ)ωτούς* scripsisse manifestum est. poetam *κροκωτούς* dedisse censet Meinekius, *κροσός* Atticis abiudicans. — Caenei anceps inter marem feminamque species designari videtur.

5

ἡ σὴ θυγάτηρ, ὅτ' ἐκεῖνος αὐτὴν ἐπελέκα.

Bekker. Anecd. 112, 18 *πελεκᾶν· εὕρηται καὶ ἐπὶ τοῦ κακεμφάτου. Ἀραρὼς Καινεῖ κτλ.* *αὐτὴν* Bekker.] *αὐτὸν* cod. — si filia quae commemoratur Caenis est, Neptunus est qui eam dicitur *πελεκῆσαι*, adpellatur autem Elatus, Caenidis pater. Preller. Myth. gr.[2] II 11.

6

ἀνεμιαῖον ᾠόν

Ἀραρὼς Καινεῖ. Bekker. Anecd. 81, 32. *ὑπηνέμια* dicuntur Arist. Av. 695. fr. 186. Plat. com. 19.

7

θυγατριδεῖν

ἀντὶ τοῦ θυγατέρα καλεῖν. Ἀραρὼς Καινεῖ. Bekker. Anecd. 99, 30. Meinekius *θυγατρίζειν.* potius *θυγατερίζειν*, ut *πατερίζειν* Arist. Vesp. 652. *παππίζειν* vel *παππάζειν* Vesp. 609. *ἀδελφίζειν* Apolloph. 4. *καρδαμίζειν* Arist. Thesm. 617.

ΚΑΜΠΥΛΙΩΝ

Cf. quae ad Eubuli *Campylionem* adnotantur.

8

τὰ κομψὰ μὲν δὴ ταῦτα νωγαλεύματα,
κόγχαι τε καὶ σωλῆνες, αἵ τε καμπύλαι
καρῖδες ἐξήλλοντο δελφίνων δίκην
εἰς σχοινόπλεκτον ἄγγος.

v. 1 Athenaeus 2, 47 d *νωγαλεύματα ἐκάλουν τὰ ἡδέα βρώματα. Ἀραρώς κτλ.* v. 1—3 Athenaeus 3, 86 d *Ἀραρὼς Καμπυλίωνί φησιν κτλ.* v. 2—4 Athenaeus 3, 105 e *ἐκτεταμένως δ' εἴρηκε καρῖδα Ἀραρὼς ἐν Καμπυλίωνι αἵ τε καμπύλαι — ἄγγος.* v. 1—3 (*καρῖδες*) Phot. *νωταλεύματα* (sic)· *Ἀραρὼς Καμπυλίωνι κτλ.* v. 3. 4 sine auctoris fabulaeve nomine Eustathius 1220, 54. 1. *μὲν* om. A 86 et Phot., add. C. *δὴ*] *δῆτα* Porson. in Phot. *νενωγάλισται* Eubul. 15, 7.

9

βαυκά, μαλακά, τερπνά, τρυφερά

Aspasius Aristot. Eth. Nicom. 4, 58 Ald. *βαυκὸν ἔλεγον οἱ παλαιοὶ τὸν τρυφερόν, ὡς ὁ ποιητὴς Ἀραρὼς ἐν Καμπυλίωνι κτλ.*

10

ἀναλοῦν

ἀναλίσκειν. Ἀραρὼς Καμπυλίωνι. Bekker. Anecd. 83, 16. cf. Aristoph. fr. 220.

11

ἀριστῆσαι

Ἀραρὼς Καμπυλίωνι. Bekker. Anecd. 444, 14.

12

θεώσειν καὶ θεῶσαι

κατ' ἔνδειαν τοῦ ι, τὸ περιενεγκεῖν θεῖον καὶ καθῆραι· Ἀραρὼς Καμπυλίωνι. Bekker. Anecd. 99, 32. cf. Lysipp. 4.

Reliqua fragmenta exscripsimus in Eubuli *Campylione.*

ΠΑΝΟΣ ΓΟΝΑΙ

Cf. Mein. I 282.

13

ἁρπάσας μόναυλον εὐθύς, πῶς δοκεῖς;
κούφως ἀνήλλετο.

Athenaeus 4, 175 f *Ἀραρὼς δ' ἐν Πανὸς γοναῖς κτλ.* 1. *ὁ δ' ἁρπάσας* Valeken. Eurip. Hipp. 446. *ἀναρπάσας* Mein. possunt tamen etiam dimetri iambici esse ... *ἁρπάσας* | *κτλ.* describitur Pan recens natus statim naturam suam et ingenium aperiens.

14

ἄθικτος

ἡ παρθένος. Ἀραρὼς Πανὸς γοναῖς. Bekker. Anecd. 82, 8.

15

λαμπρόψυχος

ἀντὶ τοῦ μεγαλόψυχος. Ἀραρὼς Πανὸς γοναῖς. Bekker. Anecd. 106, 6.

ΥΜΕΝΑΙΟΣ

'Titulus fabulae sitne ad nuptiale carmen in fabula cantatum an ad mythicum illum Hymenaeum referendus definire non ausim. in nuptiis celebrandis versatam esse fabulam docet fr. 17.' Mein. I 345.

16

οὐκ ἔσθ' ὅπως οὐκ εἶ παράσιτος, φίλτατε·
ὁ δ' Ἰσχόμαχος ὁδὶ τρέφων σε τυγχάνει.

Athenaeus 6, 237 a *τοῦ ὀνόματος τοῦ παρασίτου μνημονεύει Ἀραρὼς ἐν Ὑμεναίῳ* (*ἐνμεναιω* A) *διὰ τούτων κτλ.* 2. *ὁδὶ τρέφων* Botbius] *ὁ διατρέφων* A, puncto addito supra *α*, Cobeto teste N. l. 139. quamquam nihil eiusmodi adnotavit Kaibelius. *Ischomachus* idemne sit cum eo quem in Oeconomico Xenophon cum Socrate conloquentem facit nescio. *Χαρίδημος ὁ Ἰσχομάχου υἱός* commemoratur [Demosth.] 58, 30.

17

ὅπως δὲ τὴν νύμφην, ἐπειδὰν καιρὸς ᾖ,
μετέωρον ἐπὶ τὸ ζεῦγος ἀναθήσεις φέρων.

Suidas *ἀναθεῖναι καὶ ἐπαναθεῖναι τὸ αὐτό. Ἀραρὼς Ὑμεναίῳ κτλ.* 1. *ἐπειδὰν* Kusterus] *ἐὰν.* cf. Cobet. N. l. 139. 2. *ἀναθήσεις φέρων* Toupius I 44] *ἀναθήσει συμφέρειν.* sunt verba sponsi *πάροχον* quid vesperi sit faciendum admonentis.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

18

ἔργον δουλικόν

Ἀραρώς. Pollux 3, 75. indicavit H. Iacobi Mein. ed. min. XVI.

19

ἕωθας

Ἀραρώς. Photius et Suidas *ἑωθώς*. cf. Archipp. 48.

20

κοκκυμηλέαν, κοκκύμηλον

Athenaeus 2, 50b *Ἀραρὼς δὲ κοκκυμηλέαν καλεῖ τὸ δένδρον, κοκκύμηλον δὲ τὸ ἀκρόδρυον. κοκκυμηλίαν* BCD. Pollux 1, 232 *κοκκύμηλον μὲν οὐδετέρως ὁ καρπός, ἀρσενικῶς δὲ τὸ δένδρον καλεῖ ἡ μέση κωμῳδία, ὁ κοκκύμηλος*. unde Casaubonus in Athenaeo *τὸν κοκκύμηλον* pro *κοκκυμηλέαν*. at arborum frugiferarum nomina maximam partem in *έα* (*ῆ*) desinunt.

21

χορτάζεσθαι

Ἀραρώς. Pollux 6, 43. cf. Eubul. 7, 5. 30, 1.

ΝΙΚΟΣΤΡΑΤΟΣ

Meinekius I 346sq. Schol. Plat. 331 Bekker. *καὶ τρίτον (Ἀριστοφάνης ἔσχεν υἱόν), ὃν Ἀπολλόδωρος μὲν Νικόστρατον καλεῖ, οἱ δὲ περὶ Δικαίαρχον Φιλέταιρον*. unde miro errore Porsonus unum eundemque hominem fuisse Nicostratum et Philetaerum coniecit, probato tamen a Walpolio Com. gr. fr. p. 99 et Clintono Praef. Fast. Hell. XLV Krueg. scilicet nihil aliud scholiasta significare voluit, quam Nicostratum ab Apollodoro tertium (Philetaerum secundum), a Dicaearcho secundum (Philetaerum tertium) Aristophanis filium dici. cf. Mein. III 278.

ΑΒΡΑ

1

πίναξ ὁ πρῶτος τῶν μεγάλων ἡγήσεται,
ἔχων ἐχῖνον, ὠμοτάριχον, κάππαριν,
θρυμματίδα, τέμαχος, βολβὸν ἐν ὑποτρίμματι.

Athenaeus 4, 133c *Νικόστρατος ἐν Ἄβρᾳ κτλ.* exponit ero coquus, quem cenae ordinem instituere velit. 1. *μεγάλων*] τελετῶν? quod cum ironia accipiendum. nam *ὠμοτάριχος*, *crudum salsamentum*, non coctum aut assatum, *vilis* cibus est. Dioscor. 2, 33 *ὁ δὲ ὠμοτάριχος σάρξ ἐστι θύννου τεταριχευμένου*. cf. Alexid.

15, 4. Archestr. Athen. 4, 135 a *ὠμοτάριχον ἐῶ χαίρειν, Φοινίκιον ὄψον.*' Mein.

2

ταῦτ' ἀξιῶ·
εἶτ' ὀρνιθάριον, τὸ περιστέριον, τὸ γαστρίον.

Athenaeus 14, 654 b *περιστέριον οὕτως ... Νικόστρατος Ἅβρᾳ κτλ.* 2. *περιστεριον* sine accentu A. *ἀξιοῖ· τουρνιθάριον* Dindf. *ἄξι' ἦν· τοῦρν.* (*modico pretio venibant*) Dobr. Adv. II 349. *ἀξιῶ* (*haec probo*) retinendum arbitror: nam videtur domina servulam docere, quomodo deminutivis utatur elegantiorum hominum sermo. cf. Arist. Nub. 661. 680. 684. 6.

ΑΝΤΕΡΩΣΑ

3

μετανιπτρίδ' αὐτῷ τῆς ὑγιείας ἔγχεον.

Athenaeus 11, 487 b *Νικόστρατος Ἀντερώσῃ κτλ.* cf. Calliae fr. 6. Philetaer. 1. *ἔγχεον* imperativus est aor., quod moneo propter Bothium. cum eundem versum plus tribus aliis auctum Athenaeus 15, 693 a ex Pandroso Nicostrati (fr. 19), quae bis praeterea commemoratur, adferat, mihi quidem *Ἀντερῶσα* nihil nisi corruptela videtur esse tituli *Πάνδροσος.*

ΑΝΤΥΛΛΟΣ

Etiam Philetaero tribuebatur. est autem *Ἄντυλλος* deminutivum (ab *Ἀντικλῆς*), ut *Θράσυλλος*, *Ἀρίστυλλος* (Mein. I 347 sq.), *Ἥρυλλος* al. — fuit Isocratis (15, 93 sq.) discipulus *Anticles,* alius archon Ol. 113, 3. Diodor. 17, 110. et plures alii praeterea.

4. 5

Βυζάντιόν τε τέμαχος ἐπιβακχευσάτω,
Γαδειρικόν θ' ὑπογάστριον παρεισίτω.

. . . . . .

ἀλλ' ἐπριάμην παρ' ἀνδρός, ὦ γῆ καὶ θεοί,
ταριχοπώλου πάνυ καλοῦ τε κἀγαθοῦ
5 *τιλτὸν μέγιστον, ἄξιον δραχμῆς, δυοῖν*
ὀβολοῖν, ὃν οὐκ ἂν καταφάγοιμεν ἡμερῶν
τριῶν ἤδη κατεσθίοντες οὐ δεδωκά γε·
ὑπερμέγεθες γάρ ἐστι.

Athenaeus 3, 118 e *Νικόστρατος ἢ Φιλέταιρος ἐν Ἀντύλλῳ Βυζάντιον — παρεισίτω. καὶ προελθών· ἀλλ' κτλ.* 1. *τε* add. Schweighaeuser. mihi *τι* etiam melius videtur. 2. *τε* et *παρεισίτωι* A.

3. *παρὰ* et 4. *καὶ ἀγ.* A. 5. *τιλιτον* A. 6. *ὅ γ' οὐκ* Casaub. 7. sic A. *τριῶν κατεσθίοντες οὐδὲ δώδεκα* (ac *δώδεκά γε* PB) Porson. Adv. 67. *νὴ Δία* (pot. *μὰ Δ.*) *τριῶν κτλ.* Mein. *τριῶν κατεσθίοντες ὄντες δώδεκα* Cobet. N. l. 37 conl. Hermipp. 45, 3. Arist. Vesp. 693. fort. *τριῶν ἑδεστὰς ἑστιῶντες δώδεκα.* cf. Antiphan. 26, 15. Herodot. 3, 99.

de salsamento *Gaditano* cf. Eupol. 186. Antiphan. 77, de *τιλτῷ* Plat. com. 193. est '*desquamatum*'. Mein. Hesych. *τιλτόν· εἶδος ταριχίου.*

6

τί οὖν ἀγοράζω; φράζε γάρ.
Β. μὴ πολυτελῶς, ἀλλὰ καθαρείως, δασύποδα,
ἐὰν περιτύχῃς, ἀγόρασον καὶ νηττία,
ὁπόσα σὺ βούλει, καὶ κίχλας καὶ κοψίχους,
ὀρνιθάριά τε τῶν ἀγρίων τούτων συχνά·
χάριεν γάρ.

Athenaeus 2, 65 d *Νικόστρατος ἢ Φιλέταιρος κτλ.* ad *Antyllum* rettulit Mein. I 347. 1. *ἀγορόσω* Dobr. 6. *χάριεν γάρ* Casaub.] *χαίρειν γάρ* cod. Steph. ap. Casaub. *χαίρειν* BCD. cf. Eubul. 110.

7

οὔποτ' αὖθις
σηπίαν ἀπὸ τηγάνου
τολμήσαιμι φαγεῖν μόνος.

Athenaeus 3, 108 c *ἥσθιον δὲ καὶ ταγηνιστὰς σηπίας. Νικόστρατος ἢ Φιλέταιρος ἐν Ἀντύλλῳ φησίν κτλ.* 1. *οὔποτ' ἂν αὖθις αὖ* Porson. *οὐδέποτ' αὖθις ἂν* Mein. 2. *σηπίας — μένος* idem Anal. Ath. 49. infeliciter Bernhardyus Eratosth. p. 142 trimetros restituere conatus est. versus ut supra factum est distinxit Seidler. V. d. 110.

ΑΠΕΛΑΥΝΟΜΕΝΟΣ

Amatorem dici existimo a puella exclusum.

8

εὖ γ' ἄνδρες, εὖ σφόδρ'· ἀλλὰ μὴν τῇ ματτύῃ
οὕτω διαθήσω τὰ μετὰ ταῦθ', ὥστ' οἴομαι
οὐδ' αὐτὸν ἡμῖν τοῦτον ἀντερεῖν ἔτι.

Athenaeus 14, 664 bc *ὅτι δὲ ὕστατον καὶ ἐπὶ πᾶσιν εἰσεφέρετο* (*ματτύη*), *Νικόστρατός φησιν ἐν Ἀπελαυνομένῳ. μάγειρος*

δ' ἐστὶν ὁ διηγούμενος ὡς λαμπρὰν καὶ εὔτακτον παρεσκεύασεν εὐωχίαν, προδιηγησάμενός τε οἷον ἦν τὸ ἄριστον καὶ τὸ δεῖπνον καὶ τρίτης μνησθεὶς παραθέσεως ἐπιφέρει κτλ. 1. *εὖ γετ'* et *σφόδρα* A. *εὖ γ'* Casaub. — de *mattya* cf. Arist. Nub. 451. Athen. 4, 141e *ἔστι δ' ἡ ματτύη φάτται, χῆνες, τρυγόνες, κίχλαι, κόσσυφοι, λαγῴ, ἄρνες, ἔριφοι.* 2. *διαθήσω*, i. e. *ὑμᾶς* vel *αὐτούς.* 3. scribendum est *οὐδ' αὐτὸν ἡμῖν Μῶμον ἀντερεῖν.* nam Arist. Eccl. 570 *ὥστε ... καὶ τοῦτον αὐτὸν μηδὲν ἀντειπεῖν ἐμοί* exemplum est in summa similitudinis specie dissimile. Plat. Reip. 6, 487a *οὐδ' ἂν ὁ Μῶμος τό γε τοιοῦτον μέμψαιτο.* Lucian. V. h. 2, 3 *οἱ δὲ ταῦροι τὰ κέρατα εἶχον ... ὑπὸ τοῖς ὀφθαλμοῖς, ὥσπερ ὁ Μῶμος ἠξίου.* Trag. fr. adesp. 447 N. *οὐδεὶς ἂν εἴποι κεῖνον ἀνθρώπων κακῶς, οὐδ' εἰ Φθόνου γένοιτο δυσμενέστερος.*

ΒΑΣΙΛΕΙΣ

9

λοιπή τις ὀξίς ἐστι καὶ ψυκτήριον
τῆς εὐπαρύφου λεπτότερον.

Athenaeus 6, 230 d *τοιοῦτός ἐστι καὶ ὁ παρὰ Νικοστράτῳ ἐν τῷ ἐπιγραφομένῳ δράματι Βασιλεῖς. ἀλαζὼν δ' ἐστὶ στρατιώτης περὶ οὗ λέγει κτλ. ἐξήλαυνον γάρ τινες τὸν ἄργυρον καὶ τότε εἰς ὑμένος ἰδέαν.* 1. *λοιπή*] *λεπτή* Pierson. Moer. 281. *λιτή* Mein. 2. *τῆσδ'* idem Anal. Athen. 99. — *ἡ εὐπάρυφος* quo tenuior erat, eo pretiosior, qualibus utebantur divites et nobiles. dicit nescio quis militi nihil reliquum esse nisi duo vasa tenuiora vel praetexta ipsius.

ΔΙΑΒΟΛΟΣ

I. e. *Calumniator.*

10

ἡ ναῦς δὲ πότερον εἰκόσορός ἐστ' ἢ κύκνος,
ἢ κάνθαρος; τουτὶ γὰρ ἂν πύθωμ' ἔτι,
αὐτὸς περανῶ τὰ πάντ'. Β. ἀμέλει κυκνοκάνθαρος.
[ἐξ ἀμφοτέρων τούτων κεκεραμευμένος]

Athenaeus 11, 474b *Νικόστρατος Διαβόλῳ κτλ.* 1. *εικοσορος εστιν* A. *ἐστ'* Stephanus Append. Thes. *κύκνος.* 2. *ἂν* Dindf.] *ἐὰν* A. *πύθωμ'* Iacobs. Add. Ath. 257] *πύθωμαι* A. *ἔτι* Iacobs.] *ὅ τι* A. 3. *περανῶ* Iacobs.] *περιανω* A, qui deinde *πάντα.* versum quartum a grammatico adiectum esse monuit Dindorfius. v. 3 quid sibi velint *αὐτὸς περανῶ τὰ πάντα* soluta sermonis perpetuitate non adparet.

ΕΚΑΤΗ

11. 12

τῶν κατεσταμνισμένων
ἡμῖν λαγύνων πηλίκοι τινές; Β. τρίχους.
. . . . . .
τὸν μεστὸν ἡμῖν φέρε λάγυνον.

Athenaeus 11, 499 bc *ἀρσενικῶς δὲ εἴρηκε τὸν λάγυνον Νικόστρατος ἐν Ἑκάτῃ* (v. 1. 2). *καὶ πάλιν* (v. 3). 2. post *πηλίκοι* verba *ἀρσενικῶς δὲ εἴρηκε τὸν λάγυνον* inepte repetit A. Pollux 10, 72 *λάγυνος καὶ λαγύνιον· Δίφιλος δ' ἄμφω λέγει, τὸ μὲν ἐν τῇ Ἑκάτῃ πολλάκις, τὸ δὲ λαγύνιον ἐν Ἀδελφοῖς.* unde *Nicostrati* Hecaten a Diphilo iterum editam esse coniecit Meinekius. Pollux 7, 162 *εἴρηται ἐν τῇ μέσῃ κωμῳδίᾳ καταστα μνίζειν τὸν οἶνον τὸ κατερᾶν* (e dolio in lagenas *diffundere*).

ΗΣΙΟΔΟΣ

13

βεμβράδ', ἀφύην, ἑψητόν

Athenaeus 7, 301 b *πληθυντικῶς λέγουσιν ἑψητοὺς κατὰ τὸ πλεῖστον* (ac sic etiam *ἀφύαι*) . . . *ἑνικῶς δὲ Νικόστρατος ἐν Ἡσιόδῳ κτλ.* *βαμβράδ'* A.

ΙΕΡΟΦΑΝΤΗΣ

14

Athenaeus 3, 110 a *τούτου* (*τοῦ ἐγκρυφίου ἄρτου*) *μνημονεύει Νικόστρατος ἐν Ἱεροφάντῃ.*

ΚΑΙΝΗ

15

ναστὸς τὸ μέγεθος τηλικοῦτος, δέσποτα,
λευκός· τὸ πάχος γὰρ ὑπερέκυπτε τοῦ κανοῖ.
ὀσμὴ δέ, τοὐπίβλημ' ἐπεὶ περιῃρέθη,
ἄνω 'βάδιζε καὶ μέλιτι μεμιγμένη
5 *ἀτμίς τις εἰς τὰς ῥῖνας· ἔτι γὰρ θερμὸς ἦν.*

Athenaeus 3, 111 c *ναστὸς ἄρτος ζυμίτης καλεῖται μέγας, ὥς φησι Πολέμαρχος· Ἡρακλέων δὲ πλακοῦντος εἶδος. Νικόστρατος δ' ἐν Κλίνῃ κτλ.* 2. *πάχος γὰρ* Porson. Adv. 242] *γὰρ πάχος* A. *δὲ πάχος* Hanov. Exerc. crit. 150. 4. *ἄνω' βάδιζε* Mein.] *ἐβάδιζ' ἄνω* A. quod qui retinuerunt *συμμεμιγμένη* Brunck., *διαμεμιγμένη* Meinekius antehac, *προσμεμιγμένη* Herwerd. Anal. crit. 30.

16

καὶ δυσχερὴς λάγυνος οὗτος πλησίον
ὄξους.

Athenaeus 11, 499c *ἀρσενικῶς δὲ εἴρηκε τὸν λάγυνον Νικόστρατος...ἐν τῇ ἐπιγραφομένῃ Κλίνῃ κτλ.*

ΜΑΓΕΙΡΟΣ

17

ὃς μέλανα ποιεῖν ζωμὸν οὐκ ἠπίστατο,
θρῖον δὲ καὶ κάνδαυλον ἢ τούτων τι τῶν
εἰς ματτύην οὐδέτερον εἶδε πώποτε.

Athenaeus 12, 517a *μνημονεύει τοῦ κανδαύλου...καὶ Νικόστρατος ἐν Μαγείρῳ ὃς — κάνδαυλον.* et 14, 664c *Νικόστρατος...καὶ ἐν Μαγείρῳ θρῖον κτλ.* in unum fragmentum coniunxit Mein. 2. *θριον* et *κάνδυλον* A 664. 3. *οὐδ' ἕτερον* Mein. neutrum verum. nam post sententiam negativam *οὐκ ἠπίστατο*, verba *θρῖον δὲ καὶ κάνδαυλον ἢ τούτων τι* inferri non poterant nisi adiecta gradatione item negativa. scribendum est *οὐδ' ἴκταρ εἶδε.* cf. Aesch. Ag. 117. Eumen. 988 et proverbia *οὐδ' ἴκταρ βάλλει* Plat. Reip. 9, 575c et *οὐδ' ἴκταρ ἥκει.* Schol. Plat. ibid. cf. Ruhnk. Tim. 149. Blomfield. Gloss. Ag. 114 suae ed. — de *candaulo* Lydio copiosius Athenaeus paullo ante egerat 516cd.

ΟΙΝΟΠΙΩΝ

Bacchi ex Ariadne filius, rex Chii insulae. cf. Apollodor. 1, 4, 3, 4 cum adn. Heyn. Preller. Myth. gr.[2] I 352. 3. ab aliis Philetaero tribuebatur fabula. Mein. I 348.

18

ἀμφίας

μέτριος οἶνος. Νικόστρατος Οἰνοπίωνι. Suidas. *Οἰνοπίωνι* Meurs.] *οἰνοποιῶ.*

Cf. Philetaeri *Oenopion.*

ΟΡΝΙΘΕΥΤΗΣ

Harpocrat. *ὀρνιθευτής...ἔστι δὲ καὶ ἐν τῇ νέᾳ κωμῳδίᾳ δρᾶμα Ὀρνιθευτὴς Νικοστράτου.* fragmenta non exstant.

ΠΑΝΔΡΟΣΟΣ

19

κἀγώ, φιλτάτη,
μετανιπτρίδ' αὐτῷ τῆς ὑγιείας ἔγχεον.

Digitized by Google

Β. λαβὲ τῆς ὑγιείας δὴ σύ. Γ. φέρε, τύχἀγαθῇ.
τύχη τὰ θνητῶν πράγμαθ', ἡ πρόνοια δὲ
τυφλόν τι κἀσύντακτόν ἐστιν, ὦ πάτερ.

Athenaeus 15, 693 a *Νικόστρατος Πανδρόσῳ κτλ.* 1. *κᾆτ' ὦ* φ. Iacobs. Add. Ath. 364. *ἄγ' ὦ* φ. Mein. fort. *καὶ σύ*, φ. 2. *μετανιπτρίδ'* fr. 3] *μετανιπτρίαδ'* A, qui *αυτω* sine acc. et *ι*. 3. *Γ.* add. K. *τύχἀγαθῇ* Dindf.] *τυχαγαθη* A. 4. *πράγμαθ', ἡ* Iacobs.] *πράγματα* A. 5. *καὶ ἀσύντακτον* A. *πάτερ*] *περ* A.

versum 4 mutuatus est a Chaeremone (fr. 2 Nauck.) *τύχη τὰ θνητῶν πράγματ', οὐκ εὐβουλία.* Cic. Tusc. 5, 25 *vitam regit fortuna, non sapientia* (Mein.).

20

ἀλλ' ἐγχέασα θᾶττον ἀγαθοῦ δαίμονος
ἀπενεγκάτω μοι τὴν τράπεζαν ἐκποδών·
ἱκανῶς κεχόρτασμαι γάρ. Β. ἀγαθοῦ δαίμονος.
Α. δέχομαι. λαβοῦσ' ἀπένεγκε ταύτην ἐκποδών.

Athenaeus 15, 693 b *ἐν δὲ τῷ αὐτῷ δράματι (Πανδρόσῳ) καὶ τῆς τοῦ ἀγαθοῦ δαίμονος κράσεως μνημονεύει, ἧς καὶ σχεδὸν πάντες οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί. ἀλλ' ὅ γε Νικόστρατος οὕτως φησίν κτλ.* 1. *ἐνχέασα θαττον* A. 2. et 4. *ἐκποδών* Mein. Anal. Ath. 338] *ἐκ ποδῶν* A. inter duas personas distribuit K.

2. *ἀπενεγκάτω* serva quae adest. quod moneo propter Herwerd. Stud. crit. 73. 4. *ταύτην*, i. e. *τὴν τράπεζαν.*

21

ἔπειτα τῆς αὐτῆς ὁδοῦ
πρὸς Ἀερόπην ἐλθοῦσα πέμψαι στρώματα
αὐτὴν κέλευε, φησί, καὶ παρ' Ὤκιμον
χαλκώματα.

Athenaeus 13, 587 d *Νικόστρατος ὁ τῆς μέσης κωμῳδίας ποιητὴς ἐν Πανδρόσῳ οὕτωσὶ κτλ.* versus primus recte distinxit Dobraeus Advers. II 345. 3. *κέλευε, φησί* Dobr.] *κέλευ' ἔφη. παρ' Ὠκίμου* Cobet. N. l. 140 conl. Cratin. 98, 8. Anaxandr. 40. Cratin. min. 14. [Theophr.] Char. 10 *τῆς αὐτῆς ὁδοῦ παριὼν κομίσασθαι παρ' Ἀρχίου τοὺς ταρίχους.* attamen *παρ' Ὤκιμον* sic explicari potest: *παρ' Ὤκιμον ἐλθοῦσα κέλευε αὐτὴν πέμψαι κτλ.* — *τῆς αὐτῆς ὁδοῦ*, ut Arist. Pac. 1155 *χἄμα τῆς αὐτῆς ὁδοῦ Χαρινάδην τις βωσάτω.* de *Ocimo* meretrico cf. Anaxandr. 9, 6. Eubul. 54.

ΠΑΤΡΙΩΤΑΙ

Cf. quae ad Pherecrat. 11, 2 adnotavimus.

22

ὁ κάπηλος γὰρ οὐκ τῶν γειτόνων,
ἄν τ' οἶνον ἄν τε φανὸν ἀποδῶταί τινι
ἄν τ' ὄξος, ἀπέπεμψ' ὁ κατάρατος δοὺς ὕδωρ.

Athenaeus 15, 700b *Νικόστρατος ἐν Πατριώταις κτλ.* 2. *τε φανὸν* B] *σφέφανον* A. 3. *ἀπέπεμψεν* A. — *φανοί* sunt *οἱ καλούμενοι λυχνοῦχοι* Athen. 699 f, quibus a caupone oleum statim infundebatur. cf. Menand. 63 Mein.

ΠΛΟΥΤΟΣ

Fortasse patris *Plutum* mutatis temporibus accommodatam tertium edidit.

23

Athenaeus 6, 247e *καὶ Ἄλεξις ἐν Ὀρέστῃ Νικόστρατός τε ἐν Πλούτῳ.* quid Nicostratus in Pluto de parasitis (de his enim agit Athenaeus) dixerit frustra quaeras.

ΣΥΡΟΣ

Apud Eudociam solam *Σύρος ἀπελαυνόμενος.* Mein. I 349.

24

Κηφισόδωρον οὐ κακῶς μὰ τὸν Δία
τὸν πλάνον φασὶ στενωπὸν εἰς στενὸν στῆσαί τινας
ἀγκαλίδας ἔχοντας, ὥστε μὴ παρελθεῖν μηδένα.

Athenaeus 14, 615ef *Νικόστρατος ἐν Σύρῳ κτλ.* 2. scribendum *εἰς μέσον.* i. e. viam angustam inmissis baiulis occluserat. cf. quae ad Amphidis *Πλάνον* adnotavimus et Dionys. 4.

ΤΟΚΙΣΤΗΣ

Plat. Alcib. II 149e *οὐ γὰρ τοιοῦτόν ἐστι τὸ τῶν θεῶν ὥστε ὑπὸ δώρων παράγεσθαι, οἷον κακὸν τοκιστήν.* cf. Alexidis *Τοκιστὴς ἢ Καταψευδόμενος.*

25

καταλαμβάνομεν τὸν πορνοβοσκὸν καὶ δύο
ἑτέρους κατὰ χειρὸς ἀρτίως εἰληφότας
καὶ στέφανον. *Β.* εἶεν. καλὸς ὁ καιρός, Χαιρεφῶν.

Athenaeus 15, 685e *τοῦτο δ' ἦν ἔθος (τὸν στέφανον ἀρχὴν ποιεῖσθαι τῆς εὐωχίας) καὶ παρ' Αἰγυπτίοις, ὡς Νικόστρατός φησιν ἐν Τοκιστῇ. Αἰγύπτιον γὰρ ὑποστησάμενος τὸν τοκιστήν φησι κτλ.* 1. *δύ'* A. de *Chaerephonte* parasito cf. Antiphan. 199.

ΨΕΥΔΟΣΤΙΓΜΑΤΙΑΣ

26

καὶ σὺ μὲν
τὴν δευτέραν τράπεζαν εὐτρεπῆ ποίει.
κόσμησον αὐτὴν παντοδαποῖς τραγήμασιν,
μύρον, στεφάνους, λιβανωτόν, αὐλητρίδα λαβέ.

Athenaeus 15, 685 cd ἡ δὲ τῶν στεφάνων καὶ μύρων πρότερον εἴσοδος εἰς τὰ συμπόσια ἡγεῖτο τῆς δευτέρας τραπέζης, ὡς παρίστησι Νικόστρατος ἐν Ψευδοστιγματίᾳ διὰ τούτων κτλ. 2. εὐτρεπῆ, non εὐπρεπῆ A. λαβεῖν est *emere* et *conducere*.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

27

εἰ τὸ συνεχῶς καὶ πολλὰ καὶ ταχέως λαλεῖν
ἦν τοῦ φρονεῖν παράσημον, αἱ χελιδόνες
ἐλέγοντ' ἂν ἡμῶν σωφρονέστεραι πολύ.

Stobaeus Floril. 36, 8 Νικοστράτου A. Boissonad. Anecd. I 114. Antonius Mel. 95, 157, ubi post εἰ inseritur ἐπί et v. 3 ἐλέγοντ' ἂν ἡμῶν φρονιμώτεροι om. πολύ. 2. παράσημ/ A. 3. ἐγένοντ' et ἐμφρονέστεραι Mein. V cxc.

28

'οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ.'
νὴ τὴν Ἀθηνᾶν συντόμως γε, φίλτατε
Εὐριπίδη, τὸν βίον ἔθηκας εἰς στίχον.

Stobaeus Floril. 105, 48 Νικοστράτου A. Arsen. Viol. 372. 2. γ' ὦ φ. Bothius. — cf. Eurip. fr. 46. 662 N. Arist. Ran. 1217.

29

ἆρ' οἶσθ' ὅτι τῆς πενίας ὅπλον
ἡ παρρησία; ταύτην ἐάν τις ἀπολέσῃ,
τὴν ἀσπίδ' ἀποβέβληκεν οὗτος τοῦ βίου.

Stobaei App. Flor. 21, 24 (p. 29 Gaisf.). 1. ὅπλον ἐστὶν ἡ | παρρ. Mein. in Stob. ἆρ' οἶσθ' ὅτι | πενίας ὅπλον μέγιστον ἡ παρρησία; | ταύτην — ἀπολέσῃ, τί ἄλλο γ' ἢ κτλ. Mein. Stob. praef. xxxii. ἆρ' οἶσθ' ὅτι τῆς π. ὅπλον παρρησία | ἄριστόν ἐστιν; ἣν ἐάν τις κτλ. Herwerd. Nov. add. crit. 26. ac talia excogitari possunt sexcenta.

30. 31

πάλιν χρόνῳ τἀρχαῖα καινὰ γίνεται.

. . . . . .

οὐκ ἔστι δυσαρεστότερον οὐδὲ ἓν χρόνου·
οὐδέποτ' ἀρέσκει ταὐτὰ τούτῳ τῷ θεῷ.

Stobaeus Ecl. 1, 8, 12 'in codicibus VAE Nicostrati nomen ad proximum versum' (fr. 31) 'trahitur. legitur autem is in codicibus continuo cum nostro, unde probabile est utrumque Nicostrati esse'. Heeren. 2. δυσαρεστότερον Heeren.] δυσαρεστότατον V. δυσαρεσκότατον A E. οὐδὲ ἓν Grotius] οὐδὲν.

32

μειράκιον δὲ κατὰ τύχην
ὑποσκαφιόκαρτόν τι κεχλαμυδωμένον
κατάγεις ἀναγκόσιτον.

Athenaeus 2, 47 e ἀναγκόσιτον δὲ ... Νικόστρατος κτλ. 1. δὲ add. Porson. Misc. 234. 2. τι Porson.] τι καὶ. κατάγεις ἀναγκόσιτον Porson.] κατὰ γῆς ἀναγκοσιτῶ. cf. Cratet. 44.

33

ἁλύσεις, καθετῆρας, δακτυλίους, βουβάλι', ὄφεις,
περισκελίδας, ἐλλέβορον.

Clemens Alex. Paed. 2, 12, 123 λέγει γοῦν ὁ κωμικὸς Νικόστρατος κτλ. Pollux 5, 100 περισκελίδας· καὶ γὰρ τούτῳ τῷ ὀνόματι κέχρηνται Μένανδρος καὶ Νικόστρατος οἱ κωμῳδοδιδάσκαλοι. βουβάλια codices. Hesych. βουβάλιον· γυναικὸς κοσμάριον. cf. Aristoph. fr. 320. Diphil. 59.

34

ῥήτορες
ἐξωρμενικότες, δυσχερεῖς, παλιναίρετοι

Photius ὅρμενα· τὰ τῆς κράμβης ... Νικοστράτῳ (Νικόστρατος Mein.) κτλ. ῥήτορες ἐξωρμενικότες Porson.] ῥήτορι ἐξωρμενηκότες cod. παλιναίρετοι Mein.] πάλιν αἱρετοί. Bekker. Anecd. 38, 17 ἐξορμενίζειν· τὸ ἐξανθεῖν ... ὅρμενα γὰρ καλεῖται ὑπὸ τῶν Ἀττικῶν τὰ τῶν λαχάνων ἐξανθήματα. cf. ibid. 24, 13. Eustath. 899, 15. Athen. 2, 62 f Ἀττικοὶ δ' εἰσὶν οἱ λέγοντες ὅρμενον τὸν ἀπὸ τῆς κράμβης ἐξηνθηκότα. Pollux 6, 54 πᾶν τὸ ὑπερεξηνθηκός, ὅπερ ἐκκεκαυληκὸς καλοῦσιν, ὅρμενον ὠνόμαζον. Photius ὅρμενον· τὸ ἄγριόν τι λάχανον κυρίως οὕτως καλούμενον· καταχρηστικῶς δὲ πᾶν τὸ ἐκκεκαυλικὸς παντὸς λαχάνου καὶ ἄνθους. Hesych. ἐξορμενίζεις· ἐκκεκαύληκας, ἐκκέχυσαι. Soph. fr. 294 N. κἀξορμενίζει κοὐκ ἐπισχολάζεται βλάστη. — παλιναίρετα sunt quae electioni adversantur, quae nemo facile eligat, incommoda et odiosa. Ruhnkon. Tim. 203. 4.

35

νὴ τὴν Ἀφροδίτην, ὦ ξένη,
βλοσυράν γε τὴν ψυχὴν ἔχεις.

Eustathius 677, 4 *οἱ δὲ παλαιοὶ βλοσυρόν φασι καὶ τὸ σεμνόν, παρ' οἷς καὶ χρῆσις Νικοστράτου φέρεται αὕτη κτλ.* *ψυχὴν*] *τέχνην* Cobet. N. l. 74. '*lena* erat ut suspicor'.

36

εἰπέ μοι, τίνι
ἐδιακόνεις;

Νικόστρατος. Cramer. Anecd. Paris. IIII 114, 11. indicavit H. Iacobi.

37

Bekker. Anecd. 342, 17 Suidas *Ἀδράστεια*, cod. Harpocrat. p. 6 Bekk. *ἔνιοι μέντοι ὡς διαφέρουσαν συγκαταλέγουσιν αὐτὴν (τὴν Ἀδράστειαν) τῇ Νεμέσει, ὡς Μένανδρος καὶ Νικόστρατος. ὡς μὴ διαφέρουσαν* Suid. cf. Lehrs Popul. Aufs. 57. 8.

38

ζιγγοῦν

τὸ ὑποπίνειν Κίλικες. οὕτως Νικόστρατος. Photius. Bekker. Anecd. 98, 6 *ζιγοῦν ἀντὶ τοῦ πίνειν Κίλικες λέγουσιν.*

39

στήριγμα

τὸ ὑποτιθέμενον τῇ ἁμάξῃ δίκρουν. οὕτως Νικόστρατος. Photius. scribendum *στήριγγα.* Hesych. *στήριγγες· ἐρείσματα· οἱ δὲ τὸ δίκρουν, ὅπερ ὑποτιθέασι τῷ τῆς ἁμάξης ζυγῷ.* cf. Xen. Eq. 1, 5 *τῶν κνημῶν τὰ ὀστᾶ ... ἐστι στήριγγες τοῦ σώματος.* ac *στήριγγα* Plut. Mor. 280 e.

40

Ταραντῖνον

λεπτὸν καὶ διαφανὲς ἱμάτιον, οὐ πάντως πορφυροῦν, ὥς τινες ὑπέλαβον. οὕτως Νικόστρατος. Photius et Suidas, qui *Ταραντινίδιον* praebet. Hesych. *Ταραντῖνον· ἱμάτιον γυναικεῖον λεπτόν, κρωσσοὺς (κροσσοὺς) ἔχον ἐκ τοῦ ἑνὸς μέρους.*

ΑΜΦΙΣΒΗΤΗΣΙΜΑ

41

Schol. Euripidis Phoen. 1010 *Σωσιφάνης ὁ τραγικὸς ὑπὸ τοῦ Λαΐου φησὶ τεθνηκέναι τὸν Μενοικέα, Νικόστρατος δὲ ὑπὸ τῆς Σφιγγός.* 'si tamen is comicus Nicostratus est'. Mein.

42

στρῆνον

οἱ μὲν τὸ ὀξὺ καὶ τὸ ἀνατεταμένον. Νικόστρατος δὲ τὸ τραχὺ καὶ πρόσαντες τῇ ἀκοῇ φθέγμα. Photius et Etym. im. 730, 21 *στρηνόν.* indicavit H. Iacobi. musicum Nicostratum intellegit Stiehlius Philol. X 170.

ΦΙΛΕΤΑΙΡΟΣ

Meinek. I 349. 50.

ΑΔΩΝΙΑΖΟΥΣΑΙ

Cf. Meinek. I 349 et Philippidis *Adoniazusae.*

ΑΝΤΥΛΛΟΣ

Cf. quae ad Nicostrati *Antyllum* adnotavimus.

ΑΣΚΛΗΠΙΟΣ

1

ἐνέσεισε μεστὴν ἴσον ἴσῳ μετανιπτρίδα
μεγάλην ὑπειπὼν τῆς Ὑγιείας τοὔνομα.

Athenaeus 11, 487 a *Φιλέταιρος Ἀσκληπιῷ κτλ.* 2. *ἐπειπὼν* Schweighaeus.

2

Athenaeus 8, 342 a *Φιλέταιρος δ' ἐν Ἀσκληπιῷ τὸν Ὑπερείδην πρὸς τῷ ὀψοφαγεῖν καὶ κυβεύειν [αὐτόν] φησι.*

ΑΤΑΛΑΝΤΗ

3

κἂν δέῃ, τροχάζω στάδια πλείω Σωτάδου,
τὸν Ταυρέαν δὲ τοῖς πόνοις ὑπερβαλῶ,
τὸν Κτησίαν τε τῷ φαγεῖν ὑπερδραμῶ.

Athenaeus 10, 416 f *Φιλέταιρος δ' ἐν Ἀταλάντῃ κτλ.* 1. *δέῃι* A. *δῇ* Dindorf. cf. quae adnotavimus ad Arist. Ran. 265. *κἂν* | *δέῃ* Mein. Anal. Ath. 354. 2. *Ταυρέαν* Valcken. Eurip. Phoen. 581 p. 219] *ταυρίτην* A. 3. *ὑπερδραμῶ* 'qua forma nemo umquam Graecorum usus est' delet Herwerd. Obs. crit. 60, e v. 2 supplens *ὑπερβαλῶ.* sed offendunt etiam futura v. 2 et 3. itaque dubito an ea quae praebet cod. A ex glossematis orta et v. 2 *ὑπερπονῶ*, 3 *ὑπερτρυφῶ* vel *ὑπερθέω* scribendum sit.

Bekker. Anecd. 114, 18 *τροχάζειν οὔ φασι δεῖν λέγειν, ἀλλὰ τρέχειν.* confert tamen Meinekius Hermipp. 4, 6. Lobeck. Phrynich. 582. 3. de *Sotade* nihil aliunde notum; nam Cretensis quidem leno [Demosth.] 59, 108 alius est. de *Taurea* Antiphan. 48, de *Ctesia* Athen. 10, 416 ef.

ΑΧΙΛΛΕΥΣ

4

Πηλεύς· ὁ Πηλεὺς δ' ἐστὶν ὄνομα κεραμέως,
ξηροῦ λυχνοποιοῦ, Κανθάρου, πενιχροῦ πάνυ,
ἀλλ' οὐ τυράννου νὴ Δία.

Athenaeus 11, 474 d *ὅτι δὲ καὶ ἀπὸ Κανθάρου κεραμέως ὠνομάσθη τὸ ἔκπωμα, Φιλέταιρός φησιν ἐν Ἀχιλλεῖ κτλ.* 3. *Δί'* A. *μὰ Δία* Mein. at cf. Diphil. 32, 25. — Hesych. *κάνθαρος· ποτηρίου εἶδος, ἀπὸ τοῦ κατασκευάσαντος.* v. 1 'ludit Euripidem Iph. Aul. 701 *Πηλεύς· ὁ Πηλεὺς δ' ἔσχε Νηρέως κόρην'.* Mein. ed. min. XVI. itaque ante v. 1 interrogabat nescio quis similiter atque apud Euripidem *τὰ δ' Αἰακοῦ παῖς τίς κατέσχε δώματα*; Arist. Thesm. 874 sq. 883 comparat Herwerden. Mnem. nov. IIII 314. pro *ξηροῦ* v. 2 scribendum *πηροῦ.*

ΚΕΦΑΛΟΣ

A solo commemoratur Suida. Mein. I 349. 50. cf. Eubuli *Procris.*

ΚΟΡΙΝΘΙΑΣΤΗΣ

Steph. Byz. *Κόρινθος . . . κορινθιάζομαι τὸ ἑταιρεῖν ἀπὸ τῶν ἐν Κορίνθῳ ἑταιρῶν· ἢ τὸ μαστροπεύειν.* Schol. Leid. Hom. Il. 2, 572 *κορινθιάζειν τὸ καλλωπίζεσθαι.* Lobeck. Aglaoph. 1021. cf. Aristoph. fr. 354. eodem nomine etiam Poliochi fabula inscripta erat. Meinek. I 350.

5

ὡς τακερόν, ὦ Ζεῦ, καὶ μαλακὸν τὸ βλέμμ' ἔχει.
οὐκ ἐτὸς ἑταίρας ἱερόν ἐστι πανταχοῦ,
ἀλλ' οὐχὶ γαμετῆς οὐδαμοῦ τῆς Ἑλλάδος.

Athenaeus 13, 559 a *Φιλέταιρος Κορινθιαστῇ κτλ.* Hesychius *ἑταίρας ἱερόν· τῆς Ἀφροδίτης.* cf. Athen. 13, 571 c. 1. *βλέμμα* A. 2. *οὐκ ἐτός*, ut Aristoph. fr. 10. — cf. fr. 8.

ΚΥΝΑΓΙΣ

De forma cf. Lobeck. Phryn. 428. 9. *venatrix* an meretrix aliqua significetur dubium est. Meinek. I 350. idem tamen *Κυναιγίς* (conl. *κυναλώπηξ*) Anal. Ath. 362.

6

παῦσαι γέρων ὢν τοὺς τρόπους. οὐκ οἶσθ' ὅτι
ἥδιστόν ἐστιν ἀποθανεῖν βινοῦνθ' ἅμα,
ὥσπερ λέγουσιν ἀποθανεῖν Φορμίσιον;

Athenaeus 13, 570 ef κατὰ τὴν Φιλεταίρου Κυνηγίδα κτλ. 2. ἥδιστόν ἐστιν Toup. Addend. Theocr. 21, 26 p. 403] οὐκ ἔστιν ἥδιστον A. — de *Phormisio* cf. quae ad Platonis *Πρέσβεις* adnotavimus et Fritzsch. Arist. Ran. 965.

7

τί δεῖ γὰρ ὄντα θνητόν, ἱκετεύω, ποιεῖν,
πλὴν ἡδέως ζῆν τὸν βίον καθ' ἡμέραν,
ἐὰν ἔχῃ τις ὁπόθεν; ἀλλὰ δεῖ σκοπεῖν
τοῦτ' αὐτό, τἀνθρώπει' ὁρῶντα πράγματα,
5 εἰς αὔριον δὲ μηδὲ φροντίζειν ὅ τι
ἔσται· περίεργόν ἐστιν ἀποκεῖσθαι πάνυ
ἕωλον ἔνδον ἀργύριον.

Athenaeus 7, 280c Φιλέταιρος Κυναγίδι κτλ. 2. καθημέραν A. 4. τἀνθρώπια A. 5. μηδὲ add. Grotius Excerpt. 875. ὅ τι Erfurdt. 441] εἴ τι. 7. τἀργύριον Mein. Anal. Ath. 124. — ἱκετεύω, ut Eubul. 115.

2. τὸν καθ' ἡμέραν βίον sine ulla necessitate Herwerdenus Mnem. nov. IIII 319. hominem dicit nihil sapientius facere posse quam cotidie vita suavissime frui. neque Meinekium secutus sum fr. 6 et 7 in unum coniungentem incerta prorsus coniectura.

8

οὐκ ἐτὸς ἑταίρας ἱερόν ἐστι πανταχοῦ,
ἀλλ' οὐχὶ γαμετῆς οὐδαμοῦ τῆς Ἑλλάδος.

Athenaeus 13, 572d περὶ δὲ τῶν ἑταιρῶν καὶ Φιλέταιρος ἐν Κυνηγίδι τάδε φησίν κτλ. cf. fr. 5, cuius v. 1 hic quoque adiciendum censet Meinekius.

9

οὐχὶ Κερκώπη μὲν ἤδη γέγον' ἔτη τρισχίλια,
ἡ δὲ Διοπείθους ἀηδὴς Τέλεσις ἕτερα μυρία;
Θεολύτην δ' οὐδ' οἶδεν οὐδείς, ὅτε τὸ πρῶτον ἐγένετο.
οὐχὶ Λαΐς μὲν τελευτῶσ' ἀπέθανεν βινουμένη,
5 Ἰσθμιὰς δὲ καὶ Νέαιρα κατασέσηπε καὶ Φίλα;
Κοσσύφας δὲ καὶ Γαλήνας καὶ Κορώνας οὐ λέγω·
περὶ δὲ Ναΐδος σιωπῶ· γομφίους γὰρ οὐκ ἔχει.

Athenaeus 13, 587 e *Φιλέταιρος ἐν Κυναγίδι κτλ.* 1. *γέγον'* Piers. Moer. 112] *γεγόνει* A. 2. *ἀηδὴς*, non *ἀειδὴς*, A. 3. *οὐδ'* add. Mein., *οὐκ* Iacobs. 5. *Φίλα*; *Κοσσύφας* Schweigh.] *φιλακος· συφας* A. 6. *γαλείνας* A.

1. i. e. *οὐχὶ Κερκώπη μὲν ἀηδὴς γέγονεν ἔτη τρισχίλια, ἡ δὲ Δ. Τ. ἕτερα μυρία*; 2. recte A *ἀηδής*, nam *ἀειδής* Atticis est *ἀόρατος*. 4. i. e. Laïs nonno tamdiu corpore quaestum fecit, ut multis annis peractis tandem inter coitum sit mortua? 5. sine necessitate Herwerd. Nov. add. crit. 26 tamquam soloecismum eximens *Ἰσθμιὰς δὲ κατασ. καὶ N.* 6. mirum in modum languet *οὐ λέγω*, cum praesertim sequatur *σιωπῶ*. scribendum videtur *ποῦ λέγω*; (coniunct. mod.) ea sententia qua Creon Sophocl. Antig. 183 dixit *τοῦτον οὐδαμοῦ λέγω*. 7. de *Naïde* disputavit Hanov. Exerc. crit. 31 sq.

ΛΑΜΠΑΔΗΦΟΡΟΙ

Λαμπαδοφόροι Suidas. Meinek. I 350. *λαμπαδηφορίαι* Athenis in honorem Vulcani, Minervae, Promethei, Fauni, Bendidis instituebantur. cf. Arist. Ran. 129 cum interpr. Herodot. 6, 105. 8, 98. Plat. Reip. init. Boeckh. Oec. Att. I 496.

10

καὶ χειροβαρὲς σαρκὸς ὑείας
θετταλότμητον κρέας

Athenaeus 10, 418 c *τοῦτο δ' εἶπεν* (*Κράτης* 19) *ὡς τῶν Θετταλῶν μεγάλα κρέα τεμνόντων. Φιλέταιρος δ' ἐν Λαμπαδηφόροις κτλ.* Eustathius 857, 30 *ὅθεν ἔφη τις κτλ.* alteri versui deest choriambus.

ΜΕΛΕΑΓΡΟΣ

Fortasse alterum nomen *Atalantes*. Meinek. I 349. 50.

11

οὐ πρὸς γυναικὸς ὁ κόρος. οἴκαδ', ὦ κόρη,
ἄπιθ' ἀμπαλίνορρος.

Suidas *ἀμπαλίνορρος· ἀναστρέφων τὴν αὐτὴν ὁδόν. Φιλέταιρος Μελεάγρῳ κτλ.* Zonaras 146 om. poetae fabulaeque nom. *οἴκαδ'* — *ἀμπαλίνορρος*. Hesychius *ἀμπαλίνωρον· τὸ ἀνακάμψαι πάλιν τὴν αὐτὴν ὁδόν. ἀμπαλίνορρος* Blomfield. Gloss. Aesch. Ag. 149] *ἀμπαλίνῶρος* BE. *κόρος*] *χορός* Porson. Adv. 295. *καιρός* G. A. Hirschig. Ann. crit. 8, metro pessumdato. sed non magis placet *χορός*. an *ὁ τόπος*? *κόρη*] *παῖ* Zon. — non credo Atticorum umquam fuisse *ἄμπαλιν*. Suidas, ut saepe, pravis codicibus videtur deceptus esse. poeta aut *αὖ πάλινορρος* aut *ἐμπαλίνορρος* scripsit.

ΜΗΝΕΣ

12

τίς ἐστι μαιμακτηριών; Β. μὴν δικάσιμος.

Schol. Ven. Arist. Av. 1047 *ὡς ἐν τούτῳ (μουνιχιῶνι) τῶν ἐναγομένων ξένων ἀπὸ τῶν πόλεων καλουμένων. οὐκ ἦν δέ, ἀλλ' ὁ μαιμακτηριών, ὡς Φιλέταιρος ἐν Μησὶ δηλοῖ κτλ.* Hesych. *δικάσιμοι μῆνες οὕτως ἐλέγοντο, ἐν οἷς ἐδίκαζον.* confert M. Schmidt. Plat. Leg. 12, 958b. addo Aristoph. fr. 278.

ΟΙΝΟΠΙΩΝ

Etiam Nicostrato tribuebatur. cf. quae ad huius fabulam adnotavimus.

13

θνητῶν δ' ὅσοι
ζῶσιν κακῶς ἔχοντες ἄφθονον βίον,
ἐγὼ μὲν αὐτοὺς ἀθλίους εἶναι λέγω·
οὐκ ἂν θανὼν δήπουθεν ἔγχελυν φάγοις,
οὐδ' ἐν νεκροῖσι πέττεται γαμήλιος.

Athenaeus 7, 280d *Φιλέταιρος . . . ἐν Οἰνοπίωνι δὲ ὁ αὐτός φησιν κτλ.* Eustathius 1156, 48 *πέμμα ἦν καλούμενον . . γαμήλιος, ὡς δῆλον ἐκ τοῦ 'πέττεται γαμήλιος'.* 2. *ζῶσι* A. 4. *οὐκ ἂν* Dindf.] *οὐ γάρ. γε* ante *δήπουθεν* delevit Porson. an *θανών γε δῆθεν?*

2. *κακῶς misere*, i. e. nimis parce. 5. Bekker. Anecd. 229, 3 *γαμήλιος· ὁ εἰς τοὺς γάμους πλασσόμενος πλακοῦς.*

14. 15

ὁ μάγειρος οὗτος Πατανίων προσελθέτω.
. . . . . .
πλείους Στρατονίκου τοὺς μαθητάς μοι δοκεῖ
ἕξειν Πατανίων.

Athenaeus 4, 169e *πατάνιον δὲ διὰ τοῦ π . . . Φιλέταιρος Οἰνοπίωνι ὁ μάγειρος — προσελθέτω. καὶ πάλιν· πλείους κτλ. πατανείων* bis A. coqui nomen esse indicavit Schweighaeuser. conlaudari videtur coquus a symposiarcho: neque multum inter se distabant haec fragmenta.

Praeterea cf. Nicostrati Oenopionis fragmentum.

ΤΗΡΕΤΣ

16

πεπωκέναι δοκεῖ τὸν κατὰ δύο
καὶ τρεῖς ἀκράτου.

Athenaeus 10, 430d *Φιλέταιρος δ' ἐν Τηρεῖ δύο ὕδατος πρὸς*

τρεῖς ἀκράτου· λέγει δὲ οὕτως κτλ. Eustathius 1624, 56 *οὕτω καὶ τὸ δύο ὕδατος πρὸς τρεῖς ἀκράτου. Φιλέταιρος· πεπωκέναι δεῖ* (sic) *κτλ.*

17

ἐπίπλο[ι]ον

Athenaeus 3, 106e *ἑξῆς εἰσεκομίσθη ταγηνιστὰ ἥπατα περιειλημμένα τῷ καλουμένῳ ἐπίπλῳ, ὃν Φιλέταιρος ἐν Τηρεῖ ἐπίπλοιον* (*omentum*) *εἴρηκεν. ἐπίπλοον* Dobr., Hesych. M. Schmidtii *ἔπιπλον· ἐπίπλοιον· ὁ πιμελώδης ὑμὴν ἐπὶ τῆς κοιλίας καὶ τῶν ἐντέρων, ἐπίπλους λεγόμενος.* Pollux 2, 212 *ἐκ τοῦ περιφεροῦς τῆς κοιλίας ἐκπέφυκεν, αὐτήν τε καὶ μέρος τοῦ ἄλλου ἐντέρου καλύπτον, τὸ ὀνομαζόμενον ἐπίπλουν.* et 2, 224 *καὶ μὴν ἔκ γε τοῦ σπληνὸς ἕτερος ὑμὴν ἐκπεφυκώς, ὑπὸ τὸ περιτόναιον κείμενος, τὸ αὐτὸ διάφραγμα περιειληφώς, ἐπίπλους ὀνομάζεται· Ἀντιφῶν δὲ* (*ὁ ἰατρός*) *αὐτὸν καὶ ἀρρενικῶς καὶ οὐδετέρως καλεῖ.* cf. Lobeck. Phryn. 142. 3.

ΦΙΛΑΥΛΟΣ

Cf. Meinek. I 350.

18

ὦ Ζεῦ, καλόν γ' ἔστ' ἀποθανεῖν αὐλούμενον·
τούτοις ἐν ᾅδου γὰρ μόνοις ἐξουσία
ἀφροδισιάζειν ἐστίν, οἱ δὲ τοὺς τρόπους
ῥυπαροὺς ἔχοντες μουσικῆς ἀπειρίᾳ,
εἰς τὸν πίθον φέρουσι τὸν τετρημένον.

Athenaeus 14, 633e *τὰ ἐκ Φιλαύλου Φιλεταίρου κτλ.* 1. *αὐλούμενον tibiae cantu delinitum*, ut Apollodor. Caryst. 5, 13 et *ψαλλόμενος* Machon Athen. 8, 348f (Schweigh.). 5. *τὸν πίθον*, i. e. Danaidum dolium. Horat. C. 3, 11, 27.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

19

Athenaeus 1, 21c *Φιλέταιρος· ἀμφὶ στέρνοις φᾶρος οὐ καθήσεις, τάλαν, μηδ' ἀγροίκως ἄνω γόνατος ἀμφέξει. ἀμφιστέρνοις φάρος* B. Eustathius 1164, 3 *σκώπτων τις ἀρρυθμίαν ἐνδύσεώς φησιν ἀμφίβαλλε στέρνοις φᾶρος. οὐ καθίσεις, τάλαν, μηδ' ἀγροίκως ἄνω γόνατος ἀμφέξῃ· δοκεῖ γὰρ ὁ σκωπτόμενος ψιλὰ ἐνδύσεως προφαίνειν τὰ σκέλη, ἔχειν δὲ καὶ τὸ προκόλπιον ἀπόλυτον. καὶ ὅρα τὸ ἀμφέξῃ ἤγουν ἐνδύσῃ.* tetrametros trochaicos Meinekius effinxit, creticos cum dochmiis Emperius (Mus. Rh. nov. I 459), creticos Cobetus (N. l. 30. 1). itaque manus abstineo.

20

χλαμὺς ὁλόλευκος

ὡς Φιλέταιρος ὁ κωμῳδοδιδάσκαλος ὠνόμαζεν. Pollux 7, 46.

ΑΜΦΙΣ

Meinekius I 403 sq.

ΑΘΑΜΑΣ

1

εἶτ' οὐ γυναικός ἐστιν εὐνοϊκώτερον
γαμετῆς ἑταίρα; πολύ γε καὶ μάλ' εἰκότως.
ἡ μὲν νόμῳ γὰρ καταφρονοῦσ' ἔνδον μένει,
ἡ δ' οἶδεν ὅτι ἢ τοῖς τρόποις ὠνητέος
5 *ἄνθρωπός ἐστιν ἢ πρὸς ἄλλον ἀπιτέον.*

Athenaeus 13, 559a *Ἄμφις ἐν Ἀθάμαντι κτλ.* 3. *μέγα φρονοῦσ'* Herwerd. Anal. crit. 31. 4. *οἶδ' ὅτι ἤτοι — ὀνητέος* Cobet. N. l. 62. at nihil mutandum videtur. iam Grotius docuit uxores superbas esse legum fiducia, quae dimitti vetent nisi dote reddita. etiam *ὠνητέος* rectissime: ut servus argento, sic amator *emitur* morum animique candore. sic *beneficiis emere* aliquem Plaut. Asin. 1, 1, 57.

ΑΚΚΩ

Schol. Plat. 353 Bekk. (*Ἀκκώ*) *ἣν οὕτως εὐήθη λέγουσιν ὡς ἀπὸ τοῦ ἱστοῦ θοἰμάτιον καθελομένην ἡμίεργον ἀμφιέσασθαι, εἴς τε τὸ κάτοπτρον βλέπουσαν πρὸς τὴν παρ' αὐτῆς ἔμφασιν* (*imaginem*) *...ὡς ἑτέρᾳ προσλαλεῖν γυναικί. μέμνηται ταύτης Ἕρμιππος* (7) *καὶ Ἄμφις ἐν τῷ ὁμωνύμῳ αὐτῆς δράματι.* cf. Ruhnk. Tim. 18. 19. Meinck. I 404. 5. fragmenta non manserunt.

ΑΛΕΙΠΤΡΙΑ

Pollux 7, 17 *ἀλείπτριαν εἰρήκασιν οἱ μέσοι κωμικοί ...Ἄμφιδος δὲ καὶ δρᾶμα ἔστιν Ἀλείπτρια.* etiam Alexidis. Meinek. I 393. 405. fragmenta non exstant.

ΑΛΚΜΕΩΝ

De forma nominis cf. Elmsl. Eurip. Bacch. 337 p. 58. Roehl. Ind. C. I. Kirchhoff. I. Att. 433 col. III et quae ad Antiphan. 191, 9 adnotavimus. dubium est utrum significetur Amphiarai filius an philosophus Pythagoreus, de quo Diogenes L. 8, 83. Meinek. I 423. III 567. Pythagoreum etiam Isocrates cum Parmenide, Melisso, Empedocle, Gorgia commemorat 15, 268.

2

περιθέτην

(*κόμην*), *ὡς ἐν Ἄμφιδος Ἀλκμέωνι.* Pollux 10, 170.
Cf. praeterea fr. 50.

ΑΜΠΕΛΟΥΡΓΟΣ

3

οὐκ ἔστιν οὐδὲν ἀτυχίας ἀνθρωπίνης
παραμύθιον γλυκύτερον ἐν βίῳ τέχνης·
ἐπὶ τοῦ μαθήματος γὰρ ἑστηκὼς ὁ νοῦς
αὐτὸν λέληθε παραπλέων τὰς συμφοράς.

Stobaeus Floril. 60, 1 *Ἄμφιδος ἐξ Ἀμπελουργοῦ* A. 4. *αὐτὸν* Mein.] *αὐτοῦ*. *παραπλέων* Trinc. Gesn. 1] *παραπλέον*. scientia quasi navis est, qua homo calamitates tamquam cautes praetervehitur.

4

ἐν οἷς ἂν ἀτυχήσῃ τις ἄνθρωπος τόποις,
ἥκιστα τούτοις πλησιάζων ἥδεται.

Stobaeus Floril. 104, 6 *Ἄμφιδος ἐξ Ἀμπελουργοῦ* A. 'Phaedrus *nemo libenter recolit qui laesit locum*'. Valcken.

5

μικρόν τι κέρμα

ὥσπερ ἐν τῷ Ἄμφιδος Ἀμπελουργῷ. Pollux 9, 88. idem 7, 170 *κέρμα ἑνικῶς Ἄμφις εἴρηκεν ἐν Ἀμπελουργῷ*. cf. Antiphan. 131. scilicet multo frequentius numero plurali.

ΑΜΦΙΚΡΑΤΗΣ

6

τὸ δ' ἀγαθὸν ὅ τι ποτ' ἐστίν, οὗ σὺ τυγχάνειν
μέλλεις διὰ ταύτην, ἧττον οἶδα τοῦτ' ἐγώ,
ὦ δέσποτ', ἢ τὸ Πλάτωνος ἀγαθόν. Β. πρόσεχε δή.

Diogenes Laert. 3, 27 *Ἄμφις Ἀμφικράτει κτλ.* Hesychius Mil. p. 48. 2. *ταύτην*, philosophiam ut videtur. 3. verba *πρόσεχε δή* 'eri sunt respondentis et quod' servulus 'nescit aperire parantis'. Cobet. N. l. 20.

ΒΑΛΑΝΕΙΟΝ

7

ἀνεβόησ' ὕδωρ ἐνεγκεῖν θερμόν, ἄλλος μετάκερας.

Athenaeus 3, 123e *τὸ δὲ χλιαρὸν ὕδωρ Ἀθηναῖοι μετάκερας καλοῦσιν, ὡς ... Ἄμφις ἐν Βαλανείῳ κτλ. ἀνεβόησ'* Dindf.] *ἀνεβόησεν* A.

ΓΥΝΑΙΚΟΚΡΑΤΙΑ

Cum tamdiu antea *δημοκρατία* aut *ἀριστοκρατία* fuisset, quidni poeta etiam *γυναικοκρατίαν* proponeret, Aristophanis praesertim exemplo? est *Γυναικοκρατία* etiam Alexidis, quocum etiam alios titulos communes habet Amphis. Meinek. I 405.

8

πῖνε, παῖζε· θνητὸς ὁ βίος, ὀλίγος οὐπὶ γῇ χρόνος·
ἀθάνατος ὁ θάνατός ἐστιν, ἂν ἅπαξ τις ἀποθάνῃ.

Athenaeus 8, 336 c *καὶ ἐν τῇ ἐπιγραφομένῃ δὲ Γυναικοκρατίᾳ τὰ ὅμοια λέγει (Ἄμφις) κτλ.* 1. *παῖζε* Muret.] *καὶ παῖζε* A. *ουπιγη* A. 2. *ἀθάνατος* Elmsl. Ach. Add. 47] *θάνατος δ'* A. *ὁ θάνατος δ' ἀθάνατος* Porson. Misc. 239. *ἐστ', ἐπὰν* Nauck. Mein. Anal. Ath. 149. *παῖζε* i. e. *ama.* Herwerd. Obs. crit. 61.

ΓΥΝΑΙΚΟΜΑΝΙΑ

9

ἤδη ποτ' ἤκουσας βίον
ἀληλεμένον; Β. ναί· τοῦτ' ἐκεῖν' ἐστὶν σαφῶς·
ἅμητες, οἶνος ἡδύς, ᾠά, σησαμαῖ,
μύρον, στέφανος, αὐλητρίς. Α. ὦ Διοσκόρω,
ὀνόματα τῶν δώδεκα θεῶν διελήλυθας.

Athenaeus 14, 642 a *ἐδίδοτο δὲ καὶ ᾠὸν ἐν τῇ δευτέρᾳ τραπέζῃ . . . Ἄμφις δ' ἐν Γυναικομανίᾳ κτλ.* 2. *ἀληλεμενον* sine acc. A. *ναί* Schweigh.] *αἱ* A. 3. *ᾠά*] *ωσα* A, qui statim *σησαμαι* et 4. *αὐλητρισωδιοσκορω.* 5. *δώδεκα*] $\overline{IB}$ A. *τωνόματα* Herwerd. Obs. crit. 62. non recte: nam septem tantummodo nomina commemoravit; excidisse autem vorsum quo quinque alia ciborum nomina recensita fuerint, inprobabilis est Casauboni coniectura. tales cibos *B* dicit sibi non minus gratos esse quam duodecim deos, de quibus cf. quae ad Arist. Av. 95 adnotavimus. in personarum notatione Meinekium in Athen. ed. secutus sum, quamquam pro *ναί* scribendum arbitror *παῖ*, verbis personae *A* addendum. Eustath. 1859, 48 *ἀληλεσμένον βίον ζῆν λέγονται οἱ ῥᾳδίως καὶ ἀπόνως βιοῦντες.* Suid. *ἀληλεσμένος βίος ἐπὶ τῶν ἐν ἀφθονίᾳ τῶν ἐπιτηδείων ὄντων.* cf. Zenob. 1, 21. Diogenian. 1, 17.

10

Εὐρύβατε κνισολοιχέ, οὐκ ἔσθ' ὅπως
οὐκ ὀλβιογάστωρ εἶ σύ.

Athenaeus 9, 386 e *τοῦ μὲν ὀλβιογάστορος Ἄμφις μέμνηται ἐν*

Γυναικομανίᾳ οὑτωσὶ λέγων κτλ. Eustathius 402, 12 om. poetae fabulaeque nom. *κνισολοῖχε* A. *κνισσολοιχὲ* C Eust. *Eurybatus* is qui adpellatur per translationem dicitur, non proprie. cf. Aristoph. fr. 184. ante *οὐκ* inserendum videtur *νῦν* '*nunc* tibi occasio datur ventris explendi'. nam Dindorfii quidem tetrametri iambici vix cuiquam placebunt.

11

εὐκυβεῖν

ὅπερ νῦν εὐβολεῖν. Ἄμφις ἐν Γυναικομανίᾳ. Hesychius. *εὐκυβεῖν* litterarum ordinem secutus I. Fr. Gronov.] *εὐκολεῖν* cod. *Ἄμφις ἐν Γυναικομανίᾳ* Heringa] *ἀμφεῖς δὲ γυναικομανίαν.* — Poll. 7, 204 *οἱ δὲ βελτίους (βόλοι), ἐφ' οἷς καὶ τὸ εὐκυβεῖν ἐλέγετο.* et 9, 94 *δυσκυβεῖν τε καὶ εὐκυβεῖν.*

ΔΑΚΤΥΛΙΟΣ

12

κατ' ἀγρόν

ἀντὶ τοῦ ἐν ἀγρῷ. Ἄμφις Δακτυλίῳ. Bekker. Anecd. 104, 25.

ΔΕΞΙΔΗΜΙΔΗΣ

Nomen aliunde mihi quidem non cognitum.

13

ὦ Πλάτων,
ὡς οὐδὲν οἶσθα πλὴν σκυθρωπάζειν μόνον,
ὥσπερ κοχλίας σεμνῶς ἐπηρκὼς τὰς ὀφρῦς.

Diogenes Laert. 3, 28 *Ἄμφις...ἐν Δεξιδημίδῃ κτλ.* om. poetae fabulaeque nom. Suidas *σκυθρωπάζειν.* 2. *ἦσθα* AVE Suid. Diog. ed. Basil. cf. quae (contra Cobet. N. l. 685) ad Arist. Av. 19 adnotavimus. *Δεξιδημίδῃ*] *δ' ἐξιδημήδῃ* Monac. *ἐν δὲ ξιμήδῃ* Vindob. duo. Platonis in hac fabula partes fuisse (Mein. I 405) hoc fragmento nequaquam efficitur.

ΔΙΘΥΡΑΜΒΟΣ

14

ἐγὼ δὲ τὸν γίγγραν γε τὸν σοφώτατον.
Β. τίς δ' ἔσθ' ὁ γίγγρας; Α. καινὸν ἐξεύρημά τι
ἡμέτερον, ὃ θεάτρῳ μὲν οὐδεπώποτε
ἔδειξ', Ἀθήνησιν δὲ κατακεχρημένον
5 *ἐν συμποσίοις ἰδίᾳ 'στί. Β. διὰ τί δ' οὐκ ἄγεις*
εἰς τὸν ὄχλον αὐτόν; Α. διότι φυλὴν περιμένω
σφόδρα φιλονεικοῦσαν λαχεῖν τιν'· οἶδα γὰρ
ὅτι πάντα πράγματ' ἀνατριαινώσω κρότοις.

Athenaeus 4, 175 a *μνημονεύει τῶν γίγγρων αὐλῶν ... Ἄμφις ἐν Διθυράμβῳ λέγων οὕτως κτλ.* 1. *γίγγραν γε* Iacobs. Add. Ath. 113 extr.] *γίγγραντε* A. 3. *οὐδεπώποτε ἔδειξ'* Erfurdt.] *οὐδεπώποτ' ἐδείχθη* A. *οὐδεὶς πώποτε ἔδειξ'* Dobr. Adv. II 308. 4. *Ἀθήνησιν* A. 5. *ἰδίᾳ* K. *'στί* Dindf.] *ἥδιστον* A. 8. *πράγματ'* est in A. *ἀνατριαινώσω* K] *ἀνατριαινώσι* A. cf. Plat. com. 24.

1. Pollux 4, 76 *γίγγρας μικρός τις αὐλίσκος γοώδη καὶ θρηνητικὴν φωνὴν ἀφιείς, Φοῖνιξ μὲν ὢν τὴν εὕρεσιν, πρόσφορος δὲ μούσῃ τῇ Καρικῇ. ἡ δὲ Φοινίκων γλῶττα Γίγγραν τὸν Ἄδωνιν καλεῖ, καὶ τούτῳ ὁ αὐλὸς ἐπωνύμασται.* cf. Antiphan. 108. Axionic. 3. Poll. 4, 102. — gloriatur nescio quis se multo maiorem esse quam alium, cuius altera persona magnum aliquod inventum praedicaverat, gingra invento. *publice* se spectatoribus eum nondum monstrasse, sed in circulis urbis *privatis* (*ἰδίᾳ* 5) diu cognitum et probatum esse. itaque interrogatur ab altero, cur non iam in publicam lucem inventum suum produxerit. 8. fortasse *ὅτι πάντα τἀνθάδ' ἀν. κρ.* 'ut Neptunus *tridente* terram, sic ego gingrae cantu audientium animos ita *percutiam*, ut omnes in honorem meum adsurgant et plaudant'.

15

τί φῄς; σὺ ταυτὶ προσδοκᾷς πείσειν ἐμέ,
ὡς ἔστ' ἐραστής, ὅστις ὡραῖον φιλῶν
τρόπων ἐραστής ἐστι, τὴν ὄψιν παρείς;
ἄφρων γ' ἀληθῶς. οὔτε τοῦτο πείθομαι,
5 *οὔθ' ὡς πένης ἄνθρωπος ἐνοχλῶν πολλάκις*
τοῖς εὐποροῦσιν οὐ λαβεῖν τι βούλεται.

Athenaeus 13, 563 c *περὶ δὲ τοῦ ἐρᾶν Ἄμφις ἐν Διθυράμβῳ φησίν κτλ.* 2. *ὡραῖον φιλῶν* Iacobs. Add. Ath. 297] *ὡραίων φίλων* A. *ὡραίαν φιλῶν* Nauck. Bulletin Petersb. VI 29. 4. *γ'* Iacobs.] *τ'* A. *σώφρων τ' ἀληθῶς*; deleto post *παρείς* interrogationis signo Dobr. 5. *ἄνθρωπος*] *ἄνος* A. — 4. 'id non magis credo quam pauperem cet.' Mein.

ΕΠΤΑ ΕΠΙ ΘΗΒΑΙΣ

Cf. quae ad Alexidis *Septem* adnotantur.

16

γλαῦκοι δ' ὅλοι, ῥαχιστὰ κρανίων μέρη
εὔσαρκα

Athenaeus 7, 295 e f *Ἄμφις ἐν Ἑπτὰ ἐπὶ Θήβαις κτλ.* *ραχιστα* A. cf. Blomfield. Gloss. Aesch. Pers. 432. pisces ipsi toti, *κρανία* fissa adponuntur, quo commodius edi possint.

ΕΡΙΘΟΙ

Carminatrices Grotius. Meinek. I 406. Lobeck. Pathol. prol. 365. Demosth. 57, 45 *πολλαὶ καὶ τίτθαι καὶ ἔριθοι καὶ τρυγήτριαι γεγόνασιν ὑπὸ τῶν τῆς πόλεως . . . συμφορῶν ἀσταὶ γυναῖκες.* cum his cf. fr. 17.

17

εἶτ' οὐχὶ χρυσοῦν ἐστι πρᾶγμ' ἐρημία;
ὁ πατήρ γε τοῦ ζῆν ἐστιν ἀνθρώποις ἀγρός,
πενίαν τε συγκρύπτειν ἐπίσταται μόνος,
ἄστυ δὲ θέατρον ἀτυχίας σαφοῦς γέμον.

Stobaeus Floril. 56, 4 *Ἄμφιδος Ἐρίθων* A. 4. *θέατρον* Grot.] *θέατρόν ἐστιν.* *σαφοῦς* A] *σαφῶς.* 2. nescio quomodo ager dici potuerit *ὁ πατὴρ τ. ζ.* cum articulo. scribendum arbitror *σωτήρ γε.*

18

ὁ παῖς σοβείτω τοῖς ποτηρίοις συχνοῖς.

Athenaeus 10, 426a *κατὰ τοὺς* (*τὰς* Mein. I 406) *Ἄμφιδος Ἐρίθους παρακελεύομαι κτλ.* *συχνοῖς* L] *συχνούς* A. *συχνά* superscr. C. *συχνοὺς ἀκράτους* Mein. Anal. Ath. 192, coniectura infelicissima, siquidem *ἄκρατος* singulari tantummodo numero usurpatur: nam unus inter multos versus Alexid. 255, 5 emendandus erat. — cf. Eubul. 49.

19

νεανισκεύεται

Ἄμφις Ἐρίθοις. Photius et Suidas. *Ἐρίθοις*] *ἐν Ῥείθροις* Suid. cf. Eupol. 29. 109. Posidipp. 7 Moin.

ΙΑΛΕΜΟΣ

Moeris *Ἰάλεμος ἀττικῶς· σημαίνει δὲ . . καὶ ψυχρὸν ἄνθρωπον.* Hesychius, Photius (100, 2) Suidas *ἰαλεμώδη· τὰ ψυχρὰ καὶ οὐδενὸς ἄξια.* addit Hesychius *καὶ παροιμία, ψυχρότερος καὶ οἰκτρότερος Ἰαλέμου.* Zenob. 4, 39 *Ἰαλέμου ψυχρότερος.* Eustath. 636, 60. cf. Meinek. Menand. p. 82.

20

ἐν ταῖς θριδακίναις ταῖς κάκιστ' ἀπολουμέναις,
ἃς εἰ φάγοι τις ἐντὸς ἑξήκοντ' ἐτῶν,
ὁπότε γυναικὸς λαμβάνοι κοινωνίαν,
στρέφοιθ' ὅλην τὴν νύκτα, μηδὲ ἓν πλέον
5 *ὧν βούλεται δρῶν, ἀντὶ τῆς ὑπουργίας*
τῇ χειρὶ τρίβων τὴν ἀναγκαίαν τύχην.

Athenaeus 2, 69 b c *θρίδακα, οὗ ὁ Ἄδωνις καταφυγὼν ὑπὸ τοῦ κάπρου διεφθάρη. Ἄμφις τε ἐν Ἰαλέμῳ φησίν κτλ.* 2. *κἀντὸς*, '*vel sexagenario minor*' Herwerd. Obs. crit. 62. fortasse *ἐντὸς ἑξήκοντ' ἔτ' ὤν.* cf. Arist. Eccl. 984. Menand. 140 Mein. 'hic veterum iudicio quasi terminus fuit robustae et vegetae aetatis' Mein. Anal. Ath. 346, ubi cf. quae attulit testimonia. 3. *λαμβάνοι*] *λαμβάνει* B C. 4. *μηδὲ ἓν* Iacobs. Add. Ath. 54] *μηδὲν* B C. *ἄν* desiderabat Iacobs. scribendum utique *στρέφοιθ' ὅλην τὴν νύκτ' ἄν οὐδὲ ἓν π.* cum Mein. ed. mai. 6. *τύχην*] *φύσιν* Mein. cf. Philem. 4, 6. *membrum virile* dicit.

21

ὅστις δὲ θνητὸς γενόμενος μὴ τῷ βίῳ
ζητεῖ τι τερπνὸν προσφέρειν, τὰ δ' ἄλλ' ἐᾷ,
μάταιός ἐστιν ἕν γ' ἐμοὶ καὶ τοῖς σοφοῖς
κριταῖς ἅπασιν ἐκ θεῶν τε δυστυχής.

Athenaeus 8, 336 c *Ἄμφις ὁ κωμῳδιοποιὸς ἐν Ἰαλέμῳ φησίν κτλ.* 3. *ἕν γ' ἐμοὶ* Iacobs. Add. Ath. 183] *ἐργεμοι* A. cf. Aristoph. fr. 267. Soph. OC. 1214. — 2. *τὰ δ' ἄλλα*, i. e. *τὰ μὴ τερπνά.*

22

ὅστις κορακῖνον ἐσθίει θαλάττιον
γλαύκου παρόντος, οὗτος οὐκ ἔχει φρένας.

Athenaeus 7, 309 a *Ἄμφις ἐν Ἰαλέμῳ κτλ.* cf. 26 et de *coracinis* Pherecr. 56.

ΚΑΛΛΙΣΤΩ

Cf. fr. 47.

ΚΟΝΙΑΤΗΣ

Pollux 7, 124. 5 *χρὴ τὰ οἰκοδομήματα . . . τιτάνῳ χρίειν . . . καὶ κονιάματα δ' ἂν εἴποις, καὶ τὸ ῥῆμα κονιᾶν, καὶ τὸν τοῦτο δρῶντα κονιατήν· Ἄμφιδος δὲ καὶ δρᾶμα Κονιατής.* Mein. I 406. Suidas *κονιαταί· οἱ τοὺς τοίχους παραχρίοντες.* Hesych. *κονιαταί· ἀσβεστήριοι· καὶ οἱ χρῖσται.* — *λάκκοι κονιατοί* Xen. Anab. 4, 2, 22. cf. Demosth. 3, 29. fragmenta non inveniuntur.

ΚΟΥΡΙΣ

Cf. quae ad Antiphanis *Κουρίδα* adnotavimus.

23

τυφλὸς ὁ Πλοῦτος εἶναί μοι δόκεῖ,
ὅστις γε παρὰ ταύτην μὲν οὐκ εἰσέρχεται,

παρὰ δὲ Σινώπῃ καὶ Λύκᾳ καὶ Ναννίῳ
ἑτέραις τε τοιαύταισι παγίσι τοῦ βίου
5 ἔνδον κάθητ' ἀπόπληκτος οὐδ' ἐξέρχεται.

Athenaeus 13, 567 f τούτων τῶν (πλουσίων Mein. Anal. Ath. 357) ἑταιρῶν καὶ Ἄμφις μνημονεύει ἐν Κουρίδι λέγων κτλ. 4. ἑταίραις A. — de *Nannio* quae Λῖξ ἐπεκαλεῖτο (Euhul. 105) copiosius Athen. 13, 587 a sq. παγίσι τοῦ βίου nimis mihi languidum et ne recte quidem dictum videtur. scribo παγίσι χρυσίου.

24

Athenaeus 13, 591 d εἴρηκε δὲ περὶ τοῦ πλούτου αὐτῆς (Φρύνης)...καὶ Ἄμφις ἐν Κουρίδι.

ΚΥΒΕΥΤΑΙ

25

τὸν σκιραφευτήν
Ἄμφις εἴρηκεν ἐν τοῖς Κυβευταῖς. Pollux 7, 203.

ΛΕΥΚΑΔΙΑ

Sic enim sine dubio, non Λευκάς inscripta fuit. etiam Alexis et Menander Λευκαδίαν scripserunt. Mein. I 406.

26

ὅστις ἀγοράζων ὄψον . . . . .
ἑξὸν ἀπολαύειν ἰχθύων ἀληθινῶν,
ῥαφανῖδας ἐπιθυμεῖ πρίασθαι, μαίνεται.

Athenaeus 7, 277 c φησὶν Ἄμφις ἐν Λευκάδι (Λευκαδίᾳ). atque omisso fabulae titulo 2, 57 b. 1. ἀγοράζειν 57. 2. ἀπολαύειν] ἄπολλον 57. — cf. fr. 22. 'non intellego quo pacto ἰχθύες ἀληθινοί opponi possint ταῖς ῥαφανῖσι.' Mein. Anal. Ath. 29, conferens tamen Machon. Ath. 6, 244 h καράβων ἀληθινῶν. neuter poeta sic scripsit. Amphidis fuit ἰχθύων Φαληρικῶν. Arist. Ach. 901. Av. 76. fr. 507. Antiphan. 206, 7. Eubul. 75, 4. Sotad. 1, 30. Matron et Archestr. Athen. 4, 135 a. 7, 285 b. Aristot. H. an. 6, 15. Bursian. Geogr. gr. I 265.

ΟΔΥΣΣΕΥΣ

27

ἐρίοισι τοὺς τοίχους κύκλῳ Μιλησίοις,
ἔπειτ' ἀλείφειν τῷ Μεγαλλείῳ μύρῳ,
καὶ τὴν βασιλικὴν θυμιᾶτε μίνδακα.

Β. ἀκήκοας σύ, δέσποτ', ἤδη πώποτε
τὸ θυμίαμα τοῦτο;

Athenaeus 15, 691 a *τοῦ Μεγαλλείου μύρου μνημονεύει καὶ Ἄμφις ἐν Ὀδυσσεῖ διὰ τούτων κτλ.* ι subscr. ubique om. A. 4. *δέσποτηδη* A. — ante v. 1 *ἐμπεταννύναι λέγω* supplet Mein. ed. mai. et Anal. Ath. 337.

fortasse conloquuntur Penelope recepto marito domum exornari iubens et Eumaeus. — Hesych. *μίνδαξ· θυμίαμα ποιόν.*

ΟΠΩΡΑ

Cf. fr. 48.

ΟΥΡΑΝΟΣ

28

εἰς τὴν ἑσπέραν χορτάζομεν
ἅπασιν ἀγαθοῖς.

Athenaeus 3, 100 a *Ἄμφις ἐν Οὐρανῷ κτλ.* *χορταζόμενα πᾶσιν* A. *χορτάζομεν* | *ἅπασιν* vel *ἑσπέραν* | *χορταζόμεσθα πᾶσιν* Porson. cf. Cobet. N. l. 32. *χορτάζομαι* | *ἐν ἅπασιν* Bergk. R. c. Att. 157. cf. Cratin. 142.

ΠΑΝ

29

δεῖπνον γὰρ ἀτελὲς οὐ ποιεῖ παροινίαν.

Athenaeus 10, 421 a *ὡς Ἄμφις φησὶν ἐν Πανί.* *δεῖπνον γὰρ ἀτελὲς* K.] *ἀτελὲς γὰρ δεῖπνον* A. *εὐτελὲς* C inter versus. Eustath. 881, 226 *ἀτελῆ κατὰ Παυσανίαν τὰ ἀδάπανα.*

ΠΛΑΝΟΣ

Hesych. *πλάνος· πλανήτης, ἀπατεών.* Cephisodorum quendam (Nicostr. 24) et Pantaleontem potissimum *πλάνους* adpellatos esse narrat Athen. 14, 615 e sq.

30

τἀκπώματ' εἰς τὸ φανερὸν ἐκνενιτρωμένα
5 *θεῖναι. κύαθος δ' ἦν ἀργυροῦς, τἀκπώματα*
ἦγεν δύο δραχμάς, κυμβίον δὲ τέτταρας

ἴσως ἑτέρας, ψυκτηρίδιόν τε δέκ' ὀβολούς,
Φιλιππίδου λεπτότερον. Β. ἀλλὰ ταῦθ' ὅλως
πρὸς ἀλαζονείαν οὐ κακῶς νενοημέν' ἦν.

v. 1—8 (*λεπτότερον*) Athenaeus 11, 502. 3 *Ἄλεξις ἐν Ἱππίσκῳ ψυκτηρίδιον καλεῖ διὰ τούτων κτλ.* v. 3 sq. idem 6, 230 b *Ἄλεξις ἐν Ἱππίσκῳ νεανίσκον παράγων ἐρῶντα καὶ ἐπιδεικνύμενον τὸν πλοῦτον τῇ ἐρωμένῃ ταῦτα ποιεῖ λέγοντα κτλ.* 2. sic A. *ἦ συνῆν* Grotius Excerpt. 557. *ἦγον. ἦν δ'* Mein. *οὐ συνῆν Ἀγωνίδι* Herw. Mnem. nov. VI 68. 3. *παισί* A 502] *πᾶσι* A 230. 5. *τἀκπώματα* A 230] *τ' ἐκπώματ'* A 502. 6. *τέτταρας ἴσως ἑτέρας* A 230] *τέτταρας* A 502. cf. Philet. 9, 1. 2. 7. *ψυκτηρίδιόν τε* A 503 (*δὲ* Schweigh.)] *ψυκτηρίδιον* 230. *δέκ'* A 230] *δύ'* 503. v. 8. 9 ex 230 poetae contra Meinekium (Menand. p. 130) reddidit Cobet. N. l. 361. quod praetermisit Kaibelius Herm. XVIIII 259, pro *τέτταρας ἴσως ἑτέρας* scribens *δύ' ἑτέρας*. *νενοημένα* Athen.

narrat amator Agonidis, quomodo ipsam cum nescio quo homine (*τῷ ξένῳ*) in deversorio et exceperit et deceperit. Agonidem adfuisse ipse Athenaeus testatur. v. 2 scribo *εἰς τὴν κατάλυσιν ἦγον, ἣν ἐθεωσάμην, quam sulfuris suffitu purgandam curaveram.* cf. Hom. Od. 22, 494. 23, 50. Plin. N. h. 35, 177. Schoemann. Ant. gr.[2] II 352 et de forma (pro *ἐθειωσ.*) Ararot. 12. Hesych. *θεώματα· τὰ περικαθαρτήρια. αἴθων* apud comicos non invenitur nisi ubi Homerum imitantur, Arist. Pac. 1328. Hermipp. 46, 7. — de *Philippide* cf. 144.

3

ὦ μῆτερ, ἱκετεύω σε, μὴ 'πίσειέ μοι
τὸν Μισγόλαν· οὐ γὰρ κιθαρῳδός εἰμ' ἐγώ.

Athenaeus 8, 339 c *Ἄλεξις ἐν Ἀγωνίδι ἢ Ἱππίσκῳ κτλ.* 1. *'πίσειε* VL] *πείσειε* A. Eurip. Or. 255 *ὦ μῆτερ, ἱκετεύω σε, μὴ 'πίσειέ μοι τὰς αἱματωπούς καὶ δρακοντώδεις κόρας· αὗται γάρ, αὗται πλησίον θρώσκουσί μου.* de *Misgola,* citharoedorum amatore, cf. Antiphan. 26, 14.

4

ὁ τρίτος οὗτος δ' ἔχει
σύκων κυλιστὸν στέφανον· ἀλλ' ἔχαιρε καὶ
ζῶν τοῖς τοιούτοις.

Athenaeus 15, 678 e *εὑρίσκω δὲ καὶ παρὰ τοῖς κωμικοῖς κυλιστόν τινα καλούμενον στέφανον... Ἄλεξις ἐν Ἀγωνίδι ἢ Ἱππίσκῳ* (*ἱππίσκω* A) *κτλ.* 1. *οὗτος δ'* Mein.] *δ' οὗτος* A. 'mortuorum quorundam hominum imagines contemplari videntur. verba *ἀλλ' ἔχαιρε κτλ.* fortasse alteri interlocutori tribuenda sunt' Mein. cf. Cobet. N. l. 20. 1. Nicander Athen. 678 f *ἐκκύλιστοι στέφανοι καὶ μάλιστα οἱ ἐκ ῥόδων.* cf. 272, 5. 207. Archipp. 40. Eubul. 73.

5

μεστὴν ἀκράτου θηρίκλειον ἔσπασεν
κοίλην ὑπερθύουσαν.

Athenaeus 11, 471e *Ἄλεξις ... ἐν Ἱππίσκῳ* (ηπακωι A) *κτλ.* 2. *ὑπερβρύουσαν* Sylburg. *ὑπεραφρίζουσαν* (Eubul. 56, 2. Aristophont. 14, 3) vel *ὑπερζέουσαν* Herwerd. Obs. crit. 66. 7. 'sed quidni poculum vino plenum dicatur *superaestuare*?' Mein. Anal. Ath. 217.

6

Athenaeus 3, 120b *Φειδίππου δέ, καὶ γὰρ οὗτος ταριχοπώλης, Ἄλεξις* (*μνημονεύει*) *ἐν Ἱππίσκῳ.* cf. 218. Timocl. 21, 5.

ΑΔΕΛΦΟΙ

De tempore cf. quae ad Antiphanis *Νεοττίδα* adnotantur.

7

ἐγὼ δέδωκα γάρ τι ταύταις; εἰπέ μοι.
Β. οὐκ ἀλλ' ἀπέδωκας ἐνέχυρον δήπου λαβών.

Athenaeus 6, 223f *Ἄλεξις ... ἐν Ἀδελφοῖς κτλ.* 1. *ἐγὼ οὐκ ἔδωκα* G. A. Hirschig. Annot. crit. 9. cuius emendationis necessitatem auctor eis quae adnotavit mihi quidem nequaquam probavit. — cf. 209. Antiphan. 169.

ΑΙΠΟΛΟΙ

Cf. Mein. I 396. 488.

8

Suidas *τὰ τρία τῶν εἰς θάνατον· τοῖς εἰς θάνατον κατακριθεῖσι τρία παρετίθουν, ξίφος, βρόχον, κώνειον...μέμνηται Ἄλεξις ἐν Αἰπόλοις.* Zenobius 6, 11 *τὰ τρία τῶν εἰς τὸν θάνατον· μέμνηται ταύτης Ἀλέξανδρος ἐν Αἰπόλοις. Ἀναξανδρίδης* Hemsterhus. Arist. Plut. p. 324, *Ἀλέξανδρος ὁ Αἰτωλός* Th. Canterus. sed Zenobius Milleri (Mélanges 355. 6) recte *Ἄλεξις.* de proverbio cf. Aristoph. fr. 549.

ΑΙΣΩΠΟΣ

De tempore cf. Meinek. 381—390.

9

κομψόν γε τοῦτ' ἐστὶν παρ' ὑμῖν, ὦ Σόλων,
ἐν ταῖς Ἀθήναις, δεξιῶς θ' εὑρημένον.
Σ. τὸ ποῖον; Α. ἐν τοῖς συμποσίοις οὐ πίνετε
ἄκρατον. Σ. οὐ γὰρ ῥᾴδιον· πωλοῦσι γὰρ

5 ἐν ταῖς ἀμάξαις εὐθέως κεκραμένον,
οὐχ ἵνα τι κερδαίνωσι, τῶν δ' ὠνουμένων
προνοούμενοι, τοῦ τὰς κεφαλὰς ὑγιεῖς ἔχειν
ἐκ κραιπάλης. τοῦτ' ἔσθ', ὁρᾷς, Ἑλληνικὸς
πότος, μετρίοισι χρωμένους ποτηρίοις
10 λαλεῖν τι καὶ ληρεῖν πρὸς αὐτοὺς ἡδέως·
τὸ μὲν γὰρ ἕτερον λουτρόν ἐστιν, οὐ πότος,
ψυκτῆρι πίνειν καὶ κάδοις. Α. θάνατος μὲν οὖν.

Athenaeus 10, 431 d *Λύσανδρος ὁ Σπαρτιάτης τὸν οἶνον ὑδαρῆ πωλούντων τῶν καπήλων ἐν τῷ στρατοπέδῳ, κεκραμένον ἐκέλευσεν αὐτὸν πωλεῖν, ἵν' αὐτὸν ἀκρατέστερον ὠνοῖντο. τὸ παραπλήσιον καὶ Ἄλεξις εἴρηκεν ἐν Αἰσώπῳ οὕτως κτλ.* 1. *ἐστὶ* A. *ὦ Σόλων* hic VL, initio v. 3 A. 3. *συμποσίοισιν* et *πίνεται* A. 5. *ἐν*] *ἐπὶ*? 9. *ποτος* et *χρώμενος* A. *τρόπος* pro *πότος* Naber. Mnem. nov. VIII 254. 10. *αὐτοὺς* 'i. e. *ἀλλήλους*' Mein.] *αὐτοὺς* A. 11. *λουτρον* et *ποτος* A. 12. *B.* add. Herwerd. Nov. add. crit. 30.

4. *ὤνιον* pro *ῥᾴδιον* G. A. Hirschig. Ann. crit. 9. debebat certe *ὤνιος* (*ὁ ἄκρατος*). sed *ῥᾴδιον* rectissime dictum: non facile est merum bibere, quia iam mixtum venumdant. 5. Pollux 7, 192 *ἐπίπρασκον..τὸ γλεῦκος ἐφ' ἁμαξῶν εἰς τὴν ἀγορὰν κομίζοντες.* 7. *προνοούμενοι* primum cum *τῶν ὠνουμένων* coniungitur, deinde per *ἐπεξήγησιν* additur *τοῦ — ἔχειν.* 8. Bekker. Anecd. 45, 13 (attulit Mein.) *κραιπάλη· ἡ ἀφ' ἑσπέρας ἄχρι εἰς ὄρθρον πόσις.* 10. *λαλεῖν τι καὶ ληρεῖν* poetam scripsisse non credo, sed *ᾄδειν τι κτλ.* — scaenam fabulae Athenis non fuisse ex verbis *παρ' ὑμῖν κτλ.* v. 1. 2 concludit Grauertus De Aesopo 29, non recte: cf. Arist. Ach. 729. 829. Lys. 170.

ΑΙΧΜΑΛΩΤΟΣ

10

ἡμίκακον

Ἄλεξις Αἰχμαλώτῳ. Bekker. Anecd. 98, 13. *ἐκμαλώτῳ* cod. — *ἡμικάκως* Arist. Thesm. 449. cf. Poll. 6, 161.

ΑΛΕΙΠΤΡΙΑ

Cf. quae ad Antiphanis *Ἀλείπτριαν* adnotavimus.

ΑΜΠΕΛΟΤΡΓΟΣ

Fuit etiam Amphidis *Ἀμπελουργός*. quo iure Meinekius I 397 Alexidi eam abnegandam censeat non intellego.

11

ἀναδενδράς

Ἄλεξις Ἀμπελουργῷ. Bekker. Anecd. 82, 4. cf. Pherecr. 109.

12

ἀπολογηθῆναι

ἀντὶ τοῦ ἀπολογήσασθαι. Ἄλεξις Ἀμπελουργῷ. Bekker. Anecd. 82, 5.

ΑΜΦΩΤΙΣ

Pollux 10, 75 *εἶεν δ' ἂν καὶ ἀμφωτίδες ἐκ τῶν σκευῶν..εἰπόντος..ἐν Κερκύονι Αἰσχύλου* (fr. 97 N.) *ἀμφωτίδες τοι τοῖς ἐνωτίοις πέλας. Ἀλέξιδος δὲ καὶ δρᾶμα Ἀμφωτίς.* Hesych. *ἀμφώτιδες· ἃς ἔχουσιν οἱ παλαισταὶ περὶ τοῖς ὠσίν.* Eustath. 1324, 88 *ἀμφώτιδες κατὰ Παυσανίαν, ἃς οἱ παλαισταὶ παρὰ τοῖς ὠσὶν εἶχον. ἄλλως δέ γε καὶ ἐκπώματος εἶδος αἱ ἀμφώτιδες.* Athen. 11, 783d *ἀμφωτίς· ξύλινον ποτήριον, ᾧ χρῆσθαι τοὺς ἀγροίκους Φιλητᾶς φησι τοὺς ἀμέλγοντας εἰς αὐτὸ καὶ οὕτω πίνοντας.* utra *ἀμφωτίς* fabulae nomen dederit ignoramus. neque de accentu constat. Mein. I 396. 7.

13

ὀνοκόπος

τῶν τοὺς ἀλέτωνας τῶνδε κοπτόντων ὄνους.

Pollux 7, 20 *τὸν δὲ νῦν μυλοκόπον ὀνοκόπον Ἄλεξις εἴρηκεν ἐν Ἀμφωτίδι κτλ.* 2. *ἀλέτωνας*] *ἀλέκτονας* A. *τῶνδε*] *τούσδε* Mein. '*ὀνοκόπος*, eorum unus qui molares istos lapides caedunt. Xenoph. Anab. 1, 5, 5 *ὄνους ἀλέτας.*' Mein. — cf. 204.

14

μετάβα

ὥσπερ καὶ ἀνάβα καὶ κατάβα. Ἄλεξις Ἀμφωτίδι. Bekker. Anecd. 108, 10. cf. Arist. Vesp. 979. Ran. 35.

ΑΝΤΕΙΑ

Cf. Meinek. I 32. 322. 377. 393 et quae ad Antiphanis *Anteam* nos adnotavimus.

ΑΠΕΓΛΑΥΚΩΜΕΝΟΣ

Hominem in Glaucum commutatum Casaubonus, glaucomate adfectum Meinekius interpretatur I 397. *Caerulatum* vertit Grotius. *Glaucoma* fabula fuit Cn. Naevii. cf. O. Ribbeck. Com. Rom. fr.[2] 15. — Timoleontem *ἀπογλαυκωθῆναι τὴν ὄψιν* narrat Plutarchus Tim. 37. idoneam comoediae fabulam habeas, si simulasse aliquem *γλαύκωμα* et familiarium servorumque animos ea ratione examinavisse statuas.

15

παρ' ἐμοῦ δ', ἐὰν μὴ καθ' ἓν ἕκαστον πάντα δῷς,
χαλκοῦ μέρος δωδέκατον οὐκ ἂν ἀπολάβοις.

Β. δίκαιος ὁ λόγος. Α. ἀβάκιον, ψῆφον· λέγε.
Β. ἔστ' ὠμοτάριχος πέντε χαλκῶν. Α. λέγ' ἕτερον.
5 *Β. μῦς ἑπτὰ χαλκῶν. Α. οὐδὲν ἀσεβεῖς οὐδέπω.*
λέγε. Β. τῶν ἐχίνων ὀβολός. Α. ἀγνεύεις ἔτι.
Β. ἆρ' ἦν μετὰ ταῦθ' ἡ ῥάφανος ἣν ἐβοᾶτε; Α. ναί·
χρηστὴ γὰρ ἦν. Β. ἔδωκα ταύτης δύ' ὀβολούς.
Α. τί γὰρ ἐβοῶμεν; Β. τὸ κύβιον τριωβόλου.
10 *Α. ὀνεῖν κεχειρῶν γε οὐκ ἐπράξατ' οὐδὲ ἕν.*
Β. οὐκ οἶσθας, ὦ μακάριε, τὴν ἀγοράν, ὅτι
κατεδηδόκασι τὰ λάχαν' αἱ τρωξαλλίδες.
Α. διὰ τοῦτο τὸ τάριχος τέθεικας διπλασίου;
Β. ὁ ταριχοπώλης ἐστίν· ἐλθὼν πυνθάνου.
15 *γόγγρος δέκ' ὀβολῶν. Α. οὐχὶ πολλοῦ. λέγ' ἕτερον.*
Β. τὸν ὀπτὸν ἰχθὺν ἐπριάμην δραχμῆς. Α. παπαῖ,
ὥσπερ πυρετὸς ἀνῆκεν, εἶτ' ἐν ἐπιτέλει.
Β. πρόσθες τὸν οἶνον, ὃν μεθυόντων προσέλαβον
ὑμῶν, χόας τρεῖς, δέκ' ὀβολῶν ὁ χοῦς.

Athenaeus 3, 117 e *ἐν τῷ Ἀπεγλαυκωμένῳ* (*ἀπευγλ.* A) *συμβολάς τις ἀπαιτούμενός φησι κτλ.* v. 4 Athen. 3, 117 c *ὠμοτάριχον δέ τινα κέκληκεν Ἄλεξις ἐν Ἀπεγλαυκωμένῳ* (*ἀπευγλ.* A). 1. *δῶς*] *δ' ὡς* A. *θῆς* Mein. ed. mai. *ἐὰν* | *μή μοι καταλέγῃς καθ' ἓν ἕκαστον πάνθ' ἁπλῶς* Dobr. Adv. II 303. 3. *ψήφους* Mein. *λέγε. ἔστ'* VL] *λέγεσθαι* A. 6. *ἔτι*] *ὅτι* A. 7. *ἐβοᾶτε: Α. ναί* Kidd. Pors. Misc. 236] *ἐβοᾶτ' εἶναι* A. *ἢ 'πεβοᾶτε* Mein. Anal. Ath. 55. 9. *τριωβόλους* A. 10. *ὅλοιο· σίσαρον δ' οὐκ ἐπέθηκας οὐδὲ ἕν* Mein. Anal. 12. *κατεδηδόκασιν* et *λάχανα* A, omittens *αἱ*, add. a Dindorfio. 13. *τὸ* add. Schweigh. 17. *εἶτ' ἐπέτεινε δή* Iacobs. Add. Ath. 82. *εἶτ' ἐπέτεινεν αὖ* Dobr. Adv. II 303. *ἀνῆκ', ἐπέτεινε δ' ἐπὶ τέλει* Mein. ed. mai., *πυρετὸς ἀνῆκεν, εἶτ' ἐπέτεινεν ἐπὶ τέλει*, deleto *ὥσπερ* Anal. Athen. 55. 18. *ὃν* om. A. 19. *οχους* A.

ἀπαιτούμενον τὰς συμβολάς recte Schweighaeuserus interpretatur eum a quo poscebantur symbolae, i. e. eum qui eas a singulis sodalibus acceperat ut nomine omnium pretium epularum cauponi coquove persolveret. is ad rationem suhducendam v. 3 *tabulam et calculos* postulat. 3. cf. Aristoph. Ran. 623. 637. 5. *μῦς*, ut tunc iam etiam *ἰχθῦς* pro *ἰχθύες*. dicuntur etiam *μύακες*. Epicharm. Athen. 3, 85 d. Speusipp. Athen. 86 d. 7. *ἐβοᾶτε*, ut *ἀναβοᾶν τὴν εὐπυγίαν* 98, 11. 12. 13. *τὸ τάριχος*, i. e. *τὸ κύβιον* v. 9. 17. Hippocr. Affect. int. II 217 Lind. *ἀνῆκεν ὁ πόνος, καὶ αὖθις ἐπέλαβεν ὀξὺς δι' ὀλίγου.*

1. *καθ' ἓν ἕκαστον πάντα* nemo umquam comicus coniunxit:

scribendum *ἐὰν μὴ καθ' ἓν ἕκαστον καταμάθω.* 10. *ἄνευ γε χλωρῶν, ὧν ἐπεπάσατ' οὐδὲ ἕν.* cybium adparaverat coquus cum administris nihil addens *τῶν χλωρῶν ἡδυσμάτων.* qua de re excusat fori inopiam, omnia id genus ab erucis consumpta dicens. cf. 84, 5. 127. 17. *εἶτ' ἐπενετάθη?*

16

τοὺς μὲν στρατηγοὺς τὰς ὀφρῦς ἐπὰν ἴδω
ἀνεσπακότας, δεινὸν μὲν ἡγοῦμαι ποιεῖν,
οὐ πάνυ τι θαυμάζω δὲ προτετιμημένους
ὑπὸ τῆς πόλεως μεῖζόν τι τῶν ἄλλων φρονεῖν.
τοὺς δ' ἰχθυοπώλας τοὺς κάκιστ' ἀπολουμένους
ἐπὰν ἴδω κάτω βλέποντας, τὰς δ' ὀφρῦς
ἔχοντας ἐπάνω τῆς κορυφῆς, ἀποπνίγομαι.
ἐὰν δ' ἐρωτήσῃς 'πόσου τοὺς κεστρέας
πωλεῖς δύ' ὄντας;' 'δέκ' ὀβολῶν' φησίν. 'βαρύ·
ὀκτὼ λάβοις ἄν;' 'εἴπερ ὠνεῖ τὸν ἕτερον.'
'ὦ 'τάν, λαβὲ καὶ μὴ παῖζε.' 'τοσουδί; παράτρεχε.'
ταῦτ' οὐχὶ πικρότερ' ἐστὶν αὐτῆς τῆς χολῆς;

Athenaeus 6, 224 f *Ἄλεξις Ἀπεγλαυκωμένῳ κτλ.* 2. *ποεῖν* A. an *παθεῖν?* 4. *μεῖζόν τι* Wakefield. Silv. crit. II 71] *μείζω* A. 5. *δὲ* A. 8. *δ'* B] *τ'* A. *ἐρωτήσῃς* C] *ἐρωτήσας* A. *ἐρωτήσω* Dindf. in adnot. 9. *φησί* A. 11. *τὰν* A. *τοσουδί* Dobr. Arist. Plut. 361 p. 44] *τοὺς οὐδεῖ* A. *τόσου δεῖ* Coraes.

11. versum pravissima caesura elumbem ab Alexide scriptum esse numquam adducar ut credam. fortasse *λαβέ, μὴ παίσῃς. τοσουδί, tam vili pretio?* interrogat cetarius; *abi in malam crucem.* — cf. Amphid. 30.

17. 18

καὶ γὰρ ἑψητοί τινες
παρῆσαν ἡμῖν δαιδάλεοί πως
. . . . . .
τῶν οὖν κορακίνων πεῖραν οὐχὶ λαμβάνεις;
οὐδὲ τριχίδων, οὐδ' οἷον ἑψητῶν τινων;

Athenaeus 7, 301 ab *Ἄλεξις ἐν Ἀπεγλαυκωμένῳ· καὶ γὰρ — πως. τὰ γὰρ καλὰ πάντα Δαιδάλου καλοῦσιν ἔργα. καὶ πάλιν· τῶν οὖν κτλ.* Eustathius 1169, 12 *Δαιδάλου γὰρ ἐκάλουν ἔργον πᾶν τὸ καλόν. διὸ καὶ Ἄλεξίς φησιν ὡς ἑψητοί τινες παρῆσαν δαιδάλεοί πως, ἤγουν καλοί.* verba *τὰ γὰρ καλὰ — ἔργα* ab Alexideis seclusit Meinekius. 2. *δαιδαλαῖοι πως* A. Reisig. Coniect. 131 *παρῆσαν ἡμῖν δαιδάλεοι, νὴ τὸν Δία. Β. πῶς δαιδάλεοι; Α. τὰ γὰρ*

καλὰ πάντα Δαιδάλου καλοῦσιν ἔργα. Herodian. II 909, 7 *τὸ μέντοι δαιδάλεος τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν.* 3. *λαμβάνεις*] *λ* in rasura maiore m.[1] A. an *οὐκ ἐλάμβανες*; 4. *οὐδ' οἷον*, ut 201, 4. Phrynich. Epit. 372 *οὐχ οἷον ὀργίζομαι· κίβδηλον ἐσχάτως...λέγειν δὲ χρὴ οὐ δήπου.* Bekker. Anecd. 110, 13 *οὐχ οἷον ὀρ(γ)ίζομαι καὶ τὰ ὅμοια. σὺ δέ· πολὺ ἀπέχω τοῦ ὀρ(γ)ίζεσθαι.* (*ὀργ.* pro *ὀρ.* Lob.). *ἑψητοί, κορακῖνοι, τριχίδες* sunt pisces vilissimi. Eupol. 5. 154. Aristoph. fr. 52. Eq. 662. Pherecr. 56.

ΑΠΟΒΑΤΗΣ

'Ex prioribus poetae fabulis fuisse videtur' (Mein. I 380. 1), scripta circiter Ol. 103. Bekker. Anecd. 198, 11 *ἀποβατῶ· ἀγῶνος ὄνομα, ἐν ᾧ οἱ ἔμπειροι τοῦ ἐλαύνειν ἅρματα ἅμα θεόντων τῶν ἵππων ἀνέβαινον διὰ τοῦ τροχοῦ ἐπὶ τὸν δίφρον καὶ πάλιν κατέβαινον ἀπταίστως· καὶ ἦν τὸ ἀγώνισμα πεζοῦ ἅμα καὶ ἱππέως.* et 426, 30 *ἀποβατῶν ἀγών· οὗτος ὁ ἀγὼν ἤγετο τῇ Ἀθηνᾷ κτλ.* Harpocrat. 26, 10 *ὁ ἀποβάτης ἱππικόν τι ἀγώνισμα, καὶ ἀποβῆναι τὸ ἀγωνίσασθαι τὸν ἀποβάτην.* similiter Etym. m. 124, 31 et Suidas *ἀποβάτης.* cf. etiam Lycurg. fr. 20 (p. 262). Dinarch. 10, 1 (p. 330). 64, 1 (p. 337 Saupp.). Plutarch. Phocion. 20 *Φῶκον δὲ τὸν υἱὸν βουλόμενον ἀγωνίσασθαι Παναθηναίοις ἀποβάτην ἀφῆκεν. καὶ γὰρ ἦν ἄλλως φιλοπότης καὶ ἄτακτος ὁ νεανίσκος. νικήσαντος δὲ καὶ πολλῶν αἰτουμένων ἑστιᾶσαι τὰ νικητήρια, τοὺς ἄλλους Φωκίων παραιτησάμενος ἑνὶ τὴν φιλοτιμίαν ταύτην συνεχώρησεν κτλ.* perverse eadem narrat Athenaeus 4, 168. 9. hoc ipsum certamen Alexidi comoediae scribendae occasionem praebuisse arbitror, ut *Autolyci* victoria praebuit Eupolidi. *Ἀποβάτης* est etiam Diphili. similes tituli sunt *Παγκρατιαστής* Alexidis, Theophili, Philemonis, *Ἰσθμιονίκης* Mnesimachi, *Πένταθλος* Xenarchi.

19

Χορόνικος ὁ ποιητὴς ὁδί.

Β. τίνων ποιητὴς ᾀσμάτων; Α. σεμνῶν πάνυ.
Β. τί πρὸς τὸν Ἀργᾶν οὗτος; Α. ἡμέρας δρόμῳ
κρείττων.

Athenaeus 14, 638c *τοῦ Ἀργᾶ μνημονεύει Ἄλεξις ἐν Ἀποβάτῃ οὕτως κτλ.* Eustathius 1226, 15 *ὁ συγκρίνας ᾀσμάτων σεμνῶν ποιητήν τινα πρὸς ἕτερον τοιοῦτον τοπικώτερον* (*κωμικώτερον* ?) *καὶ εἰπὼν κρείττω ἐκεῖνον εἶναι ἡμέρας δρόμῳ. Ἄλεξις δὲ λέγεται* (!) *εἶναι ὁ τοῦτο γράψας.* 1. *ὁ* om. A. 3. *τι* A. *Choronicus* aliunde non cognitus. fortasse nomen est fictum, ut Agoracritus Aristophanis. de *Arga* cf. Anaxandrid. 15, et de comparatione Arist. Nub. 430. Ran. 91.

ΑΠΟΚΟΠΤΟΜΕΝΟΣ

Vel *Ἀποκοπτομένη*. Meinek. I 397. an *Ἀποκοιμώμενος*? cf. Eupol. 208. nam quid sit *Ἀποκοπτόμενος* nescio, nisi forte Amor intellegitur *τὰ πτερὰ ἀποκοπτόμενος ὑφ' ἑταίρας*. cf. Aristophont. 11, 5.

20

λέγεται γὰρ λόγος
ὑπὸ τῶν σοφιστῶν, μὴ πέτεσθαι τὸν θεὸν
τὸν Ἔρωτα, τοὺς δ' ἐρῶντας· αἰτίαν δ' ἔχειν
ἐκεῖνον ἄλλως, ἠγνοηκότας δὲ τοὺς
γραφεῖς ἔχοντα πτέρυγας αὐτὸν ζωγραφεῖν.

Athenaeus 13, 562 d *Ἄλεξις ἐν Ἀποκοπτομένῳ κτλ.* Eustathius 987, 25 *Ἄλεξις δὲ οὐ τὸν Ἔρωτα πέτεσθαι λέγει, ἀλλὰ τοὺς ἐρῶντας.* 3. *ἄλλως αἰτίαν ἔχειν*, i. e. perperam alatum putari. cf. Pherecr. 147.

21

οὐ συμποσίαρχος ἦν γάρ, ἀλλὰ δήμιος
ὁ Χαιρέας, κυάθους προπίνων εἴκοσιν.

Athenaeus 10, 431 c *Ἄλεξις ἐν Ἀποκοπτομένῃ κτλ.* quae post *εἴκοσιν* A praebet *ἴσον ἴσῳ πάλιν τὴν μείζονα ἤτουν*, ea ex Sophili fr. 3 (Athen. 431 a) temere repetita esse vidit Schweighaeuser. — *carnifex* per iocum dicitur Chaereas nescio quis, quod interficere voluerit convivas nimia potione.

ΑΡΧΙΛΟΧΟΣ

Ἀρχίλοχοι Cratini maioris fuerat comoedia. cf. hui. ed. I 11. Meinek. I 390.

22

ὦ τὴν εὐτυχῆ ναίων Πάρον, ὄλβιε πρέσβυ,
ἣ κάλλιστα φέρει χώρα δύο τῶν συναπασῶν,
κόσμον μὲν μακάρεσσι λίθον, θνητοῖς δὲ πλακοῦντας.

Athenaeus 14, 644 b *ὅτι δὲ καλοὺς πλακοῦντας ἐν Παρίῳ τοῦ Ἑλλησπόντου φαγεῖν ἔστιν οἱ ἐπιδημήσαντες μαρτυρήσουσιν. Ἄλεξις γὰρ πεπλάνηται λέγων τοὺς ἐκ Πάρου· λέγει δὲ οὕτως ἐν τῷ ἐπιγραφομένῳ Ἀρχιλόχῳ κτλ.* 1. *εὐτυχῆ* A] *εὐτείχη* Dindf.. *εὐτειχῆ* Mein. cf. Lobeck. Paral. 245. *ὄλβιαε πρεσβυ* A. 2. *η* A. quod M. Schmidtius (Hesych. *πάγον εὐτειχῆ*) ab Alexide Euripidis canticum Androm. 1010 *ὦ Φοῖβ' ὁ πυργώσας τὸν ἐν Ἰλίῳ εὐτειχῆ πάγον* parodia expressum esse dicit, paene ridiculum est. omnino malim quod Pari naturae magis convenit *εὐαυγῆ*. Eurip. Suppl.

652 *πύργον εὐαυγῆ*. Bacch. 662 *χιόνος εὐαυγεῖς βολαί*. (neque enim credo Elmsleio *εὐαγής* defendenti.) Verg. Aen. 3, 126. Horat. C. 1, 19, 6. Ovid. Met. 7, 465. — adpellatur ipse sine dubio sive praesens sive absens Archilochus.

23

λαβόμενος

ἀντὶ τοῦ λαβών. Ἄλεξις Ἀρχιλόχοις. Bekker. Anecd. 106, 16. confert Meinekius 78, 8.

ΑΣΚΛΗΠΙΟΚΛΕΙΔΗΣ

24

οὕτως δ' ὀψοποιεῖν εὐφυῶς
περὶ τὴν Σικελίαν αὐτὸς ἔμαθον, ὥστε τοὺς
δειπνοῦντας εἰς τὰ βατάνι' ἐμβαλεῖν ποιῶ
ἐνίοτε τοὺς ὀδόντας ὑπὸ τῆς ἡδυνῆς.

Athenaeus 4, 169 d *βατάνιον δ' εἴρηκεν ... Ἄλεξις ἐν Ἀσκληπιοκλείδῃ κτλ.* contra Pollux 10, 107 *Ἄλεξις δὲ ἐν Ἀσκληπιοκλείδῃ πατάνια εἴρηκεν*. cf. fr. 110, 21 sq. 2. *τὴν* add. Casaub. 3. *βατάνι'* Schweigh.] *βατάνεια* A. *λοπάδι'* fr. 110. *ἐμβαλεῖν* Iungerm. Poll. 10, 107] *ἐκβαλεῖν* A Ath. *ἐμβάλλειν* fr. 110.

ΑΣΩΤΟΔΙΔΑΣΚΑΛΟΣ

Athen. 8, 336 d *ἐγὼ γὰρ οὐκ ἀπήντησα τῷ δράματι· πλείονα τῆς μέσης καλουμένης κωμῳδίας ἀναγνοὺς δράματα τῶν ὀκτακοσίων ... οὐ περιέτυχον τῷ Ἀσωτοδιδασκάλῳ, ἀλλ' οὐδ' ἀναγραφῆς ἀξιωθέντι σύνοιδα*. cf. Mein. I 380. 397. 8. fragmentum Alexide nequaquam indignum videtur: quamquam aliter iudicat Meinekius.

25

τί ταῦτα ληρεῖς, φληναφῶν ἄνω κάτω
Λύκειον, Ἀκαδήμειαν, Ὠιδείου πύλας,
λήρους σοφιστῶν; οὐδὲ ἓν τούτων καλόν.
πίνωμεν, ἐμπίνωμεν, ὦ Σίκων, Σίκων,
5 *χαίρωμεν, ἕως ἔνεστι τὴν ψυχὴν τρέφειν.*
τύρβαζε, Μάνη. γαστρὸς οὐδὲν ἥδιον.
αὕτη πατήρ σοι καὶ πάλιν μήτηρ μόνη.
ἀρεταὶ δὲ πρεσβεῖαί τε καὶ στρατηγίαι
κόμποι κενοὶ ψοφοῦσιν ἀντ' ὀνειράτων.
10 *ψύξει σε δαίμων τῷ πεπρωμένῳ χρόνῳ·*

ἕξεις δ' ὅσ' ἂν φάγῃς τε καὶ πίῃς μόνα,
σποδὸς δὲ τἄλλα, Περικλέης, Κόδρος, Κίμων.

Athenaeus 8, 336 d e *Ἄλεξις ἐν Ἀσωτοδιδασκάλῳ ... ὁ δὲ Σωτίων φησὶν ἐν τῷ δράματι Ξανθίαν τινὰ οἰκέτην πεποιῆσθαι προτρεπόμενον ἐπὶ ἡδυπάθειαν δμοδούλους ἑαυτοῦ καὶ λέγοντα κτλ.* 2. *Ἀκαδήμειαν* Dindf.] *ἀκαδημιαν* A. quod vera nominis *Ἀκαδ.* forma legitimaque mensura usus est magnum testimonium videtur non a novicio versificatore haec conficta esse. cf. 94. Antiphan. 33, 6. *ὠιδειου* A. 4. *ἐν πινωμεν* A. *σικῶν* semel A. 6. *Μάνη* Muret V. l. 19, 3] *μανην* A, qui etiam *τυρβαζε* sine acc. cf. Pherecr. 10. Hermipp. 47, 7. 10. *ψύξει σ' ὁ* in veteribus cod. repperit Muretus. 11. *πιῃς* A. 12. *σποδὸς* Dobr. Adv. II 317] *σποδοὶ* A. *κόδρος* C] *κόδροι* A.

2. Plut. Mor. 605 b *ἐπὶ τὰς σοφὰς (ἐλθὲ) Ἀθήνησι σχολὰς καὶ διατριβάς· ἀναπέμπασαι τὰς ἐν Λυκείῳ, τὰς ἐν Ἀκαδημίᾳ, τὴν στοάν, τὸ Παλλάδιον, τὸ ᾠδεῖον.* Diog. L. 7, 184 (*Χρύσιππον*) *ἐν τῷ ᾠδείῳ σχολάζοντά φησιν Ἕρμιππος ἐπὶ θυσίαν κληθῆναι* (Mein.). *ᾠδεῖον πάλιν* Sauppius ap. Wachsmuth. Athen. I 635 adn. 1. scribendum potius est *Ὠιδεῖον, στοάς.* nam et ante Zenonem Citiensem philosophi porticibus utebantur et ipse Zeno, si circiter Ol. 117 stoicam sectam condidit, ex parte aequalis fuit Alexidis (Mein. I 376). 4. cf. anon. 347 Mein. 5. scrib. *χαίρωμεν οἷς ἔνεστι κτλ.*, *gaudeamus rebus omnibus* quae ita comparatae sunt ut genium alant. 6. *τυρβάζειν* etiam Arist. Vesp. 257. Pac. 1007. ac latine terram *percutere,* i. e. saltare. *ἥδϊον* autem olim Meinekius ipse (Cur. crit. 37. 8) contra Porsonum (Eurip. Or. 499) defendit. cf. Eur. Suppl. 1101 (G. Hermannus *ἥδιον πέλει*). Arist. Eq. 1263 *κάλλϊον* in melicis. Aesch. fr. 302 N. *βέλτϊον* (al. *βέλτερον*). 8. Simonid. 38 Bergk. *πάντα γὰρ μίαν ἱκνεῖται δασπλῆτα Χάρυβδιν, αἱ μεγάλαι τ' ἀρεταὶ καὶ ὁ πλοῦτος.* 9. Bekker. Anecd. 48, 18 *καινὰ* (Mein. *κενὰ*) *ψοφεῖν· καινῶς* (*κενῶς*) *κομπάζειν.* 10. *ψύξει* servi inpudentis ingenio aptissimum; forma passiva in re simillima Plat. Phaed. 118 a.

ΑΤΑΛΑΝΤΗ

Turpilii *Atalantam* ad Alexidis imitationem compositam fuisse Meinekius arbitratur III 396.

26

μικρόφωνος

Ἄλεξις Ἀταλάντῃ. Bekker. Anecd. 108, 3.

ΑΤΘΙΣ

'Mulieris nomen est.' Meinek. I 398.

27

ὁ πρῶτος εἰπὼν ὅτι σοφιστὴς οὐδὲ εἷς
ἔμψυχον οὐδὲν ἐσθίει, σοφός τις ἦν.
ἐγὼ γὰρ ἥκω νῦν ἀγοράσας οὐδὲ ἓν
ἔμψυχον. ἰχθῦς ἐπριάμην τεθνηκότας
5 μεγάλους· κρεάδι' ἀρνὸς ἔστι πίονος
οὐ ζῶντος· οὐχ οἷόν τε γάρ. τί ἄλλο; καὶ
ἡπάτιον ὀπτὸν προσέλαβον. τούτων ἐὰν
δείξῃ τις ἢ φωνήν τι ἢ ψυχὴν ἔχον,
ἀδικεῖν ὁμολογῶ καὶ παραβαίνειν τὸν νόμον.

Athenaeus 9, 386c κατὰ τὸν Ἄλεξιν οὐδενὸς ἐμψύχου μεταλαμβάνεις, ὅς φησιν ἐν Ἀτθίδι τάδε κτλ. 3. οὐδὲ ἓν L] οὐδὲν A. 5. ἔστι Schweigh.] ἐσθίειν A. 6. καὶ B] ναί A. 9. ὁμολογῶ Grotius Excerpt. 563] προσομολογῶ A.

1. σοφιστής stare non potest: nam tantum aberat ut omnes sophistae sapientesve carnibus abstinerent, ut multi, velut Aristippus (σοφιστὴς εὐφυής fr. 36), id stultissimum esse iudicarent. manifesto σοφιστής ex σοφός τις v. 2 ortum est. scrib. ὁ πρῶτος εἰπὼν 'Πυθαγοριστὴς — ἐσθίει'. nam *Pythagoristarum legem* (νόμον 9) inridet quisquis loquitur, ἔμψυχον *vivum* interpretatus, non ut Pythagorei *animans*. 6. fortasse οὐχ ὅσιον γάρ ἐστιν· ἀλλὰ καὶ κτλ.

28

ὅστις ἥδεται γὰρ ἐσθίων
ὁσημέραι, δεῖ καὶ ποιεῖν τῶν σιτίων
ἐπάξιόν τι, μηδὲ περινοστεῖν σχολὴν
ἄγοντα, τῷ ζῆν πολεμιώτατον κακόν.

Stobaeus Floril. 30, 8. deest in A. sed ἀλεξῖ ἐξ ἀτθίδος Vindob. cf. H. Iacobi Mein. V CCIII. 2. δεῖ Porson. Adv. 303] ἀεὶ. 3. τι N. Trinc.] om. Gesn. τοι Vind. μηδὲ περινοστεῖν Porson.] μηδέν, περινοστεῖν δέ. — de syntaxi cf. Eubul. 75, 13.

29

πῶς ἐπινέφει τὸ πρῶτον ὁ Ζεὺς ἡσυχῇ,
ἔπειτα μᾶλλον μᾶλλον.

Photius et Suidas μᾶλλον μᾶλλον· ἀντὶ τοῦ ἀεὶ [καὶ] μᾶλλον. Ἄλεξις Ἀτθίδι κτλ. 1. πῶς] ὡς Mein. ἐπινέφει Cobet. V. l.[2] 135] ἐπινεφεῖ. — cf. Anaxil. 32. 'videtur poeta ingravescens aliquod malum cum tempestate ingruente comparare.' Mein.

ΑΧΑΙΙΣ

Sic, non Ἀχαΐς, codices omnes. cf. quae adnotavimus ad Antiphan. 44 et Arist. Nub. 821.

30

ἅπαντα τὰ ζητούμεν' ἐξευρίσκεται,
ἂν μὴ προαποστῇς μηδὲ τὸν πόνον φύγῃς·
ὅπου γὰρ εὑρήκασιν ἄνθρωποί τινες
μέρος τι τῶν θείων τοσοῦτο τῷ τόπῳ
ἀπέχοντες, ἄστρων ἐπιτολάς, δύσεις, τροπάς,
ἔκλειψιν ἡλίου, τί τῶν κοινῶν κάτω
καὶ συγγενικῶν δύναιτ' ἂν ἄνθρωπον φυγεῖν;

Stobaeus Floril. 29, 33 Ἀλέξιδος Ἀχαιίδι Trinc. ἀλέξιδος ἀχλίδου, suprascr. γρ. ἀχαιΐδι A. ἀλ. ἀχαιίδι B. 4. τοσοῦτον G. A. Hirschig. Ann. crit. 10. 6. κοινῶν κάτω καὶ συγγενικῶν A. συγγενῶν Grotius.

cum initio cf. Philem. 37. — Plautinum *nihil tam difficile est, quin quaerendo investigarier possit* confert Herwerd. Obs. crit. 68. 6. τὰ κοινὰ κάτω sunt quae quivis in orbe terrarum tamquam usitata cognoscere possit. 7. συγγενικῶν corruptum videtur.

31

Bekker. Anecd. 338, 8 ἔστι δὲ ἀγκύλη καὶ εἶδός τι ἅμματος. Ἄλεξις Ἀχαιίδι· ἀγκύλην τῆς ἐμβάδος οὐ καλῶς ἔσφιγξας λυθεῖσαν. ἐχρήσαντο δὲ καὶ ἄλλοι τῇ λέξει. fortasse ἀγκύλην τῆς ἐμβάδος | ἔσφιγξας οὐ καλῶς λυθεῖσαν.

ΒΟΣΤΡΥΧΟΣ

32

ὑποκροῦσαι

ἐμποδίσαι. Ἄλεξις Βοστρύχῳ. Bekker. Anecd. 115, 12. ibid. 68, 10 ὑποκρούειν τοὺς ῥήτορας· τὸ μεταξὺ λεγόντων αὐτῶν ὑποφθεγγόμενον ἐμποδίζειν. 'Elmsl. Arist. Ach. 38.' addo Arist. Eccl. 256. 588. 596. Henioch. 5, 4. [Plat.] Eryx. 395e.

ΒΡΕΤΤΙΑ

Cf. Mein. I 398. Dindorf. Aristoph. fr. 244 et quae adnotavimus ad Aristoph. fr. 629. Antiphan. 45.

33

εἶδές ποτε
πίνουσιν ἀνθρώποις ἀπίους παρακειμένας
ἐν ὕδατι; Β. πολλοῖς πολλάκις δήπου. τί οὖν;

Α. οὐκοῦν ἕκαστος ἐκλεγόμενος λαμβάνει
τῶν ἐπινεουσῶν τὴν πεπαιτάτην ἀεί;
Β. δηλονότι.

Athenaeus 14, 650c *ὅτι δὲ τὰς ἀπίους ἐν ὕδατι εἰσέφερον εἰς τὰ συμπόσια Ἄλεξις ἐν Βρεττίᾳ* (*βρευτίᾳ* A) *παρίστησι διὰ τούτων κτλ.* Schol. Arist. Eccl. 355 *ἀχράς τις. στένωσιν τῇ γαστρὶ παρέχει ὁ λεγόμενος παρ' ἡμῖν ἄπιος. οὕτω γὰρ καὶ Πλάτων ἐν Νόμοις ἀπίους εἴρηκεν. οὐ μόνος δέ, ἀλλὰ καὶ παρ' Ἀλέξιδι.* quae sine dubio ad hanc eclogam pertinent. Suidas *ἄπια· εἶδος ὀπώρας... παρὰ Ἀλέξιδι.* Bekker. Anecd. 425, 1 *ἀπίους... ἔστι καὶ παρ' Ἀλέξιδι.* — 2. *πίνουσιν* Dobr. Adv. II 137] *πεῖνουσιν* A. 3. *Β. πολλοῖς πολλάκις* K.] *πολλῷ; πολλάκις* A. *Β.* vulgo ante *πολλάκις.* i. e. *πολλοῖς πολλάκις παρακειμένας ἀπίους εἶδον.* 6. *δηλονότι*] *δη ὀντι* A. — cf. Pherecr. 8.

in aqua adferuntur pira: multane sit aqua nihil interest, dummodo sufficiat. *πολλὰ πολλάκις* Mein., sed quae ad tuendam hanc emendationem adfert exempla (in ed. mai. et V 88) aliena sunt omnia, quoniam in omnibus *πολλά* est accusativus schematis etymologici.

34

τοιοῦτο τὸ ζῆν ἐστιν ὥσπερ οἱ κύβοι·
οὐ ταὔτ' ἀεὶ πίπτουσιν, οὐδὲ τῷ βίῳ
ταὐτὸν διαμένει σχῆμα, μεταβολὰς δ' ἔχει.

Stobaeus Floril. 105, 4 *Ἀλέξιδος ἐκ Βρεττίας* A. omisso fabulae indice Arsenius Viol. 101. confert Meinekius Terent. Adelph. 4, 7, 21 *ita vita est hominum, quasi si ludas tesseris.* Plut. Mor. 467a *κυβείᾳ ὁ Πλάτων τὸν βίον ἀπείκασεν.* quod ubi fecerit nescio.

ΒΩΜΟΣ

35

γυνὴ λινουργὸς περιτυχοῦσ' ἀφείλετο.

Pollux 7, 72 *τὴν δὲ ἐργαζομένην τὸ λίνον λινουργὸν ἂν εἴποις, Ἀλέξιδος εἰπόντος ἐν Βωμῷ κτλ.* *περιτυχοῦσ'* Pierson.] *περὶ τοίχους.*

ΓΑΛΑΤΕΙΑ

Fortasse Galatea tibicina, Dionysii Syracusani meretrix, vitiata a Philoxeno, significatur, de qua Athenaeus 1, 6. 7 *ποιῶν τὸν Κύκλωπα* (*Φιλόξενος*) *συνέθηκε τὸν μῦθον εἰς τὸ περὶ αὐτὸν γενόμενον πάθος* (in lautumias coniectus erat propter Galateae amorem), *τὸν μὲν Διονύσιον Κύκλωπα ὑποστησάμενος, τὴν δ' αὐλητρίδα Γαλάτειαν, ἑαυτὸν δ' Ὀδυσσέα.* Philoxenus enim aliis quoque comicis largam praebuit fabulandi materiam.

36

ὁ δεσπότης οὑμὸς περὶ λόγους γάρ ποτε
διέτριψε μειρακίσκος ὢν καὶ φιλοσοφεῖν
ἐπέθετο· Κυρηναῖος ἦν ἐνταῦθά τις,
ὥς φασ', Ἀρίστιππος, σοφιστὴς εὐφυής,
5 μᾶλλον δὲ πρωτεύων ἁπάντων τῶν τότε,
ἀκολαστίᾳ τε τῶν γεγονότων διαφέρων.
τούτῳ τάλαντον δοὺς μαθητὴς γίνεται
ὁ δεσπότης. καὶ τὴν τέχνην μὲν οὐ πάνυ
ἐξέμαθε, τὴν δ' ἀρτηρίαν συνήρπασεν.

Athenaeus 12, 544e κωμῳδῶν δὲ αὐτὸν (Ἀρίστιππον) Ἄλεξις ἐν Γαλατείᾳ ποιεῖ τινα θεράποντα διηγούμενον περί τινος τῶν μαθητῶν τάδε κτλ. v. 6 Bekker. Anecd. 367, 24 ἀκολασία Θουκυδίδης ἔφη, ἀκολαστία δὲ Ἄλεξις. attamen ἀκολασία A. — 2. διέτριψεν A. 3. τις huc transtulit Schweigh., in A positum post Ἀρίστιππος. 4. φασ', non φησ', A. 5. τῶν add. Casaub.

7. Diog. L. 2, 65 πρῶτος τῶν Σωκρατικῶν μισθοὺς εἰσεπράξατο. 9. τὴν δ' ἀρτηρίαν συνέσπασεν Coraes: quo quid significari velit nescio. ἀρτυσίαν συνήρπασεν Mein. conl. (V 88) Cramer. Anecd. Ox. III 168 ὁπόσα οὐδ' ὁ τρυφηλότατος τῶν φιλοσόφων Ἀρίστιππος κατηρτύσατο, τούτοις..ἀθρόα πάντα παράκειται, et Lucian. Vit. auct. 12, ubi ὀψοποιὸς ἐμπειρότατος dicitur. '*artem cibos condiendi enixo studio didicit*' Mein., conl. Lobeck. Soph. Ai. 16. cf. ὀψαρτυσία.

37

νάρκην μὲν οὖν, ὥς φασιν, ὠνθυλευμένην
ὀπτᾶν ὅλην

Athenaeus 7, 314 d Ἄλεξις ἐν Γαλατείᾳ κτλ.

38

εὐοψίαν

ἀντὶ τοῦ εὐπροσωπίαν. Ἄλεξις Γαλατείᾳ. Bekker. Anecd. 93, 1. Pollux 6, 38 Ἄλεξις εὐοψωνίαν εἶπεν. possunt haec ad diversos poetae versus vel etiam ad diversas fabulas pertinere; fortasse tamen ita lusit, ut εὐοψίαν ab εὔοψος (ἀγορά) derivatam pro εὐοψωνίᾳ poneret vel cum hac per iocum coniungeret. cf. Herwerd. Mnem. nov. VI 69.

39

νομικόν

τὸν ἐπιστήμονα τῶν νόμων. Ἄλεξις Γαλατείᾳ. Photius et omisso poetae et fabulae nomine Bekk. Anecd. 109, 11. γαλατία cod. Phot.

ΓΡΑΦΗ

Imaginem pictam significari concludit Meinekius III 402 ex fr. 40.

40

γεγένηται δ', ὡς λέγουσι, κἂν Σάμῳ
τοιοῦθ' ἕτερον. λιθίνης ἐπεθύμησεν κόρης
ἄνθρωπος ἐγκατέκλεισέ θ' αὐτὸν τῷ νεῷ.

Athenaeus 13, 606 a *Κλείσοφος ὁ Σηλυμβριανὸς.. τοῦ ἐν Σάμῳ Παρίου ἀγάλματος ἐρασθεὶς κατέκλεισεν ἑαυτὸν ἐν τῷ ναῷ, ὡς πλησιάσαι δυνησόμενος...τῆς πράξεως ταύτης μνημονεύει καὶ Ἄλεξις ὁ ποιητὴς ἐν τῷ ἐπιγραφομένῳ δράματι Γραφή, λέγων ὧδε κτλ.* 1. *δὲ* et *λέγουσιν* A. 3. *ἐγκατέκλεισέν θ' ἑαυτὸν* A. simillima est Pygmalionis fabula Ovid. Met. 10, 243 sq. Preller. Myth. gr.[2] I 275.

ΓΥΝΑΙΚΟΚΡΑΤΙΑ

Aristophanis Ecclesiazusas quodammodo imitatum esse poetam coniecit Boettigerus Opusc. I 301. cf. Meinek. I 398. 9 et quae nos ad Amphidis *Γυναικοκρατίαν* adnotavimus.

41

ἐνταῦθα περὶ τὴν ἐσχάτην δεῖ κερκίδα
ὑμᾶς καθιζούσας θεωρεῖν ὡς ξένας.

Pollux 9, 44 *προσαριθμητέον δὲ τοῖς δημοσίοις θέατρον, καὶ θεάτρου μέρος τοῖς προειρημένοις κερκίδα, ὡς ἔστιν εὑρεῖν ἐν Ἀλέξιδος Γυναικοκρατίᾳ κτλ.* theatrum in theatro repraesentatum fuisse Meinekius arbitratur. at tum *ἐνθάδε* dicendum erat, non *ἐνταῦθα*. suadet mulier, quid sit faciendum, si in theatrum venerint: in cuneo supremo esse considendum.

42

ὁ δὲ Κίλιξ ὅδ' Ἱπποκλῆς,
ὁ ζωμοτάριχος ὑποκριτής

Athenaeus 3, 125 b *Ἄλεξις ἐν Γυναικοκρατίᾳ καὶ ζωμοτάριχόν τινα κέκληκεν ἐν τούτοις κτλ.* *ὀζωμοτάριχος* Nauck. Phil. VI 419 '*nach Poekelfleisch riechend*'. at id *ὀζοτάριχος* dicendum erat. *ζωμοτάριχος* est *Poekelbruehe*, ac sic Hippocles iste, mihi quidem aliunde non cognitus, adpellabatur. *Cilicis* cognomine peregrinam ei originem exprobrat.

ΔΑΚΤΥΛΙΟΣ

43

εἶτ' οὐχ ἁπάντων ἐστὶ τὸ μεθύειν κακὸν
μέγιστον ἀνθρώποισι καὶ βλαβερώτατον;

Athenaeus 10,443 e *καλῶς πρὸς τοὺς οὕτω λάπτοντας τὸν οἶνον ὁ αὐτὸς Ἄλεξις...κἀν Δακτυλίῳ κτλ.*

44

ἐκκόψαι

ἀντὶ τοῦ νικῆσαι κύβοις. Ἄλεξις Δακτυλίῳ. Bekker. Anecd. 92,5. Suidas et Zonaras 671 *ἐκκόψαι· νικῆσαι. οὕτως Ἄλεξις.* Hesych. *ἐκκεκομμένος· ὁ διὰ τοῦ κυβεύειν τὰ αὐτοῦ ἀπολέσας.*

ΔΗΜΗΤΡΙΟΣ Η ΦΙΛΕΤΑΙΡΟΣ

Sexti Turpilii *Demetrium* ex Alexidis fabula derivatam esse concentu fr. 46 cum Turpiliano 5 (O. Ribbeck.[2] 87) probatur. qua re concidit Meinekii opinio (I 388) Demetrium esse Poliorcetam. cf. Fielitz. De Att. com. bipart. 10 adn. 12. iam cum Plauti verba Baccb. 911. 12 *plura ex me audiet hodie mala quam audivit umquam Clinia ex Demetrio,* ad Turpilii comoediam pertinere non possint, Romanis Cliniae Demetriique amicitiam iam antea Cn. Naevii fabula, quae Demetrius inscribitur (O. Ribbeck. 14), commendatam fuisse et Cn. Naevium ad Alexidis imitationem suam fabulam composuisse Fritzschius demonstravit in Toeppelii Progr. Neobr. 1867, 9 sq. itaque *Demetrius* nomen est fictum, non aequalis alicuius Alexidis, adulescens bene moratus, amicus (*φιλέταιρος*) *Cliniae,* iuvenis luxuriosi, quem ille gravi et benigna adhortatione ad modestiam et prudentiam revocare studebat. fallitur Fr. Leo Herm. XVIII 559. fabula spectatoribus adeo placuit, ut repeteretur. cf. fr. 49.

45

ὁμοιότατος ἄνθρωπος οἴνῳ τὴν φύσιν
τρόπον τιν' ἐστί. καὶ γὰρ οἶνον τὸν νέον
πολλή 'στ' ἀνάγκη καὶ τὸν ἄνδρ' ἀποζέσαι
πρώτιστον ἀφυβρίσαι τ', ἀπανθήσαντα δὲ
5 *σκληρὸν γενέσθαι, παρακμάσαντα δ', ὧν λέγω*
τούτων ἁπάντων ἀπαρυθέντα τὴν ἄνω
ταύτην ἄνοιαν ἐπιπολάζουσαν, τότε
πότιμον γενέσθαι καὶ καταστῆναι πάλιν,
ἡδύν θ' ἅπασι τοὐπίλοιπον διατελεῖν.

v. 1—5 (*γενέσθαι*) et 8 (a *καὶ*) 9 Stobaeus Floril. 115, 7 *Ἀλέξιδος ἐκ Δημητρίου* A. totam eclogam, sed om. fabulae nomine Athenaeus 2, 36 de *Ἄλεξις δέ πού φησιν ὡς κτλ.* 1. *ὁμοιότατος* Atb.] *ὁμοιότατον* Stob. 2. *καὶ γὰρ* A Stob.] *τὸν γὰρ.* 3. *πολλή 'στ'* Dindf.] *πολλή τ'* BCD Atben. *πολλή γ'* Stob. 4. *ἀφυβρίσαι τ'* AB Voss. Stob. et BCDE Athen. (*τε*)] *ἀφυβρίσαντ'.* *ἀπαν-*

θήσαντα δὲ Valcken. Herodot. 9, 31] ἀποινήσαντα δὲ codices Stob. ἀπανθῆσαι (ἀπανθίσαι C, ἀπαντοῦσαι E) πάλιν Ath. 7. τότε Boisson. ap. Schweigh.] ποτὲ.

Plutarch. Mor. 656 a τὸν γὰρ οἶνον ἐν ἀρχῇ μὲν εἶναι γλυκύν, γίνεσθαι δὲ ἡδύν, ὅταν εἰς τὸ αὐστηρὸν τῇ πέψει μεταβάλῃ παλαιούμενος. Demetrium amici peccata excusantem audire mihi videor. 3. 'confitentis et concedentis πολλή γ' ἀνάγκη, adfirmantis est omissio particulae restrictivae.' G. Hermann. Soph. Trach. 295. 5. non credo dici posse ὁ ἄνθρωπος παρακμάζει τούτων ἁπάντων. coniungenda sunt τὴν ἄνοιαν ταύτην τούτων ὧν λέγω ἁπάντων, inprudentiam illam omnium adulescentiae vanitatum.

46

πρότερον μὲν εἰ πνεύσειε βορρᾶς ἢ νότος
ἐν τῇ θαλάττῃ λαμπρός, ἰχθῦς οὐκ ἐνῆν
οὐδενὶ φαγεῖν· νυνὶ δὲ πρὸς τοῖς πνεύμασιν
τούτοις Φάυλλος προσγέγονε χειμὼν τρίτος·
5 ἐπὰν γὰρ ἐκνεφίας καταιγίσας τύχῃ
ἐς τὴν ἀγοράν, τοὔψον πριάμενος οἴχεται
φέρων ἅπαν τὸ ληφθέν, ὥστε γίνεται
ἐν τοῖς λαχάνοις τὸ λοιπὸν ἡμῖν ἡ μάχη.

Athenaeus 8, 338 d Ἄλεξις ἐν Δημητρίῳ Φάυλλόν τινα κωμῳδεῖ ὡς φίλιχθυν ἐν τούτοις κτλ. Turpilius fr. 5 *antehac si flabat aquilo aut auster, inopia tum erat piscati.* 2. ἐνῆν] ἂν ἦν Porson. οὐκέτ' ἦν Mein. Anal. Ath. 150. at cf. 25, 5. Anaxil. 22, 7. 3. νυνὶ Schweigh.] νῦν A. 6. τοὔψον et 7. γίγνεται A.

8. ἐν τοῖς λαχάνοις, in *foro olitorio.* cf. 15, 11. 12.

47

ἀλλ' αἰσχύνομαι
τὸν Κόρυδον, εἰ δόξω συναριστᾶν τισιν
οὕτω προχείρως· οὐκ ἀπαρνοῦμαι δ' ὅμως·
οὐδὲ γὰρ ἐκεῖνος, ἂν καλῇ τις ἄν τε μή.

Athenaeus 6, 241 ab ἦν δὲ καὶ ὁ Κόρυδος τῶν δι' ὀνόματος παρασίτων . . . Ἄλεξις Δημητρίῳ ἢ Φιλεταίρῳ κτλ. 4. ἂν Dindf.] ἐὰν A. ἄν τε μή in fine add. A. Nauck. Bulletin. Petersb. VIIII 397.

48

ἔπειτα νάρκην ἔλαβον, ἐνθυμούμενος
ὅτι δεῖ γυναικὸς ἐπιφερούσης δακτύλους
ἁπαλούς, ὑπ' ἀκάνθης μηδὲ ἓν τούτους παθεῖν.

Athenaeus 7, 314 d *Ἄλεξις ἐν... Δημητρίῳ κτλ.* et ex Crateua (fr. 110, 9 sq.) Athen. 3, 107 c. 2. *δεῖ* C] *δὴ* A utrubique. 3. *ἐν* A 107] *ἐν* A 314. *τούτους* A 314] *τούτων* A 107. *τούτους* i. e. *τοὺς δακτύλους*. sed fortasse *λυπρὸν π.*

49

τοὔψον λαβοῦσαι τοῦτο τἀπεσταλμένον
σκευάζετ', εὐωχεῖσθε, προπόσεις πίνετε,
λέπεσθε, ματτυάζετε.

Athenaeus 14, 663 c *συνεμφῆναι γὰρ βουλόμενος ὁ Ἄλεξις τὴν ἀκολασίαν τῆς παρασκευῆς προσέθηκε τὸ λέπεσθαι. ἔχει δ' ἡ σύμπασα ἐκλογὴ οὕτως, οὖσα ἐκ τοῦ διεσκευασμένου δράματος, ὃ ἐπιγράφεται Δημήτριος κτλ.* v. 2 (*προπόσεις*) 3 Eustathius 1752, 2 *Ἄλεξις πρὸς δήλωσιν ἀκολάστου παρασκευῆς προσέθετο τῇ ματτύῃ* (Arist. Nub. 451. Nicostr. 8. 17) *τὸ λέπεσθαι, εἰπὼν κτλ. ἣν δέ, φασί, λέπεσθαι.. ἐπὶ ἀσελγοῦς καὶ φορτικῆς ἀφροδισίων ἡδονῆς.* inest verbo sane ea quoque significatio, cf. Mnesim. 4, 18. hic tamen *λέπεσθαι* idem est atque Eupol. 255. 427. Antiphan. 135. — 1. *ταπεταλμένον* A. *τοὐπεσταλμένον* recte G. A. Hirschig. Ann. crit. 10.

50

Athenaeus 3, 108 a *τἀγηνιστῶν ἰχθύων μνημονεύει Ἄλεξις ἐν Δημητρίῳ καθάπερ κἀν τῷ προκειμένῳ δράματι* (fr. 110, 12).

ΔΙΑΠΛΕΟΥΣΑΙ

51

ἐπιχαιρέκακος εἶ καὶ φθονεῖς τοῖς πλησίον.

Bekker. Anecd. 91, 21 *ἐπιχαιρέκακος· Ἄλεξις ἐν Διαπλεούσαις λέγει κτλ. ἐν Δὶς πλεούσαις* Mein. — cf. Anaxandrid. 59.

ΔΙΔΥΜΟΙ

52

στεφάνων τε τούτων χύδην πεπλεγμένων

Athenaeus 15, 686 ab *κελεύω αὐτὸν κατὰ τοὺς Ἀλέξιδος Διδύμους χυδαίοις στεφανωθέντα στεφάνοις ἐξάγεσθαι τοῦ συμποσίου· τῶν δὲ χυδαίων στεφάνων μνημονεύων ὁ κωμῳδιοποιός φησι κτλ. τουτωνὶ* Cant. L.] *τούτων* A. *τούτων τῶν* Mein. Anal. Ath. 335. in tanta fragmenti brevitate non liquet.

53

τούτῳ πρόπιθ', ἵνα καὐτὸς ἄλλῳ.

Athenaeus 10, 446 f *καὶ σὺ οὖν, ὦ ἑταῖρε, κατὰ τὸν Ἄλεξιν, ὃς ἐν Διδύμοις φησί κτλ. πρόπιθι* et *καὶ αὐτὸς* A. emend. Dindf.

54

Pollux 9, 153 *Ἄλεξις ἐν Ποιητρίᾳ εἴρηκεν 'ὡς ἐπὶ τὰ πολλὰ τοῦτο ποιῶ'· τὸ δὲ ὡς ἐπὶ τὸ πλῆθος ὁ αὐτὸς ἐν Διδύμαις.* refert huc Meinekius fragmentum adespoton apud Stobaeum Floril. 62, 40, satis probabiliter scribens *ὡς ἐπὶ τὸ πλῆθος* pro *ἀλλ' ἐπὶ τὸ πλῆθος*.

ΔΙΣ ΠΕΝΘΩΝ

Cf. *Δὶς ἐξαπατῶν* Menandri, *Δὶς ἐξαπατώμενος* Heniochi, *Δὶς κατηγορούμενος* Augeae, *Δὶς ναυαγός* Aristophanis, et Meinek. I 384. 399.

55

καὶ Ζωπύρα,
οἰνηρὸν ἀγγεῖον.

Athenaeus 10, 441 d *ἐν δὲ Δὶς πενθοῦντι Ζωπύρας τινὸς μνημονεύων (Ἄλεξις) φησὶ κτλ.*

ΔΟΡΚΙΣ Η ΠΟΠΠΥΖΟΥΣΑ

Ῥόδιον ἢ Ποππύζουσα Schweighaeuserus ex Athen. 9, 395 b (fr. 57). alterius fabulae *διασκευήν* esse coniecit Meinekius. de tempore idem I 387.

56

τοῖς ἰχθυοπώλαις ἐστὶν ἐψηφισμένον,
ὥς φασι, χαλκῆν Καλλιμέδοντος εἰκόνα
στῆσαι Παναθηναίοισιν ἐν τοῖς ἰχθύσιν,
ἔχουσαν ὀπτὸν κάραβον ἐν τῇ δεξιᾷ,
5 *ὡς αὐτὸν ὄντ' αὐτοῖσι τῆς τέχνης μόνον*
σωτῆρα, τοὺς ἄλλους δὲ πάντας ζημίαν.

Athenaeus 3, 104 d *Ἄλεξις μὲν οὖν αὐτὸν (Καλλιμέδοντα) ἐν Δορκίδι ἢ Ποππυζούσῃ φίλιχθυν εἶναι κοινῶς παραδίδωσι, καθάπερ καὶ ἄλλοι τῶν κωμῳδιοποιῶν, λέγων οὕτως κτλ.* 3. *στήσειν* C. — *ἐν τοῖς ἰχθύσιν, in foro piscario.* cf. quae adnotavimus ad Arist. Eq. 857. Ran. 1068. Eupol. 304. *ἐν τῇ δεξιᾷ*, ut Arist. Eccl. 50. 5. 6. si quid video scribendum est *μέγαν σωτῆρα, τοῖς ἄλλοις δὲ πάντως ζ.* cf. Soph. OCol. 459. *φιλίχθυες* enim omnes sunt Athenienses; sed Callimedon propter voracitatem praeter ceteros de cetariorum gente bene meritus, civibus ea ipsa de causa perniciosus fuit.

57

περιστερὰς
ἔνδον τρέφω τῶν Σικελικῶν τούτων πάνυ
κομψάς.

Athenaeus 9, 395 b *ἐν δὲ Ῥοδίῳ ἢ Ποππυζούσῃ θηλυκῶς (περιστερὰ) εἴρηκε (Ἄλεξις) καὶ ὅτι αἱ Σικελικαὶ διάφοροί εἰσι κτλ.* 2. *τρέφω*, non *τρέφων*, A. *τούτων πάνυ τούτων* A.

58

τῆς φιλοτησίας ἐγὼ
μεστὰς προπίνω γ' ἴσον ἴσῳ κεκραμένας.

Athenaeus 10, 431 a *καὶ Ἄλεξις ἐν Δορκίδι ἢ Ποππυζούσῃ κτλ.* 1. *τῆς*] *τρεῖς* recte Iacobs. Add. Ath. 234. *γ'* add. Mein. *δ'* Dindf. (vel *προπίνων*). cf. Theopomp. 32, 9 et quae adnotantur ad Alex. fr. 291. Bekker. Anecd. 70, 8 *φιλοτησίας προπίνειν... ποτὲ μὲν κατὰ γενικὴν λέγεται, ἄλλοτε δὲ κατ' ὀρθὴν ἢ αἰτιατικήν.. ἂν μὲν οὖν κατὰ γενικήν, σημαίνει αὐτὴν τὴν πρόποσιν.. καὶ τὴν δεξίωσιν τὴν ἐν τῷ (προ)πίνειν. ἐκλήθη γοῦν ἀπὸ τῆς φιάλης. τὸ δὲ κατ' ὀρθὴν ἢ αἰτιατικὴν μόνως τάττεται ἐπὶ τῆς κύλικος.* ac *κύλιξ φιλοτησία* Arist. Lys. 203, *χορὸς φιλοτήσιος* fr. 675.

ΔΡΩΠΙΔΗΣ

Neque is quem Plato commemorat (Charmid. 157 e. Tim. 20 e) neque Cliti pater (Arrian. Anab. 4, 8, 1) comoediae nomen dedit; sed fortasse *Dropidas Atheniensis*, qui Curtio auctore (3, 13, 15) a civibus cum Iphicrate et Aristogitone legatus ad Persarum regem missus et ab Alexandro m. aliquamdiu in custodia retentus est. Arrian. 3, 24, 4.

59

εἰσῆλθεν ἡταίρα φέρουσα τὸν γλυκὺν
ἐν ἀργυρῷ ποτηρίῳ πετάχνῳ τινί,
ἀστειοτάτῳ τὴν ὄψιν, οὔτε τρυβλίῳ
οὔτε φιάλῃ, μετεῖχε δ' ἀμφοῖν τοῖν ῥυθμοῖν.

Athenaeus 3, 125 f *ὅτι δ' ἔπινον καὶ γλυκὺν οἶνον μεταξὺ ἐσθίοντες Ἄλεξίς φησιν ἐν Δρωπίδῃ (δρωπείδῃ* A) *κτλ.* idem 11, 496 a *πέταχνον· ποτήριον ἐκπέταλον, οὗ μνημονεύει Ἄλεξις ἐν Δρωπίδῃ. πρόκειται δὲ τὸ μαρτύριον.* 1. *ἡ ἑταίρα* et 2. *πεταχμῷ* A 125. cf. Aristoph. fr. 288. v. 1 *φέρουσ' οἶνον γλυκύν* K. 4. *ῥυθμός* (*ῥυσμός*) pro *σχῆμα* primus quod sciam Democritus philosophus usurpavit.

60

τὴν σπάθην
ἐν τῷ μύρῳ καθῆκεν.

Pollux 10, 120. 1 *τὸ μὲν εἰς τὰς ληκύθους καθιέμενον ἐπὶ γεύματι τοῦ μύρου σπαθίδα καὶ σπάθην κλητέον... Ἀλέξιδος.. ἐν τῷ Δρωπίδῃ σπάθην τὴν σπαθίδα εἰπόντος κτλ.* *ἐν τῷ μύρῳ*, ut Homerus *ἐν πυρὶ βάλλειν*. — cf. Aristoph. fr. 205. Eubul. 100.

61

παραγοράζειν

Ἄλεξις ἐν Δρωπίδῃ. Athenaeus 4, 171 b. cf. Cratin. 92.

. ΕΙΣΟΙΚΙΖΟΜΕΝΟΣ

Opportune titulum inlustrat Aeschines 1, 124 *ἐὰν εἰς ἓν δήπου τούτων τῶν ἐπὶ ταῖς ὁδοῖς ἐργαστηρίων ἰατρὸς εἰσοικίσηται, ἰατρεῖον καλεῖται· ἐὰν δ' ὁ μὲν ἐξοικίσηται, εἰς δὲ τὸ αὐτὸ τοῦτο ἐργαστήριον χαλκεὺς εἰσοικίσηται, χαλκεῖον ἐκλήθη...ἐὰν δὲ πορνοβοσκὸς καὶ πόρναι, ἀπὸ τῆς ἐργασίας εὐθὺς ἐκλήθη πορνεῖον.* sic *εἰσῳκίσμεθα* Arist. Pac. 260, *ἀνῳκίσαντο* Pac. 207, *ἀνοικισθείς* Av. 1351, *μετοικιζόμενος* Eccl. 754. nos *der neue Miether.*

62

οὐ γὰρ ἐμυρίζετ' ἐξ ἀλαβάστου, πρᾶγμά τι
γινόμενον ἀεί, κρονικόν, ἀλλὰ τέτταρας
περιστερὰς ἀφῆκεν ἀποβεβαμμένας
εἰς οὐχὶ ταὐτὸν μὰ Δία τὴν αὐτὴν μύρον,
5 *ἰδίῳ δ' ἑκάστην. πετόμεναι δ' αὗται κύκλῳ*
ἔρραινον ἡμῶν θαιμάτια καὶ στρώματα.
μή μοι φθονήσητ', ἄνδρες Ἑλλήνων ἄκροι,
ἠλειφόμην ὑόμενος ἰρίνῳ μύρῳ.

Athenaeus 15, 691 e *ὡς λῆρον εἶναι τὰ ἐν τῷ Εἰσοικιζομένῳ Ἀλέξιδος ταυτί κτλ.* v. 1 Eustathius 1161, 30 *παρ' Ἀθηναίῳ κεῖται Ἀλέξιδος τὸ 'οὐ γὰρ ἐμυρίζετο ἐξ ἀλαβάστου'.* 1. propter v. 6 scribendum videtur aut *ἐμύριζεν* aut *ἐμυριζόμεθ'.* *ἀλαβάστου* etiam A. *πραγματι* A. 2. *τέτταρας*] $\overline{\Delta}$ A. 3. *ἀποβεβαμμενας* A. 4. *τὴν αὐτὴν*] *τὰς πάσας* G. A. Hirschig. Ann. crit. 10. *τὴν ὀσμὴν* Dobr. *τὸν μέγαν* (*Δία*) Herwerd. Obs. crit. 68. 9 conl. Arist. Nub. 1239. *ληκύθιον* Mein. Anal. Ath. 338. mihi scribendum videtur *δηλαδή*. cf. inprimis Arist. Eccl. 1157. dictantis scilicet vocem non recte interpretatus est librarius, non is tamen qui codicem A scripsit. 5. *ἰδίῳ* A. scribendum utique *ἴδιον*. deinde *αυται* A. 6. *ἔρρινον* (*α* in ras. m.[1]) A. *θαιματια* A. *καὶ* Dindf.] *τὰ*. 8. *ἰρίνῳ* Canter] *ηρινῳ* A.

2. *γινόμενον* rectissime dixit: 'quod quoniam semper fere fit iam obsoletum est.' *κρονικόν*, ut Arist. Plut. 581. cf. quae adnotavimus ad Nub. 398. v. 7 Euripidis esse ex Telepho (701 N.) Valckenarius adnotavit Theocr. Adon. 414. — scaena similis est Arist. Ach. 86 sq. loquitur miles vel legatus ex Asia rediens.

63

ἔξοινος ἐποίει ταῦτα

Athenaeus 14, 613 c *ὁ ἕξοινος...παρ' Ἀλέξιδι ἐν Εἰσοικιζομένῳ κτλ.* idem 15, 685 f *οὕτως (ἕξοινον) εἴρηκε τὸν μεθύσην* (cf. Lucian. Pseudos. 5) *Ἄλεξις ἐν Εἰσοικιζομένῳ. ἐποίει ταῦτα τ'* A. Porsoni (Advers. 146) opinionem recte reiecit Meinek. in ed. min.

64

τρικότυλον ψυγέα

Ἄλεξις ἐν Εἰσοικιζομένῳ φησί κτλ. Athenaeus 11, 502 d. Eustathius 1632, 12. *Εἰσοικιζομένῳ* Schweigh.] *οἰκιζομένῳ* A.

Praeterea cf. fr. 344.

ΕΙΣ ΤΟ ΦΡΕΑΡ

Non *Ἡ εἰς τὸ φρέαρ.* Athen. 8, 340 c (fr. 67). cf. Lysipp. 1. hui. ed. I 701.

65

νυνί τέ μοι
ὁ δεσπότης προὔπεμψεν οἶνον κεράμιον
τῶν ἔνδοθεν κομιοῦντ' ἐκεῖθεν. Β. μανθάνω·
ἐπιδόσιμον παρὰ τἄλλα τοῦτ' ἔσται. Α. φιλῶ
5 *αἰσθητικὴν γραῦν.*

Athenaeus 8, 364 f *ὀνομάζουσι δ' οἱ ἀρχαῖοι καὶ ἐπιδόσιμά τινα δεῖπνα...Ἄλεξις γοῦν ἐν τῇ Εἰς τὸ φρέαρ φησί κτλ.* 1. *μοι*] *με* Schweigh. *νυνί γέ τοι* Mein. 2. *ἡ δεσπότις* Schweigh. *προὔπεμψεν* A. 3. *κομιοῦντ' ἐκεῖθεν* L] *κομιοῦντες κεῖθεν* A. *ἐκεῖσε* Herwerd. Mnem. nov. VI 69.

conloquuntur servus et sive era sive conserva vetula, quae tam multa ab ero gratis ad cenam alienae domi instruendam mitti indiguatur. 5. propter v. 3 paene necesse est ne iocus pereat scribi *μαθητικὴν γραῦν. amo anum tam bene* quae audit *intellegentem.*

66

[τοῖς ἄρτοις] ὅσας
ἱστᾶσι παγίδας οἱ ταλαίπωροι βροτοί.

Athenaeus 3, 109 b *ἐπεὶ δὲ ἤδη ἄρτοι εἰσεκομίζοντο καὶ πλῆθος ἐπ' αὐτοῖς παντοδαπῶν βρωμάτων, ἀποβλέψας εἰς αὐτὰ ἔφη τοῖς ἄρτοις κτλ., φησὶν Ἄλεξις ἐν τῇ Εἰς τὸ φρέαρ.* in his *ἄρτοις* est Athenaei inepte ut solet Alexidis verba suae sententiae accommodantis. poeta *πτηνοῖς* vel tale aliquid scripserat.

67

Athenaeus 8, 340 c *τὰ αὐτὰ ἰαμβεῖα* (fr. 247) *φέρεται κἀν τῇ ἐπιγραφομένῃ Εἰς τὸ φρέαρ.*

ΕΚΚΗΡΥΤΤΟΜΕΝΟΣ

Cf. *Κηρυττόμενος.*

ΕΚΠΩΜΑΤΟΠΟΙΟΣ

68

ἀεὶ φιλόμυρον πᾶν τὸ Σάρδεων γένος.

Athenaeus 15, 691 d *οὐ μόνον δὲ τὸ τῶν Σαρδιανῶν γένος φιλόμυρον ἦν, ὡς Ἄλεξίς φησιν ἐν Ἐκπωματοποιῷ κτλ., ἀλλὰ καὶ αὐτοὶ οἱ Ἀθηναῖοι.* Soph. Ant. 1055 *τὸ μαντικὸν γὰρ πᾶν φιλάργυρον γένος* attulit Herwerd. Nov. add. crit. 31.

69

ἄσημον

ἐπὶ τοῦ ἀργυρίου Ἄλεξις Ἐκπωματοποιῷ. Bekker. Anecd. 82, 7.

ΕΛΕΝΗ

Fortasse eadem atque *Ἑλένης ἁρπαγή* et *Ἑλένης μνηστῆρες.* Meinek. I 391.

70

ὡς ὅστις αὐτῆς τῆς ἀκμῆς τῶν σωμάτων
ἐρᾷ, τὸν ἄλλον δ' οὐδὲ γινώσκει λόγον,
τῆς ἡδονῆς ἐστ', οὐχὶ τῶν φίλων φίλος,
ἀδικεῖ τε τὸν Ἔρωτ' ἐμφανῶς θνητὸς θεόν,
ἄπιστον αὐτὸν πᾶσι τοῖς ἄλλοις ποιῶν.

Athenaeus 13, 563 d *Ἄλεξις Ἑλένῃ κτλ.* 1. *αὐτῆς* Iacobs. Add. Ath. 297] *αὖ* A. 2. *ἐρᾷ* A. *λόγον*] *χρόνον* A. 5. *ἄλλοις*] *καλοῖς* recte Mein. Anal. Ath. 261.

ΕΛΕΝΗΣ ΑΡΠΑΓΗ

71

ἀκόλαστός ἐστι, τὴν δὲ πολιὰν οὐκ ἐντρέπεται.

Priscianus 18, 211 *Attici ἐντρέπομαι τοῦτο καὶ τούτου... Ἄλεξις Ἑλένης ἁρπαγῇ κτλ.* Meinekius *ἀκ. εἶ, τὴν δὲ π. οὐκ ἐντρέπει* vel *ἀκ. ἐστι, τὴν δὲ πολιὰν τοῦ πατρὸς | οὐκ ἐντρέπεται.* at comici certe Graeci, ut Romani *canos* (capillos), non *canum*, semper dicunt *πολιάς*, non *πολιάν.* Arist. Eq. 520. 908. fr. 410. Vesp. 1064 *πολιώτεραι τρίχες.* Eubul. 98, 8. Philem. 179 pro *τὴν σεμνὴν πολιάν* Meinekius ipse *τὴν σεμνὴν τρίχα.* itaque adparet scribendum esse *τὴν δὲ πολιὰν μητέρα | οὐκ ἐντρέπεται. mater* videtur esse *Leda.*

72

Bekker. Anecd. 106, 22 *Λάκαιναν τὴν παρθένον φασὶ δεῖν καλεῖν, τὴν δὲ χώραν Λακωνικήν. Ἄλεξις Ἑλένης ἁρπαγῇ.* utrum Alexis dixerit dubium est.

ΕΛΕΝΗΣ ΜΝΗΣΤΗΡΕΣ

73

οὐδὲ ῥόαν γλυκεῖαν ἐκ τῆς δεξιᾶς
δέξαιτ' ἂν αὐτῶν.

Athenaeus 14, 650 e *Ἄλεξις Μνηστῆρσιν· ῥόαν γὰρ ἐκ τῆς χειρὸς αὐτῶν.* Apostol. 13, 16 b (Arsen.) *οὐδὲ ῥόαν γλυκεῖαν ἐκ τῆς δεξιᾶς δέξαιτο ἄν· ἤγουν παρὰ πονηρῶν οὐδὲ χρηστὰ λαμβάνειν.* unde quod supra scripsimus effinxit Leutschius, nisi quod *οὐδ' ἂν ῥόαν* posuit, nulla necessitate. cf. Theophr. H. pl. 2, 2, 5. C. pl. 1, 9, 2. Schneid. Theophr. V 496 (Leutsch. Philol. I 159).

74

εἷς ἕκαστος

Ἄλεξις Ἑλένης μνηστῆρσιν. Bekker. Anecd. 96, 10.

75

θερμολουτεῖν

Ἄλεξις Ἑλένης μνηστῆρσιν. Bekker. Anecd. 99, 20. cf. Hermipp. 76.

ΕΛΛΗΝΙΣ

76

ἀεὶ δὲ καὶ ζῶντ' ἐστὶ καὶ τεθνηκότα
τὰν τῇ θαλάττῃ πολέμι' ἡμῖν θηρία.
ἂν ἀνατραπῇ γὰρ πλοῖον, εἶθ', ὡς γίνεται,
ληφθῇ νέων τις, καταπεπώκασ' εὐθέως·
5 *αὐτοί τ' ἐπὰν ληφθῶσιν ὑπὸ τῶν ἁλιέων,*
τεθνεῶτες ἐπιτρίβουσι τοὺς ὠνουμένους.
τῆς οὐσίας γάρ εἰσιν ἡμῶν ὤνιοι,
ὁ πριάμενός τε πτωχὸς εὐθὺς ἀποτρέχει.

Athenaeus 6, 226. 7 *Ἄλεξις ἐν Ἑλληνίδι κτλ.* 2. *τὰν* Iacobs. Add. Ath. 133] *ἐν* A. 4. *ληφθῇ*] fortasse *ὀφθῇ*, a piscibus. sed videtur consulto *ληφθῇ* et v. 5 *ληφθῶσιν* scripsisse, quoniam *bellum* pisces inter et homines perpetuum esse v. 2 dixerat. *νέων*] *ναίων* A. *νέων* est *natans.* 7. *ἡμῖν*?

ΕΠΙΔΑΥΡΙΟΣ

Unum, sed ambiguum temporis quo fabula scripta videatur indicium continetur fr. 77. Dinarchi in Demosthenem oratio habita est Ol. 114, 1.

77

τοὺς Χαιρεφίλου δ' υἱεῖς Ἀθηναίους, ὅτι
εἰσήγαγεν τάριχος. [οὓς καὶ Τιμοκλῆς
ἰδὼν ἐπὶ τῶν ἵππων δύο σκόμβρους ἔφη
ἐν τοῖς σατύροις εἶναι.]

Athenaeus 3, 119 f τοσαύτην δ' Ἀθηναῖοι σπουδὴν ἐποιοῦντο περὶ τὸ τάριχος, ὡς καὶ πολίτας ἀναγράψαι τοὺς Χαιρεφίλου τοῦ ταριχοπώλου υἱούς, ὥς φησιν Ἄλεξις ἐν Ἐπιδαυρίῳ οὕτως κτλ. 2. εἰσήγαγε A. εἰσήγαγον G. A. Hirschig. Ann. crit. 10. verba uncis inclusa ut Athenaei, non poetae Hirschigius recte ab Alexidis versibus separavit, scribitque οὓς καὶ Τιμοκλῆς ἰδὼν ἐπὶ τῶν ἵππων ἐν τοῖς Σατύροις ἔφη δύο σκόμβρους εἶναι. cf. Timocl. 17, 3. 21, 5.

Dinarch. 1, 43 προῖκα τοῦτον (Δημοσθένην) οἴεσθε γράψαι τὸ ποιῆσαι πολίτας ὑμᾶς Χαιρέφιλον καὶ Φείδωνα καὶ Πάμφιλον καὶ Φείδιππον (filios Chaerephili); cf. 6. 218. Bergk. Epist. Schiller. 155 sq. Schaefer. Demosth. III 270 cum adn. — v. 1 pro δ' υἱεῖς Meinekius ποιεῖν. scribendum videtur ποιεῖτ' aut quod probabilius est ποιεῖς Ἀθηναίους. scilicet compellatur Demosthenes, quem tamen non necesse est in scaena adfuisse.

ΕΠΙΚΛΗΡΟΣ

Cf. quae adnotantur ad Antiphanis Ἐπίκληρον.

78

ὅστις ἀγοράζει πτωχὸς ὢν ὄψον πολύ,
ἀπορούμενός τε τἄλλα πρὸς τοῦτ' εὐπορεῖ,
τῆς νυκτὸς οὗτος τοὺς ἀπαντῶντας ποιεῖ
γυμνοὺς ἅπαντας. εἶτ' ἐπάν τις ἐκδυθῇ,
5 τηρεῖν ἕωθεν εὐθὺς ἐν τοῖς ἰχθύσιν·
ὃν ἂν δ' ἴδῃ πρῶτον πένητα καὶ νέον
παρὰ Μικίωνος ἐγχέλεις ὠνούμενον,
ἀπάγειν λαβόμενον εἰς τὸ δεσμωτήριον.

Athenaeus 6, 227 d πρὸς δὲ τοὺς περιέργως ὀψωνοῦντας τάδε φησὶν Ἄλεξις ἐν Ἐπικλήρῳ κτλ. idem 6, 227 b Ἄλεξις ἐν Ἐπικλήρῳ Μικίωνος ἰχθυοπώλου τινὸς μνημονεύει. 3. ποεῖ A. 4. ἅπαντας suspectum Meinekio Anal. Ath. 98. εἶτ'] δεῖ τ' Mein. δεῖ δ' G. A. Hirschig. Ann. crit. 11. scribendum videtur γυμνούς· ἅπαντα δεῖ δ', ἐάν κτλ. 5. τηρεῖ C. 6. ἂν δ' Dindf.] δ' ἂν A. 8. ἀπάγει C. — cf. 107.

79

ἀλλ' ἔγωγ', ὦ παῖ, δίδωμι, καὶ ποιήσω πάνθ' ὅσα
οὗτος αἰτεῖται παρ' ἡμῶν.

Bekker. Anecd. 81, 20 *αἰτεῖσθαι γάρ φησι τὸν ἀποδιδόντα, τὸν δὲ μὴ ἀποδώσοντα αἰτεῖν. Ἄλεξις δ' Ἐπικλήρῳ ἐκδιδόντος τινὸς θυγατέρα κτλ.* 1. *ἔγωγ' ὦ* Dobr. Arist. Ach. 254] *ἐγὼ* cod. *ἔγωγε* Bekker. 2. *αἰτεῖται*] *αἰτεῖ παῖ* cod. sibi ipse non constans.

80

κακουχία

Ἄλεξις Ἐπικλήρῳ. Bekker. Anecd. 104, 24. cf. Plat. Reip. 10, 615 b.

ΕΠΙΣΤΟΛΗ

Cf. *Ἄσωτοι ἢ Ἐπιστολή* Euthyclis (I 805 hui. ed.), Machonis, *Ἐπιστολαί* Timoclis. fuit etiam Caecilii Statii *Epistula.* O. Ribbeck. Com. Rom. fr.[2] 41.

81

προσέκοψεν

ἀντὶ τοῦ προσέπταισεν. Ἄλεξις Ἐπιστολῇ. Bekker. Anecd. 112, 9 et fabulae nomine omisso Photius et Suidas *προσέκοψεν. προσέπαισεν* Phot.

ΕΠΙΤΡΟΠΟΣ

82

πολὺς γὰρ οἶνος πόλλ' ἁμαρτάνειν ποιεῖ.

Athenaeus 10, 443 f *καλῶς πρὸς τοὺς οὕτω λάπτοντας τὸν οἶνον Ἄλεξις . . . κἀν Ἐπιτρόπῳ δ' ἔφη κτλ. ποεῖ* A. cf. Philem. 104.

ΕΠΤΑ ΕΠΙ ΘΗΒΑΙΣ

Cf. Mein. I 391. fere semper codices fluctuant inter *Θήβαις* et *Θήβας.* fuit etiam Amphidis comoedia *Ἑπτὰ ἐπὶ Θήβαις.*

83

γόγγρου δ' ὁμοῦ σωρευτὰ πιμελῆς μέλη
ὑπεργέμοντα

Athenaeus 7, 294 a *Ἄλεξις ἐν Ἑπτὰ ἐπὶ Θήβαις κτλ.* 1. *δὲ* A. *μέλη σωρευτὰ πιμελῆς* A. corr. Porson. 2. *ὑπεργέμοντα* Pors.] *ὑπογέμοντα* A.

ΕΡΕΤΡΙΚΟΣ

84

τευθίδες, σπίναι, βατίς, δῆμος, ἀφύαι,
κρεάδι', ἐντερίδι'· ἀλλὰ τὰς μὲν τευθίδας,
τὰ πτερύγι' αὐτῶν συντεμών, στεατίου

μικρὸν παραμίξας, περιπάσας ἡδύσμασιν
λεπτοῖσι χλωροῖς ὠνθύλευσα.

Athenaeus 7,326d *Ἄλεξις ἐν Ἐρετρικῷ τάδε ποιεῖ λέγοντα μάγειρον κτλ.* 1. *σπιναι* A. *πίνναι* Gesner. Aquat. 885. 2. *ἐντερίδια ἀλλὰ* A. *ἀλλὰ* metri causa delet Dindf. 3. *πτερύγια* A. 5. *λεπτοῖσι* Schweigh.] *λεπτοῖς* A.

1. *δῆμος* manifesto corruptum. *χῆμος*, i. e. *χήμη*, Mein. Anal. Ath. 144. fortasse *πρημνάς*, quae in cod. saepissime *πρημάς* scribitur. ibid. 145 *τευθίδες*, | *πῖναι — χῆμος — κρεάδια*, | *ἐντερίδι'*, .. *ἀλλὰ κτλ.* — *ἡδύσματα λεπτὰ χλωρά* 'condimenta ex herbis minutim concisis'. Schweigh.

ΕΡΙΘΟΙ

Cf. *Παννυχὶς ἢ Ἔριθοι* et quae adnotantur ad cognominem Amphidis fabulam.

Η ΕΙΣ ΤΟ ΦΡΕΑΡ

Cf. *Εἰς τὸ φρέαρ.*

ΗΣΙΟΝΗ

Teucri mater videtur intellegenda esse. Preller. Myth. gr.[2] II 236.

85

γενόμενος δ' ἔννους μόλις
ᾔτησε κύλικα, καὶ λαβὼν ἑξῆς πυκνὰς
ἕλκει καταντλεῖ, κατά τε τὴν παροιμίαν
ἀεί ποτ' εὖ μὲν ἀσκὸς εὖ δὲ θύλακος
ἄνθρωπός ἐστι.

Athenaeus 11, 470e *Ἄλεξις ἐν Ἡσιόνῃ θηρικλείῳ ποιεῖ τὸν Ἡρακλέα πίνοντα ὅταν οὕτωσὶ λέγῃ κτλ.* 1. *ἔννους*, non *εὔνους*, A et C. 2. *κύλικα* C] *κυλὴν* A. 4. *αἰεί ποτε* A. 5. *ἄνθρωπος* Mein.] *ἄνθρωπος*.

'Hercules post liberatam Hesionen viribus exhaustis in animi deliquium' incidisse videtur. Mein. 4. i. e. *non minus bene uter* propter vinolentiam *quam saccus* propter voracitatem *esse putatur.*

86

ὡς εἶδε τὴν τράπεζαν ἀνθρώπους δύο
φέροντας εἴσω ποικίλων παροψίδων
κόσμου βρύουσαν, οὐκέτ' εἰς ἐμὲ βλέπων —

Athenaeus 9, 367f *ἐπὶ σκεύους* (?) *οὖν εἴρηκεν* (*τὸ παροψίς*)... *καὶ Ἄλεξις ἐν Ἡσιόνῃ κτλ.* 1. *εἶδε* Schweigh.] *ἴδε* A. 3. *κόσμῳ*

Bergk. *βλέπον* A. 'fortasse *ἔμ' ἔβλεπεν*' Dindf. si *βλέπων* verum est, oratio non est finita.

Cum hoc fragmento H. Iacobi Mein. V ccxv coniungebat fr. 261.

ΘΕΟΦΟΡΗΤΟΣ

Argumentum simile in *Θεοφορουμένῃ* et *Ἱερείᾳ* tractavisse videtur Menander. Lobeck. Aglaoph. 628. Mein. I 400.

87

οἶμαί γ' ἐπιτιμᾶν τῶν ἀπαντώντων τινὰς
ἡμῖν, ὅτι τηνικαῦτα μεθύων περιπατῶ·
ποῖος γάρ ἐστι φανός, ὦ πρὸς τῶν θεῶν,
τοιοῦτος οἷος ὁ γλυκύτατος ἥλιος;

Athenaeus 15, 700a *ἐν Θεοφορήτῳ . . Ἄλεξις κτλ.* v. 3. 4 Eustathius 1571, 11 *Ἄλεξις . . ἐν ἄλλοις ἔφη· ποῖός ἐστι φανὸς τοιοῦτος οἷος κτλ.* 1. *γ'* Iacobs. Add. Ath. 368] *γὰρ* A. *ἀπαντώντων* A. 3. *ἐστιν* A.

2. *τηνικαῦτα*, i. e. sole adhuc lucente. ridicule solem optimam esse dicit facem nocturnam.

88

λαλῶ Πτολεμαίῳ γογγυλίδος ὀπτῶν τόμους.

Athenaeus 9, 369e *Ἄλεξις ἐν Θεοφορήτῳ κτλ.* *λαλω* A. *ὀπτῆς* C. aut hoc aut *γογγυλίδων* scribendum. *λάβ' ὦ Πτολεμαῖε* Mein. ed. mai. 'sed in tam minutulo fragmento quis spondeat?'

ΘΕΣΠΡΩΤΟΙ

Fortasse *τὸ νεκρομαντεῖον* quod erat in Thesprotia significatur. Herodot. 5, 92, 7. Pausan. 9, 30, 6 (3).

89

Ἑρμῆ νεκρῶν προπομπὲ καὶ Φιλιππίδου
κληροῦχε, νυκτός τ' ὄμμα τῆς μελαμπέπλου
(Ἑκάτη) —

Athenaeus 12, 552 d e *Ἄλεξις ἐν Θεσπρωτοῖς φησιν κτλ.* 1. *νεκρῶν* Casaub. et Cobet. N. l. 119. 20] *θεῶν* A. 3. *Ἑκάτη* inseruit K., oblitteratum in cod. Athenaei sequente *καί*. de Hecatae cum Mercurio societate cf. Preller. Myth. gr.[2] I 246 sq. 316. de *Philippide* cf. 144. Aristophont. 8. *Φιλιππίδου κληροῦχε*, ut tam macilenti quam sunt mortui.

ΘΗΒΑΙΟΙ

90

ἔστιν δὲ ποδαπὸς τὸ γένος οὗτος; Β. πλούσιος.
τούτους δὲ πάντες φασὶν εὐγενεστάτους
εἶναι· πένητας δ' εὐπάτριδας οὐδεὶς ὁρᾷ.

Athenaeus 4, 159 d *Χρύσιππος . . . νεανίσκον φησί τινα ἐκ τῆς Ἰωνίας σφόδρα πλούσιον ἐπιδημῆσαι ταῖς Ἀθήναις . . . πυνθανομένου δέ τινος αὐτοῦ ποδαπός ἐστιν, ἀποκρίνασθαι ὅτι πλούσιος. μήποτε τοῦ αὐτοῦ μνημονεύει καὶ Ἄλεξις ἐν Θηβαίοις λέγων οὕτως κτλ.* 'Plautus Capt. 2, 2, 27 *quo de genere natust illi Philocrates? Polyplusio: quod genus illist unum pollens atque honoratissimum.*' Mein. — prorsus sic A, nisi quod 3 *οὐδὲ εἷς ὁρᾶι.* 2. *πάντας* G. A. Hirschig. Ann. crit. 11, nulla necessitate. 3. *εὐπατρίδας οὐδεὶς ἐρεῖ* Heimsoeth. Comm. crit. XIIII.

ΘΗΤΕΥΟΝΤΕΣ

91

ὅρκος βέβαιός ἐστιν ἂν νεύσω μόνον.

Stobaeus Floril. 27, 3 *Ἀλέξιδος ἐκ Θητευόντων* A.

ΘΡΑΣΩΝ

Fortasse *Thrason* ὁ *Ἐρχιεύς*, Thebanorum *πρόξενος* (Dinarch. 1, 38. Aeschin. 3, 138) fabulae nomen dedit: nisi forte fictum nomen est.

92

σοῦ δ' ἐγὼ λαλιστέραν
οὐπώποτ' εἶδον οὔτε κερκώπην, γύναι,
οὐ κίτταν, οὐκ ἀηδόν', οὔτε τρυγόν', οὐ
τέττιγα.

Athenaeus 4, 133 b *Ἄλεξις ἐν Θράσωνί φησι κτλ.* Eustathius 1282, 40 *ὁμοίως δὲ καὶ ἡ κερκώπη ζῷον αὐτὴ ὅμοιον τέττιγι καὶ τριγονίῳ* (*τιγονίῳ* Mein.), *περὶ ὧν δηλοῖ ὁ κωμικὸς Ἄλεξις εἰπών κτλ.* Libanius IV 143 *τρυγόνος λαλιστέρα, κίττης, ἀηδόνος, κερκώπης.* 1. *λαληστέραν* A Ath. 3. *ἀηδόνα* et *τρυγόνα* A, idem *οὔτε τρυγόνα.* *οὐκ ἀηδόν'*] *οὐ χελιδόν', οὐ . . . | οὐ τρυγόν' οὐ τ.* Mein. Anal. Ath. 61. *οὐ κίτταν, οὐκ ἀηδόν', οὐ χελιδόνα, | οὐ τρυγόν', οὐ τ.* Cobet. N. l. 33. 'nam *τὴν κωτίλην χελιδόνα* in hoc grege avium loquacium omittere non potuit.' de *οὔτε — οὐ — οὔτε* cf. exempla ab Elmsleio Med. 1316 et Naber. Mnem. nov. VIII 256 congesta, inprimis Epicrat. 6.

Aelian. H. an. 12, 10 *τρυγόνος λαλίστερον ἔλεγον· ἡ γάρ τοι*

τρυγὼν καὶ διὰ τοῦ στόματος μὲν ἀπαύστως φθέγγεται, ἤδη δὲ καὶ ἐκ τῶν κατόπιν μερῶν ὥς φασι πάμπλειστα. Zenob. 6, 8. Diogenian. 8, 34. Greg. Cypr. Leid. 3, 12. Apost. 17, 31. Suidas *τρυγόνος.* Schol. Hom. Il. 9, 311. Eustath. 751, 13. Clem. Alex. Strom. 1, 3, 22. Alciphr. 3, 29. Aristoph. fr. 51. Menand. 405 Mein. Demetr. com. 3.

ΙΑΣΙΣ

'Nymphae nomen est, Pausan. 6, 22, 7 (4)' Meinek. I 391, dubitans tamen an fabulae titulus fuerit *Ἰάσων.* an *Ἰασώ?* Arist. Plut. 701. fr. 21. Hermipp. 73.

93

ἀμφιτάπητα

Ἄλεξις Ἰασίδι. Bekker. Anecd. 83, 15.

ΙΠΠΕΥΣ

Scripta est exeunte Ol. 115 vel ineunte Ol. 116. Mein. I 393. 4.

94

τοῦτ' ἔστιν Ἀκαδήμεια, τοῦτο Ξενοκράτης;
πόλλ' ἀγαθὰ δοῖεν οἱ θεοὶ Δημητρίῳ
καὶ τοῖς νομοθέταις, διότι τοὺς τὰς τῶν λόγων,
ὥς φασι, δυνάμεις παραδιδόντας τοῖς νέοις
5 *ἐς κόρακας ἔρρειν φασὶν ἐκ τῆς Ἀττικῆς.*

Athenaeus 13, 610 e *οὓς (φιλοσόφους) οὐ μόνον Λυσίμαχος ὁ βασιλεὺς ἐξεκήρυξε τῆς ἰδίας βασιλείας ἀπελαύνων, ἀλλὰ καὶ Ἀθηναῖοι. Ἄλεξις γοῦν ἐν Ἵππῳ (Ἱππεῖ* Schweigh.) *φησίν κτλ. καὶ Σοφοκλῆς δέ τις ψηφίσματι ἐξήλασε πάντας φιλοσόφους τῆς Ἀττικῆς.* 1. *Ἀκαδήμεια* Dindf.] *ἀκαδημία* A. cf. Antiphan. 33, 6. 5. *ἔρρειν φασίν*] *ἐρρίφασιν* Dobr.

Diog. L. 5, 38 (*Θεόφραστος*) *ἀπεδήμησε . . καὶ πάντες οἱ φιλόσοφοι, Σοφοκλέους τοῦ Ἀμφικλείδου νόμον εἰσενεγκόντος μηδένα τῶν φιλοσόφων σχολῆς ἀφηγεῖσθαι, ἂν μὴ τῇ βουλῇ καὶ τῷ δήμῳ δόξῃ· εἰ δὲ μή, θάνατον εἶναι τὴν ζημίαν.* Pollux 9, 42 *ἔστι δὲ καὶ νόμος Ἀττικὸς κατὰ τῶν φιλοσοφούντων γραφείς, ὃν Σοφοκλῆς (ὁ νομοθέτης* 3) *Ἀμφικλείδου Σουνιεὺς εἶπεν.* Droysen. Hellenism. I 499 sq. *Xenocrates* Chalcedonius, Speusippi in Academia successor, mortuus est Ol. 116, 2. Clint. Fast. Hell. 181 Kr. *Demetrius* est Phalereus, qui Athenis principatum tenuit ab Ol. 115, 3 usque ad Ol. 118, 1, quo anno expulsus est a Demetrio Poliorceta. — 'sunt senis verba, philosophis irati, quod filium corruperint' Mein. *haec igitur est Academia, hic Xenocrates,* i. e. talia igitur nequissimi isti homines pueros docent.

95

τά τε κυμβία
ἆρ' ἦν πρόσωπ' ἔχοντα χρυσᾶ παρθένων;
Β. νὴ τὸν Δί' ἦν γάρ. Α. ὦ τάλαιν' ἐγὼ κακῶν.

Athenaeus 11, 481. 2 Ἄλεξις Ἱππεῖ κτλ. 2. ἆρ' add. Dobr. 3. ἐγὼ Dindf.] ἔγωγε A. personarum notationem add. Dobr. non recte Dindorfius tetrametros trochaicos constituerat, cum fr. 95 et 96 eiusdem sint scaenae. ac fortasse huc etiam fr. 270 pertinet. — sciscitari videtur mulier de poculis pretiosis furto similive calamitate amissis. 'nimirum eques iste meretrici quidquid haberet vasorum abstulerat miseramque in sicco destituerat.. eodem fortasse respexit Anaxilas 22, 10. 11.' Mein. Anal. Ath. 355.

96

καὶ θηρίκλειός τις κύλιξ, στέφανον κύκλῳ
ἔχουσα χρυσοῦν· οὐ γὰρ ἐπίτηκτόν τινα.

Athenaeus 11, 471e Ἄλεξις ἐν Ἱππεῖ κτλ. 2. ἔχουσαν A. ἐπίτηκτόν Porson. Miscell. 248 et Coraes] ἐπίκτητόν. praeterea scribendum videtur ἔχουσ' ὁλόχρυσον, quod melius opponitur τῷ ἐπιτήκτῳ.

ΙΠΠΙΣΚΟΣ

Cf. Ἀγωνὶς ἢ Ἱππίσκος.

ΙΣΟΣΤΑΣΙΟΝ

'Videtur meretricis nomen esse'. Meinek. III 422.

97

ἀπὸ συμβολῶν ἔπινον, ὀρχεῖσθαι μόνον
βλέποντες, ἄλλο δ' οὐδέν, ὄψων ὀνόματα
καὶ σιτίων ἔχοντες, Ὄψων, Κάραβος,
καὶ Κωβιός, Σεμίδαλις.

Athenaeus 4, 134 c Ἄλεξις ἐν τῷ ἐπιγραφομένῳ Ἰσοστάσιόν φησιν κτλ. idem 3, 127 c σεμιδάλεως μέμνηται ... καὶ Ἄλεξις ἐν Ἰσοστασίῳ. cum tamen 134 Σεμίδαλις sit nomen proprium, 127 autem tamquam nomen adpellativum commemoretur, dubitari potest an 127 aliud fragmentum Athenaeus respiciat. 4. Σεμίδαλις Dindf.] καὶ σεμίδαλις A.

de cognominibus cf. 168 et Antiphan. 26. *Cobius* parasitus amator fuit Pythionicae. Bergk. R. c. Att. 379. 80. ὀρχεῖσθαι v. 1 nequaquam aptum est neque defenditur fr. 222, 3. ἐγχεῖσθαι

Herwerden. Mnem. nov. III 300. *vorandi* potius verbum desideratur. an *ὀγκοῦσθαι*?

98

πρῶτα μὲν γὰρ πρὸς τὸ κέρδος καὶ τὸ συλᾶν τοὺς πέλας
πάντα τἄλλ' αὐταῖς πάρεργα γίνεται· ῥάπτουσι δὲ
πᾶσιν ἐπιβουλάς· ἐπειδὰν δ' εὐπορήσωσίν ποτε,
ἀνέλαβον καινὰς ἑταίρας, πρωτοπείρους τῆς τέχνης.
5 εὐθὺς ἀναπλάττουσι ταύτας, ὥστε μήτε τοὺς τρόπους
μήτε τὰς ὄψεις ὁμοίας διατελεῖν οὔσας ἔτι.
τυγχάνει μικρά τις οὖσα, φελλὸς ἐν ταῖς βαυκίσιν
ἐγκεκάττυται· μακρά τις, διάβαθρον λεπτὸν φορεῖ
τήν τε κεφαλὴν ἐπὶ τὸν ὦμον καταβαλοῦσ' ἐξέρχεται·
10 τοῦτο τοῦ μήκους ἀφεῖλεν· οὐκ ἔχει τις ἰσχία,
ὑπενέδυσ' ἐρραμμέν' αὐτήν, ὥστε τὴν εὐπυγίαν
ἀναβοᾶν τοὺς εἰσιδόντας. κοιλίαν ἁδρὰν ἔχει,
στηθί' ἔστ' αὐταῖσι τούτων ὧν ἔχουσ' οἱ κωμικοί·
ὀρθὰ προσθεῖσαι τοιαῦτα τοὔνδυτον τῆς κοιλίας
15 ὥσπερεὶ κοντοῖσι τούτοις εἰς τὸ πρόσθ' ἀπήγαγον.
τὰς ὀφρῦς πυρρὰς ἔχει τις, ζωγραφοῦσιν ἀσβόλῳ.
συμβέβηκ' εἶναι μέλαιναν, κατέπλασε ψιμυθίῳ.
λευκόχρως λίαν τίς ἐστι, παιδέρωτ' ἐντρίβεται.
καλὸν ἔχει τοῦ σώματός τι, τοῦτο γυμνὸν δείκνυται.
20 εὐφυεῖς ὀδόντας ἔσχεν, ἐξ ἀνάγκης δεῖ γελᾶν,
ἵνα θεωρῶσ' οἱ παρόντες τὸ στόμ' ὡς κομψὸν φορεῖ.
ἂν δὲ μὴ χαίρῃ γελῶσα, διατελεῖ τὴν ἡμέραν
ἔνδον, ὥσπερ τοῖς μαγείροις ἃ παράκειθ' ἑκάστοτε,
ἡνίκ' ἂν πωλῶσιν αἰγῶν κρανία, ξυλήφιον
25 μυρρίνης ἔχουσα λεπτὸν ὀρθὸν ἐν τοῖς χείλεσιν,
ὥστε τῷ χρόνῳ σέσηρεν, ἄν τε βούλητ' ἄν τε μή.
[ὄψεις διὰ τούτων σκευοποιοῦσι τῶν τεχνῶν.]

Athenaeus 13, 568a *Ἄλεξις δ' ἐν τῷ ἐπιγραφομένῳ δράματι Ἰσοστάσιον τὴν ἑταιρικὴν παρασκευὴν καὶ τὰς δι' ἐπιτεχνήσεως κομμώσεις τῶν ἑταιρῶν οὕτως ἐκτίθεται κτλ.* omisso fabulae nomine v. 1. 2 (— *γίνεται*) 7—22. 24 (a *ξυλήφιον*) —26 Clemens Alex. Paed. 3, 2, 8. v. 7 Eustathius 1522, 10 *βαυκίδες ὡς τό 'φελλὸς ἐν τοῖς* (sic) *βαυκίσιν ἐγκεκάττυται'*. v. 8 Eustathius ibid. *διάβαθρον γυναικεῖον φόρημα ὡς τό 'διάβαθρον λεπτὸν φορεῖ'*. 1. *πρῶτα* Clem.] *πρῶτον* A Ath. *πρὸς* A Ath.] *ἐς* Clem. 2. *τἄλλ'* A Ath.] *τὰ ἄλλα ἔργα* (*τ' ἄλλα ἔργ'* V) Clem. *ῥάπτουσιν* A Ath. 3. *εὐπορήσωσιν*] divites factae talibus

machinis non egent, verum ubi consenuerunt. itaque scrib. *ἐκκορηθῶσίν*, *scortando exhaustae sunt.* 4. *καινὰς*] *κενὰς* A Ath. 4. 5 scrib. *πρωτ. τ. τέχνης, εὐθὺς ἀναπλάττουσί τ' αὐτάς* (*ἀναπλάττουσιν αὐτάς* G. A. Hirschig. Ann. crit. 12). 7. *βαυκίσιν*] *βλαύτησιν* (*βλαυτῇσιν, βλαύτισιν*) Clemens. *φελλος* et 8 *λεπτονφορει* A. 8. *ἐνεγκάττυται* codices Clem. 9. *τε* om. Clem. *τὸν ὦμον*] *τὸ νῶτον* C Ath. 10. *τουτο του, ἀφειλεν, ἰσχια* A. 11. *ὑπ' ενεδυσ ἐρραμμενα* A. 12. *εἰσιδόντας* Sylburg.] *ἰδόντας. εἰσιόντας* Clem. ed. Flor. *εἰδόντας* N Clem. *ἁδρὰν* add. Clemens. *ἔχει* A Ath.] *τις ἔχει* Clem. 13. *στηθί' ἔστ' αὐταῖσι* Dindf.] *στηθίεσταυταισι* A Ath. *τιτθίαις ταύταισιν* Clem. *τιτθί' ἔστ' αὐταῖσι* Iacobs. Add. Ath. 301. 14. *προσθεῖσα* Clem. *τοιαῦτα τοὔνδυτον* Sylburg.] *τοιαῦτα γοῦν αὐτῶν* A Ath. *ταῦτα ουτοντύνδυτον* V Clem. (*οὐτοτοιαῦτ'* F *οὐ τὸν τυνδυτον* M. *οὐτον τήνδυτον* vel *τήνδητον* B N R). *προστιθεῖσα ταῦτα. τοὐνδυτὸν* G. Dindorf. in Clem. *ὧν ἔχουσ' οἱ κωμικοί, ὀρθά. προστιθεῖσα τοῦτο τοὔνδυτυν τῇ κοιλίᾳ, ὡσπερεὶ κοντοῖσι τοὔπισθ' κτλ.* Emperius. *ξυλάρια* pro *τοιαῦτα* Iacobs. 302. an *ὀρθὰ προσθεῖσαί τε ταῦτα?* 15. *ἀπήγαγεν* Clem. 16. *πυρρας, ζωγραφουσιν ἀσβολῳ* A. 17. *συμβεβηκέναι* et *κατέπλασεν ψιμυθιῳ* A. *κατέπασε* Clem. (*κατέσπασε* V). 18. *λευκοχρως* et *ἐστιν* A. *παιδέρωτ'*] *πετεύρων δ'* Clem. 19. *τοῦτο*] *ταυτο* A. *δεικνύει* Clem. 21. *θεωρῶσ'* Clem.] *θεωροῖεν* A Ath. *ὡς* A Ath.] *ὡς ὅτι* Clem. 22. *ἂν* A Ath.] *ἐὰν* Clem. *διατελεῖ* Clem.] *διατελουσ* A Ath. 24. *κρανια* et *ξυληφιον* A Ath. *ξυλίφιον* Clem. F. *ξυλύφιον* P, defensum a Lobeckio Phryn. 78. cf. Herodian. II 557, 21. 25. *μυρρινης* A Ath. *ἔχουσα* etiam A Ath. *ὀρθὸν* om. Clem. 26. *σέσηρεν* Clem.] *σεσηρέναι* A Ath. *σεσηρέν'* Naber. Mnem. nov. VIII 258. *βούλητ'* Schweigh.] *βούλετ'* Clem. *βούλωνται* A Ath. 27. 'hunc trimetrum om. epitome et Clemens, videndumque est ne non sit Alexidis'. Dindf. *τὰς μὲν ὕψεις διὰ τοιούτων σκευοποιοῦσιν τεχνῶν* frustra Dobr.

4. *πρωτοπείρους*, cf. Theopomp. com. 94. 7. *βαυκίσιν*, cf. Aristoph. fr. 342. 8. Hesych. *διάβαθρα· εἶδος ὑποδήματος γυναικείου.* Pollux 7, 90 *τὰ διάβαθρα κοινὰ ἀνδρῶν καὶ γυναικῶν.* Alciphron. 3, 46, 3 *ὡς ἐν τῇ φυγῇ τῶν διαβάθρων θάτερον ἀποβαλεῖν.* 13. Lucian. Saltat. 27 *ἐῶ λέγειν προστερνίδια καὶ προγαστρίδια, προσθετὴν καὶ ἐπιτεχνητὴν παχύτητα προσποιούμενος* (*ὁ τραγῳδός*), *ὡς μὴ τοῦ μήκους ἡ ἀρρυθμία ἐν λεπτῷ μᾶλλον ἐλέγχοιτο.* '*οἱ κωμικοί* i. e. histriones'. Alciphr. 162. Mein. '*habent mammas ficticias eius generis, quo in comoediis utuntur*, ubi viri scilicet mulierum partes agunt'. Iacobs. 301. 14. 'venter adducitur, ut superne tnmeat, quo mammosa videatur'. Dobr. Advers. II 343. neque quomodo *στηθία* vel *τιτθία ὀρθά* esse adponive possint neque quomodo ventris tumori mederi vel cum contis comparari possint intellego. de accentu vocis *ἔνδυτον* Lobeck. Paralip. 491. 2. Herodian. I 390, 31 *τὸ δὲ ἑρπετόν ὀξύνεται καὶ ἐνδυτόν. .ὡς τριγενές.*

18. Phot. *παιδέρως· σφραγῖδος ὄνομα· οἱ δὲ ἀλείμματος.* his Hesychius addit *οἱ δὲ μύρου εἶδος.* Athen. 12, 542 d (*Δημήτριος ὁ Φαληρεύς*) *ἐπεμελεῖτο καὶ τῆς ὄψεως ... παιδέρωτι τὸ πρόσωπον ὑπαλειφόμενος.* idem de Demetrio Poliorceta, per errorem fortasse, narrat Aelian. V. h. 9, 9. Alciphr. 1, 33 *ἀπαναισχυντήσασα δὲ εἰς τὸ φῦκός με καὶ τὸν παιδέρωτα ἔσκωπτεν.* 22. 'verborum ordo hic est: *τὴν ἡμ. ἔνδον διατ. μυρρ. ξυλ. ἐν τοῖς χ. ἔχουσα ὥσπερ αἰγῶν κρ. ἃ τοῖς μ. παράκειται.* labia capitum caprinorum in macello venalium cur bacillo lanii distenderint in promptu est'. Mein. 26. Catull. 39, 1 *Egnatius, quod candidos habet dentes, renidet usquequaque.*

ΚΑΛΑΣΙΡΙΣ

Cf. quae adnotavimus ad Cratin. 30. Aristoph. fr. 320, 6. Schol. Arist. Av. 1294 *ὁ δὲ καλάσιρις χιτὼν πλατύσημος.* Photius *καλάσ[ε]ιρις· χιτὼν πλατύσημος* (sic Naber., *πλατὺς δῆμος* cod.) *πολεμικός· οὕτως Αἰγύπτιοι.* Hesych. *καλάσιρις· χιτὼν πλατύσημος, ἢ ἡνιοχικὸς καὶ ἱππικὸς χιτών.* Herodian. I 101, 29 *καλάσιρις λινοῦς χιτὼν ἱερατικός, καὶ μοῖρα τῶν μαχίμων ἐν Αἰγύπτῳ, οἱ καὶ Ἑρμοτυμβιεῖς.* cf. II 437, 2 adn. et Steph. Byz. *Καλάσιρις* (*Καλασίριες* Mein.).

99

ποῖ δή μ' ἄγεις διὰ τῶν κύκλων;

Pollux 10, 18 *ἵνα δ' ἐπιπράσκετο τὰ σκεύη, τῆς ἀγορᾶς τὸ μέρος τοῦτο κύκλοι ὠνομάζοντο, ὡς Ἄλεξις ὑποδηλοῦν ἔοικεν ἐν Καλασίριδι κτλ.* *ποῖ*] *πῇ* P. *πῇ δή μ' ἄγεις;* B. *διὰ τῶν κύκλων* Bentl. Epist. Hemsterh. 51. Harpocrat. *κύκλοι ἐκαλοῦντο οἱ τόποι ἐν οἷς ἐπωλοῦντό τινες* (i. e. servi)· *ὠνομάσθησαν δὲ ἀπὸ τοῦ κύκλῳ περιεστάναι τοὺς πωλουμένους.* Menand. 190 Mein. Diphil. 55, 3. Dinarch. fr. XI 1.

ΚΑΡΧΗΔΟΝΙΟΣ

Scripsit etiam Menander *Καρχηδόνιον* et Plautus *Poenulum.*

100

βάκηλος εἶ.

Milleri Proverb. (Mélanges 365) 70 *βάκηλος εἶ. αὕτη τέτακται κατὰ τῶν ἐκλύτων καὶ ἀνάνδρων. λέγεται δὲ κυρίως βάκηλος ὁ ἀπόκοπος. μέμνηται αὐτῆς ... Ἄλεξις ἐν Καρχηδονίῳ.* cf. Menand. 468 Mein. Antiphan. 113, 2.

ΚΑΤΑΨΕΥΔΟΜΕΝΟΣ

Cf. *Τοκιστὴς ἢ Καταψευδόμενος.*

ΚΑΥΝΙΟΙ

Aristot. Rhet. 2, 25 *οὐκ ἂν ἐλέγετο Καύνιος ἔρως, εἰ μὴ ἦσαν καὶ πονηροὶ ἔρωτες.* Steph. Byz. *Καῦνος, πόλις Καρίας ἀπὸ Καύνου, οὗ ἡ ἀδελφὴ Βυβλὶς ἐρασθεῖσα φεύγοντος ἐκείνου* (*ἀπήγξατο* add. Eustath. Dion. 533). *ὅθεν ἡ παροιμία ὁ Καύνιος ἔρως.* Suid. *Καύνιος ἔρως· ἐπὶ τῶν μὴ κατορθουμένων ἐπιθυμιῶν. Καῦνος γὰρ καὶ Βύβλις ἀδελφοὶ ἐδυστύχησαν.* Diogenian. 5, 71 *Καύνιος ἔρως· ἐπὶ τῶν μὴ κατορθουμένων ἐπιθυμιῶν. Καύνου γὰρ ἐρασθεῖσα ἡ ἀδελφὴ καὶ μὴ τυχοῦσα τοῦ ἔρωτος ἀνεῖλεν ἑαυτήν.* Hesych. *Καύνιος Ἔρως· ἐν Καύνῳ τιμᾶται. καὶ ὁ σφοδρός.* itaque quam ex Parthenio (11), Conone (Narrat. 2), Anton. Lib. (30), Ovidio (Met. 9, 454 sq.) novimus fabulam multis varie antiquitus narratam etiam Alexis videtur tractavisse. quae si cui tragoediae quam comoediae aptior videatur, is permultas tragicorum fabulas etiam in quibus corporum conversiones inessent comoediae fuisse accommodatas recordetur. ceterum cf. E. Rohde Gr. Rom. 94 sq.

101

ἐν τῷ βαλανείῳ μήτε πῦρ ταῖς ἐσχάραις
ἐνὸν κεκλεισμένον τε τἀλειπτήριον.

Pollux 7, 166 *μέρος δὲ βαλανείου ἐσχάρα καὶ ἀλειπτήριον. φησὶ γοῦν Ἄλεξις ἐν Καυνίοις κτλ.* 1. *πῦρ* Iungermann.] *τὸ πῦρ.* 2. *ἐνὴν* Mein. V 88, coniectura infelicissima: opus enim erat *οὔτε.* fortasse sic interpretandum: '(quid igitur facerem), si neque ignis in focis erat' cet.

ΚΗΡΥΤΤΟΜΕΝΟΣ

Fortasse *Ἐκκηρυττόμενος.* Meinek. I 400. quod si verum est, *extorris* significatur.

102

ὥστ' ἐξελὼν ἐκ τοῦ λυχνούχου τὸν λύχνον
μικροῦ κατακαύσας ἔλαθ' ἑαυτόν, ὑπὸ μάλης
τῇ γαστρὶ μᾶλλον τοῦ δέοντος προσαγαγών.

Athenaeus 15, 1561 Dindf. *Ἄλεξις δ' ἐν Κηρυττομένῳ κτλ.* 1. *λυχνούχου τὸν* Elmsl. Arist. Ach. 963] *λύχνου τὸν χοντὸν* (non *χαντον*) A teste R. Schoellio Herm. IIII 168. (litterae *λεξις δ' ἐν κηρυττομένωι* et *τ' ἐξελὼν ἐκ τοῦ* hodie vix possunt dignosci.) 2. *ἔλαθ' ἑαυτόν* Elmsl.] *ἔλαθεν αὐτόν* A. *μάλης*] *μέθης* Herwerd. Nov. add. crit. 31. *μάτης* '*temere et inconsulto*' Mein. An. Ath. 344. an *ὑπαμελής*?

ΚΙΘΑΡΩΙΔΟΣ

103

Bekker. Anecd. 96, 9 *ἐξέβη ἡμῖν τὸ ἐνύπνιον· Ἄλεξις Κι-*

θαρῳδῷ. ἐξέβη | τοὐνύπνιον ἡμῖν. Mein. sed quidni *ἐξέβη | ἡμῖν καλῶς* (vel *κακῶς*) *τοὐνύπνιον*?

ΚΛΕΟΒΟΥΛΙΝΗ

Cratini *Κλεοβουλίνας* aliquo modo inmutatas fuisse censet Meinek. I 390.

104

Athenaeus 13, 586a *μνημονεύει δ' αὐτῆς (Σινώπης)... καὶ Ἄλεξις ἐν Κλεοβουλίνῃ.* Suidas *Σινώπη* et Photius *σινωπῆσαι· τοῦτο πεποίηται παρὰ τὴν ἑταίραν Σινώπην. ἐκωμῳδεῖτο γὰρ ἐπὶ τῷ κατασχημονῆσαι (κακοσχ.), καθάπερ Ἄλεξις ἔφη.* eadem fere Hesychius *σινωπίσαι*, quae vera verbi forma est. cf. Nauck. Philol. VI 419. Append. prov. 4, 72 (*σινωπίσαι*) et Apostol. 15, 50 Leutsch.

ΚΝΙΔΙΑ

105

Διόδωρος οὐπίτριπτος ἐν ἔτεσιν δύο
σφαῖραν ἀπέδειξε τὴν πατρῴαν οὐσίαν·
οὕτως ἰταμῶς ἅπαντα κατεμασήσατο.

Athenaeus 4, 165d *ἀσώτους μὲν γὰρ οἶδα διαβοήτους· ἕνα μέν, οὗ μνημονεύει Ἄλεξις ἐν Κνιδίᾳ κτλ.* 3. *ἱκανῶς* C. *Diodorus* diversus a Diodoro Pythagorista, cuius mentio est apud Athen. 4, 163 de. *σφαῖραν ἀπέδειξε*, patrimonium veluti in pilulam conglobatum devoravit (HSteph.). cf. 246, 3. Nicomach. 3.

ΚΟΝΙΑΤΗΣ

Cf. quae ad Amphidis *Κονιατήν* adnotantur.

106

κυμβία,
φιάλαι, τραγέλαφοι, κύλικες

Athenaeus 11, 500e *τραγέλαφοι· οὕτω τινὰ καλεῖται ποτήρια, ὧν μνημονεύει Ἄλεξις ἐν Κονιατῇ* (sic enim scribendum) *κτλ.*

ΚΟΥΡΙΣ

Cf. quae ad cognominem Antiphanis fabulam adnotavimus.

107

καὶ γὰρ ἐπὶ κῶμον . . ἀνθρώπων ὁρῶ
πλῆθος προσιόν, ὡς τῶν καλῶν τε κἀγαθῶν

ἐνθάδε συνόντων· μὴ γένοιτό μοι μόνῳ
νύκτωρ ἀπαντῆσαι καλῶς πεπραγόσιν
5 ὑμῖν περὶ τὸν βαλλισμόν· οὐ γὰρ ἄν ποτε
θοίμάτιον ἀπενέγκαιμι μὴ φύσας πτερά.

Athenaeus 8, 362 c Ἄλεξις ἐν Κουρίδι φησί κτλ. 1. κῶμον] κώμων A. καὶ δὴ γὰρ ἐπὶ τὸν κ. ἀνθρ. Iacobs. Add. Ath. 196. κῶμον πλεῖστον ἀνθρ. Naber. Mnem. nov. VIII 258. 2. προσιὸν ἀστῶν Iacobs. προσιόντων ὡς κ. Mein. 3. Β. μὴ κτλ. Mein. in Ath. 4. 'malim κακῶς'. Mein. ed. min.

5. βαλλίζειν idem est quod ἑορτάζειν. Athen. 362a βαλλίζουσιν οἱ κατὰ τὴν πόλιν τῇ θεῷ, quod ipse interpretatur κωμάζουσιν ἢ χορεύουσιν, unde Italorum *ballare*. adparet de comissatoribus nocturnis agi; multa tamen remanent obscura, quia quae proxima erant Athenaeus omisit.

108

ὁ μὲν οὖν ἐμὸς υἱός, οἷον ὑμεῖς ἀρτίως
εἴδετε, τοιοῦτος γέγονεν, Οἰνοπίων τις ἢ
Μάρων τις ἢ Κάπηλος ἢ καὶ Τιμοκλῆς.
μεθύει γὰρ οὐδὲν ἧττον· ὁ δ' ἕτερος — τί ἂν
5 τύχοιμ' ὀνομάσας; βῶλος, ἄροτρον, γηγενὴς
ἄνθρωπος.

Athenaeus 10, 443d Ἄλεξις δ' ἐν Κουρίδι περί τινος πλέον πίνοντος διαλεγόμενός φησιν κτλ. Eustathius 1623, 51 Ἄλεξις σκώπτων τινὰ ὡς μέθυσον καὶ ἐξώλη φησίν· Οἰνοπίων τις ἢ καὶ Μάρων ἢ Τιμοκλῆς· μεθύει γάρ, οὐδὲν ἕτερον ἐμφαίνει ἢ ὡς ὁ Μάρων περὶ οἶνον ἠσχολεῖτο οὐ μόνον κτώμενος, ἀλλὰ καὶ πίνων. v. 4 (ab ὁ δ' ἕτερος) sq. Eustathius 962, 34 Ἀλέξιδος δέ φασι τοῦ κωμικοῦ ὁ λόγος. 3. καὶ add. Dindf. τις Porson. 4. ἧττον Porson.] ἕτερον A. 5. τύχοιμι A. — de *Oenopione* cf. Preller. Myth. gr.[2] I 352. 564. *Maron* notus ex Odyssea. *Timoclem* diversum a comico esse censet Meinek. I 389. 4. τί ἂν κτλ. cf. quae adnotavimus ad Arist. Nub. 1378. 5. γηγενής aliter, sed item translata significatione Arist. Nub. 853. — alterum filium helluonem, alterum stupidum solique agriculturae deditum esse pater nescio quis queritur.

109

ἐπεὶ πάλαι δεδείπναμεν

Ἄλεξις ἐν Κουρίδι. Athenaeus 10, 422e. cf. Hermipp. 60.

ΚΡΑΤΕΤΑΣ Η ΦΑΡΜΑΚΟΠΩΛΗΣ

Duplicem fuisse fabulae editionem, alteram ante Ol. 115, alteram post Ol. 118, 2 factam, Meinekii est sententia I 388. 395.

quis fuerit *Crateuas* ignoramus. medicum fuisse Meinekius concludit ex fr. 112, quo ipsius verba contineri monet. *Ῥιζοτομικῶν* scriptorem non fuisse docet I 389. de chronologiae difficultatibus Bergk. Mus. Rhen. XXXV 260 sq.

110

πρῶτον μὲν οὖν ὄστρεια παρὰ Νηρεΐ τινα
ἰδὼν γέροντι φῦκος ἠμφιεσμένα
ἔλαβον ἐχίνους τ' · ἔστι γὰρ προοίμιον
δείπνου χαριέντως ταῦτα πεπρυτανευμένου.
τούτων δ' ἀπολυθείς, κειμένων ἰχθυδίων
μικρῶν, τρεμόντων τῷ δέει τί πείσεται,
θαρρεῖν κελεύσας ἕνεκ' ἐμοῦ ταῦτ', οὐδὲ ἓν
φήσας ἀδικήσειν, ἐπριάμην γλαῦκον μέγαν.
ἔπειτα νάρκην ἔλαβον, ἐνθυμούμενος
ὅτι δεῖ γυναικὸς ἐπιφερούσης δακτύλους
ἁπαλοὺς ὑπ' ἀκάνθης μηδὲ ἓν τούτων παθεῖν.
ἐπὶ τὸ τάγηνον φυκίδας, ψήττας τινάς,
καρῖδα, φύκην, κωβιόν, πέρκην, σπάρον,
ἐποίησά τ' αὐτὸ ποικιλώτερον ταῶ.
κρεάδι' ἄττα, ποδάρια, ῥύγχη τινά,
ὠτάρι' ὕει', ἡπάτιον ἐγκεκαλυμμένον·
αἰσχύνεται γὰρ πελιτνὸν ὂν τῷ χρώματι.
τούτοις μάγειρος οὐ πρόσεισ', οὐκ ὄψεται.
οἰμώξεται γὰρ νὴ Δί' · ἀλλ' ἐγὼ σοφῶς
ταῦτ' οἰκονομήσω καὶ γλαφυρῶς καὶ ποικίλως
οὕτω, ποιῶ γὰρ τοὔψον αὐτός, ὥστε τοὺς
δειπνοῦντας εἰς τὰ λοπάδι' ἐμβάλλειν ποιῶ
ἐνίοτε τοὺς ὀδόντας ὑπὸ τῆς ἡδονῆς.
τὰς σκευασίας πάντων δὲ καὶ τὰς σκευάσεις
τούτων ἕτοιμός εἰμι δεικνύειν, λέγειν,
προῖκα προδιδάσκειν, ἂν θέλῃ τις μανθάνειν.

Athenaeus 3, 107 a *Ἄλεξις ἐν Κρατεύᾳ* (*κρατείᾳ* A) *ἢ Φαρμακοπώλῃ . . . φησὶ δ' οὕτως ὁ κωμικός κτλ.* v. 9—11 etiam fr. 48, cui v. 12—14 quoque addendos esse censet Mein. cf. etiam fr. 24. v. 12 Athen. 3, 108 a *ταγηνιστῶν δ' ἰχθύων μνημονεύει Ἄλεξις ἐν Δημητρίῳ καθάπερ καὶ ἐν τῷ προκειμένῳ δράματι* (*Κρατεύᾳ*). v. 15. 16 Athenaeus 3, 95 a *ποδῶν τε καὶ ὠτίων, ἔτι δὲ ῥύγχους Ἄλεξις* (*μνημονεύει*) *ἐν Κρατεύᾳ* (*κρατίαι* A) *ἢ Φαρμακοπώλῃ.* 1. *οὖν* add. Elmsl. *ὄστρεια* Dindf.] *ὄστρεα* A. *τινα*

Mein.] *τινι.* 2. *φῦκος* Elmsl.] *φυκίοις* A. *φυκί'* Dindf. *ἠμφιεσμένα* Coraes] *ἠμφιεσμένωι* A. 3. *τε* A. 4. *πεπρυτευμένου* A. 7. 8. *τἀυτοῦ δὲ ἐν φησας* A. 10. *δεῖ* C] *δὴ* A. 11. *τούτων*] *τούτους* fr. 48. fortasse *λυπρὸν.* 12. *τὸ*] *τό τε* C. *ψήττας*] *τήττας* C. *τινάς*] *κτένας* Mein. 13. *κωβίον* A. 14. *αὐτὸ* C] *αὐτὸν* A. 15. *κρεάδι' ἄττα* Dobr. Arist. Plut. 228 p. 27] *κρεάδια* A. 16. *ὠτάρι' ὕει', ἠπάτιον* Dindf.] *ὠτάρια ὑϊηπάτιον* A. 17. *πελιτνὸν* Pors.] *πελιδνὸν* A. *ὂν* add. C. 18. *ὄττεται* C. 19. *Δί' ἀλλ' ἐγὼ* L et epit. Hoesch.] *δία λέγω* A. *σοφῶς* C] *σαφῶς* A. 21 et 22. *ποῶ* A. 22. *λοπάδι'* fr. 24] *λοιπὰ δι* A. 26. *ἂν* Pors. Adv. 232.

loquitur coquus. 1. *Nereus senex* dicitur, quia nomen commune habet cum Nereo marino, ut apud Homerum Proteus semper *ἅλιος γέρων* est. cf. quae ad cognominem Anaxandridis fabulam adnotavimus. 3. *ἔλαβον, emi.* 7. pisciculos minutos se ait contempsisse. 12. *ἐπὶ τὸ τάγηνον*, i. e. ad cibum in *ταγήνῳ* parandum. 17. imitatus est Crobylus 6, 2. Moeris 208, 8 *πελιτνὸν ἐν τῷ τ ἀττικῶς. πέλιον ἢ πελιδνὸν ἑλληνικῶς.* 18. manifesto corrupta. quid enim? *coquus* eis non accedet neque *videbit* talia, quae cuivis spectare liceat? quis igitur alius magis quam qui adparare sciat? scribendum est utique *τούτοις δ' ἄπειρος οὐ πρόσεισ' οὐδ' ἅψεται.* (atque *ἅψεται* iam Naber. Mnem. nov. VIII 258.) inperito scilicet sese opponit ut peritum: *ἀλλ' ἐγὼ κτλ.* 24. *σκευασία* vera nominis forma est, non *σκεύασις.* scrib. *καὶ τὰς εὑρέσεις.* ubi quidque et quando inveniatur eorum quae ad cenam opus sint se monstraturum esse promittit.

111

παῖ, τὴν μεγάλην δός, ὑποχέας
φιλίας κυάθους μὲν τῶν παρόντων τέτταρας,
τοὺς τρεῖς δ' ἔρωτος προσαποδώσεις ὕστερον·
ἓν' Ἀντιγόνου τοῦ βασιλέως νίκης καλῶς,
5 *καὶ τοῦ νεανίσκου κύαθον Δημητρίου.*
φέρε τὸν τρίτον . . . . . .
Φίλας Ἀφροδίτης· χαίρετ' ἄνδρες συμπόται,
ὅσων ἀγαθῶν τὴν κύλικα μεστὴν πίομαι.

Athenaeus 6, 254 a *Ἄλεξις γοῦν ἐν Φαρμακοπώλῃ ἢ Κρατεύᾳ* (*κρατείᾳ* A) *προπίνοντά τινα εἰσαγαγὼν ἑνὶ τῶν συμποτῶν καὶ λέγοντα ποιεῖ τάδε κτλ.* 1. *ὑποχέας* recte A. 2. *μὲν* add. Mein., melius tamen in Athen. scribens *τῶν συμπαρόντων.* 3. *ἔρωτος* A. versum corruptum esse arbitratur Cobetus N. l. 610. 11. 4. *ἓν'* add. Casaub. *καλῆς* idem. *B. καλῶς. A. καὶ τοῦ κτλ.* Dobr. 7. *φίλης* (suprascr. *α*) A. 8. *ὅσων* P et Casaub.] *ὅσην* A.

1. '*οἱ οἰνοχόοι τὸν οἶνον ὑποχέαντες εἶτα τὸ ὕδωρ ἐπιχέουσιν*'

Cobet. N. l. 601. cf. Antiphan. 81, 2. Sophil. 4. Diphil. 5. 2. *τῶν παρόντων* pendet a *φιλίας*. 6. *φέρε τὸν τρίτον τοῦ φῶμεν; οἶδ'· ἔσται τρίτος* Herwerd. Anal. crit. 47, non admodum amice erga Philam, tamquam post longam meditationem eius recordetur. quidni *ἐπάξιος γάρ· εἶτα δὴ φέρε τὸν τρίτον κτλ.* sed talia sexcenta excogitari possunt.

vulgo haec ad victoriam navalem, non tam ab Antigono quam a Demetrio Poliorceta, apud Cyprum partam Ol. 118, 3, *λαμπρὰν καὶ καλήν* teste Plutarcho Dem. 17, et ad Philam, primam Demetrii uxorem, Antipatri filiam, referuntur. cf. etiam Droysen. Hellenism. I 501. sed cum Ol. 118, 2 Athenis Eurydicen, puellam Atheniensem, in matrimonium duxerit, tempora ita inter se pugnant, ut Bergkius Mus. Rhen. XXXV 261 sq. hos versus mortuo iam Alexide in fabulam eius esse insertos et *Antigonum Gonatam* uxoremque eius *Philam*, Seleuci filiam, *Demetrium* autem amborum filium et victoriam ex Alexandro Molossorum rege Ol. 129 partam, cui Demetrius minor fortissime pugnans interfuerat, significari statuerit. *Φίλας Ἀφροδίτης* fanum in Attica fuit prope vicum, cui hodie Daphni nomen est (*Θριῆσι*). Athen. 6, 255c. C. I. I 507. 8. sed utrius Philae fuerit non constat.

112

τῷ Καλλιμέδοντι γὰρ θεραπεύω τὰς κόρας
ἤδη τετάρτην ἡμέραν. Β. ἦσαν κόραι
θυγατέρες αὐτῷ; Α. τὰς μὲν οὖν τῶν ὀμμάτων,
ἃς οὐδ' ὁ Μελάμπους, ὃς μόνος τὰς Προιτίδας
ἔπαυσε μαινομένας, καταστήσειεν ἄν.

Athenaeus 8, 340a *περὶ Καλλιμέδοντος τοῦ Καράβου ὅτι ... ἦν διάστροφος τοὺς ὀφθαλμούς... Ἄλεξις ἐν Κρατεύᾳ* (*κρατίᾳ* A) *ἢ Φαρμακοπώλῃ κτλ.* 'ludit in ambigua significatione vocis *κόρη*. Diog. L. 6, 68 *πρὸς Διδύμωνα τὸν μοιχὸν ἰατρεύοντά ποτε κόρης ὀφθαλμόν, ὅρα, φησί, μὴ τὸν ὀφθαλμὸν τῆς παρθένου ἰατρεύων τὴν κόρην φθείρῃς.*' Mein. de *Callimedonte Carabo* cf. Antiphan. 26, 5. de *Melampode* et *Proeti filiabus* Preller. Myth. gr.[2] II 56.

113

καὶ Καλλιμέδων μετ' Ὀρφέως ὁ Κάραβος

Athenaeus 8, 340c (*Ἄλεξις*) *ἐν Κρατεύᾳ* (*κρατίᾳ* A) *κτλ.* iocus a similitudine nominum *Ὀρφεύς* et *ὀρφώς* petitur. cf. Archipp. 17.

114

στεφάνους τε πολλοὺς κρεμαμένους μελιλωτίνους

Athenaeus 15, 678c *μελιλωτίνων στεφάνων μνημονεύει Ἄλεξις ἐν Κρατεύᾳ* (*κρατίαι* A) *ἢ Φαρμακοπώλῃ οὕτως κτλ.*

115

εἶθ' ὁρῶ τὸν Ἑρμαΐσκον τῶν ἁδρῶν τούτων τινὰ
κάνθαρον καταστρέφοντα, πλησίον δὲ κείμενον
στρωματέα καὶ γύλιον αὐτοῦ.

Athenaeus 11, 473 d *Ἄλεξις δ' ἐν Κρατεύᾳ* (*ὁ δὲ λόγος περί τινος ἐν καπηλείῳ πίνοντος*) *κτλ.* (*κρατίᾳ* A). 1. *ἁδρῶν* G. Hermann. De metr. 118] *ἀνδρῶν* A. 3. *στρωμάτεα τε* (sic) A. — si Alexis v. 3 sic ut supra nos scripsit, primus *α* accusativi nominum in *εύς* desinentium corripuit. Meinekius V 89 cum Casaubono *στρώματά τε καὶ κτλ.* cf. etiam Mein. I 295. 6. *Hermaiscus* miles est: eius enim supellex v. 3 describitur. 2. *καταστρέφοντα*, ut Verg. Aen. 9, 163 *vertunt crateras aenos*, i. e. ebibunt (Schweigh.). cf. Horat. C. 3, 29, 2. *invertunt* Serm. 2, 8, 39.

ΚΥΒΕΡΝΗΤΗΣ

116

δύ' ἐστί, Ναυσίνικε, παρασίτων γένη·
ἓν μὲν τὸ κοινὸν καὶ κεκωμῳδημένον,
οἱ μέλανες ἡμεῖς· θάτερον ζητῶ γένος,
5 *σεμνοπαράσιτον ἐκ μέσου καλούμενον,*
4 *σατράπας παρασίτους καὶ στρατηγοὺς ἐπιφανεῖς*
6 *ὑποκρινόμενον εὖ τοῖς βίοις, ὀφρῦς ἔχον*
χιλιοταλάντους ἀνακυλῖόν τ' οὐσίας.
νοεῖς σὺ τὸ γένος καὶ τὸ πρᾶγμα; Ν. καὶ μάλα.
Α. τούτων ἑκατέρου τῶν γενῶν ὁ μὲν τύπος
10 *τῆς ἐργασίας εἷς ἐστι, κολακείας ἀγών·*
ὥσπερ ἐπὶ τῶν βίων δέ, τοὺς μὲν ἡ τύχη
ἡμῶν μεγάλοις προσένειμε τοὺς δ' ἐλάττοσιν,
εἶθ' οἱ μὲν εὐποροῦμεν οἱ δ' ἀλύομεν.
ἆρά γε διδάσκω, Ναυσίνικ'; Ν. οὐκ ἀστόχως·
15 *ἀλλ' ἄν σ' ἐπαινῶ μᾶλλον, αἰτήσεις μέ τι.*

Athenaeus 6, 237 b *παρασίτων εἶναί φησι γένη δύο Ἄλεξις ἐν Κυβερνήτῃ διὰ τούτων κτλ.* 1. *ἐστιν αὐσίνικε* A. v. 4 post 5 transposuit Dobr. Adv. II 310, ut accusativi penderent ab *ὑποκρινόμενον*. 4. *παρασίτους*] *μεγίστους* vel *ζαχρύσους* (*ζαπλούτους*) Dobr. 5. *ἐκ μέσου*] *ἐμμέτρως* Herwerd. Obs. crit. 69 conl. Plat. Cratyl. 395 e *δοκεῖ τοὔνομα ἐμμέτρως κεῖσθαι.* scribendum potius *ἐν μέσῳ*, i. e. *ubique*. 6. *ἔχον* Grot. Excerpt. 573] *ἔχοντα* A. 7. *ἀνακυλῖόν τ' οὐσίας* Porson.] *ἀνακυλιον τουσιας* A. *χιλιοταλάντους τ' ἀνακυλίνδον* Herwerd., remota forma *κυλίω*, de qua Cobet. V. l.[2]

133. 8. σὺ add. Reisig. Coniect. 179. τό τε γ. Pors. Praef. Hecub. XVIII. an νοεῖς τι τὸ γ.? 12. μεγάλοις VL] μεγάλαις A. δὲ ἐλάττοσι A. 14. ἆρ' εὖ σε δ. Herwerd. 70. scrib. ἆρ' ἐκδιδάσκω, cf. Arist. Ran. 64. N. οὐκ ἀστόχως Dutheil.] οὐκ ἀστόχως N. μέ τι Dutheil.] μέτι A.

Nausinicus breviter respondet v. 8 et 14. 15, cetera parasitus dicit. 3. Poll. 4, 119 οἱ δὲ παράσιτοι μελαίνῃ ἢ φαιᾷ (ἐσθῆτι ἐχρῶντο). deinde scribendum θάτερον ζηλωτέον et v. 4. 6 σατράπας Μεγαβύζους καὶ στρατιώτας ἐπιφανεῖς ὑποκρινόμενον ἐν τοῖς βίοις. cf. Arist. Av. 484. Lucian. Tim. 22 ἀντὶ τοῦ τέως Πυρρίου... Μεγάβυζος .. μετονομασθείς. Aelian. V. h. 2, 2. Cratet. 33. Menand. 127. Quintil. 5, 12, 21 *statuarum artifices...numquam in hunc inciderunt errorem, ut Bagoam aut Megabyzum aliquem in exemplum operis sumerent.* Dobraei ζαχρύσους vel propterea reiciendum, quia qui *sunt* divites non fiunt parasiti. σατράπαι Μεγάβυζοι sunt praefecti Macedonii superbe omnia prae se contemnentes, sed inopes et petulantes. 12. μεγάλοις, *magnis patronis.*

117

εἰσέβαινον ἰσχάδες,
τὸ παράσημον τῶν Ἀθηνῶν, καὶ θύμου δέσμαι τινές.

Athenaeus 14, 652c Ἄλεξις ἐν Κυβερνήτῃ φησίν κτλ. v. 1. 2 (Ἀθηνῶν, pro quo cum C Ath. Ἀττικῶν habet) Eustathius 955, 8 sine fabulae auctorisve nomine. v. 2 idem 1411, 35 χρῆσις Ἀλέξιδος ἐν τῷ 'καὶ θύμου κτλ.' cf. Eubul. 37.

ΚΥΒΕΤΤΑΙ

118

ἠριστηκότων
σχεδόν τι δ' ἡμῶν ἐξ ἀκροκωλίου τινός —

Athenaeus 3, 96a Ἄλεξις Κυβευταῖς κτλ. 2. ἐξ] ἓξ Mein. '*cum nos numero ferme sex de aerocolio pranderimus.*'

ΚΥΚΝΟΣ

119

φαιδρὸς δὲ κρατὴρ θηρίκλειος ἐν μέσῳ
ἕστηκε, λευκοῦ νέκταρος παλαιγενοῦς
πλήρης, ἀφρίζων· ὃν λαβὼν ἐγὼ κενὸν
τρίψας, ποιήσας λαμπρόν, ἀσφαλῆ βάσιν
5 στήσας, συνάψας καρπίμοις κισσοῦ κλάδοις
ἔστεψα.

Athenaeus 11, 472a Ἄλεξις ἐν Κύκνῳ κτλ. 4. ποήσας A.

5. *ἀνάψας* Mein. Anal. Ath. 217. aut hoc aut *καρπίμους κλάδους* recipiendum est. *κισσοῦ* consulto poeta ut in tragici sermonis imitatione. — 3. crateram quisquis loquitur antea purgaverat vacuam, nunc plena vini adstat. cf. Antiphan. 237.

ΚΥΠΡΙΟΣ

120

ἔπειτα πῶς ἦλθες; Β. μόλις
ὀπτωμένους κατέλαβον. Α. ἐξόλοι'. ἀτὰρ
πόσους φέρεις; Β. ἑκκαίδεκ'. Α. οἶσε δεῦρό μοι.
Β. λευκοὺς μὲν ὀκτώ, τῶν δὲ φαιῶν τοὺς ἴσους.

Athenaeus 3, 114d *τοὺς δὲ ῥυπαροὺς ἄρτους φαιοὺς ὠνόμασεν Ἄλεξις ἐν Κυπρίῳ οὕτως κτλ.* 2. 3. *ἐξόλοιο ἀταρπος οὓς* A. 3. *ἑκκαίδεκα οἶσο* A. *οἶσε* Dobr. Adv. II 303. *μοι*, in Ath. *δή*, add. Mein. 4. *λευκῶν* Dobr.

121

τὸν δ' αὐτόπυρον ἄρτον ἀρτίως φαγών

Athenaeus 3, 110e *αὐτοπύρου δ' ἄρτου μνημονεύει Ἄλεξις ἐν Κυπρίῳ κτλ.* cf. Phryn. 38. Lucian. Pisc. 45 *ἄρτους τῶν αὐτοπυριτῶν.*

122

διπλάσαι

τὸ διπλασιάσαι. Ἄλεξις Κύπριδι (Κυπρίῳ). Bekk. Anecd. 89, 6. Hesych. *διπλάσαι (διπλᾶ πᾶσαι* cod.)· *διπλᾶ ποιῆσαι.* egregie Lobeck. Soph. Ai. 268.

ΛΑΜΠΑΣ

Cf. quae ad Antiphanis *Λαμπάδα* adnotantur.

123

καταφαγεῖν
αὐτὸς τοσοῦτ' ἀργύριον. οὐδ' εἰ γάλα λαγοῦ
εἶχον, μὰ τὴν γῆν, καὶ ταῶς, κατήσθιον.

Athenaeus 14, 654f *Ἄλεξις ἐν Λαμπάδι κτλ.* 2. *τουσουτ'* A. *οὐδει* et *λαγοῦ* post *εἶχον* A. transposuit Schweigh., scribens simul *λαγώ*. Dobr. Adv. II 349 tetr. troch. *καταφαγεῖν αὐτὸς τοσοῦτον ἀργύριον οὐκ εἶχον ἄν, | οὐδ' ἂν εἰ λαγὼς μὰ τὴν γῆν καὶ ταῶς κατήσθιον. γάλα λαγοῦ* defendit Mein. V 89.

ΛΕΒΗΣ

124

ἦψέ μοι δοκεῖ
πνικτόν τι ὄψον δελφάκειον. ΓΛ. ἡδύ γε.
Α. ἔπειτα προσκέκαυκε. ΓΛ. μηδὲν φροντίσῃς.
ἰάσιμον γὰρ τὸ πάθος ἐστί. Α. τῷ τρόπῳ;
ΓΛ. ὄξος λαβὼν ἦν εἰς λεκάνην τιν' ἐγχέας
ψυχρόν, ξυνιεῖς; εἶτα θερμὴν τὴν χύτραν
εἰς τοὔξος ἐνθῇς· διάπυρος γὰρ οὖσ' ἔτι
ἕλξει δι' αὐτῆς νοτίδα, καὶ ξυμουμένη
ὥσπερ κίσηρις λήψεται διεξόδους
σομφάς, δι' ὧν τὴν ὑγρασίαν ἐκδέξεται·
τὰ κρεάδι' ἔσται τ' οὐκ ἀπεξηραμμένα,
ἔγχυλα δ' ἀτρεμεῖ καὶ δροσώδη τὴν σχέσιν.
Α. Ἄπολλον, ὡς ἰατρικῶς. ὦ Γλαυκία,
ταυτὶ ποιήσω. ΓΛ. καὶ παρατίθει γ' αὐτά, παῖ,
ὅταν παρατιθῇς, μανθάνεις; ἐψυγμένα.
ἀτμὸς γὰρ οὕτως οὐχὶ προσπηδήσεται
ταῖς ῥισίν, ἀλλ' ἄνω μάλ' εἰσι καταφυγών.
Α. πολλῷ γ' ἀμείνων, ὡς ἔοικας, ἦσθ' ἄρα
λογογράφος ἢ μάγειρος. ΓΛ. ὃ λέγεις οὐ λέγεις,
τέχνην δ' ὀνειδίζεις.

Athenaeus 9, 383c παράγει αὐτὸν (ἕνα τῶν ἀρχαίων μαγείρων) Ἄλεξις ἐν Λέβητι λέγοντα τάδε κτλ. 1. ἦψ' ἐμοὶ δοκεῖν Mein. ἕψειν μοὐδόκει recte Hirschig. Dissert. 39. 2. τι Dindf.] τιν' A. scr. ὄψον τι πνικτόν. δελφάκειον Dindf.] δελφάκιον. 3. προσκέκαυκα Hirschig. 5. ἦν Mein.] ην A. τινὰ A. 6. ξυνιεῖς K.] ξυνιεὶς A. 7. ἐνθῇς Dobr. Adv. II 322] ἐνθεὶς A. 8. αὐτῆς Dindf.] αυτῆς A. 10. εἰσδέξεται Mein. Anal. Ath. 168. 11. κρεάδι' Casaub.] κρέα δ' A. κρέ' ἡδέ' ἔσται κοὐκ Iacobs. Add. Ath. 204. 12. ἐνχυλα A. ἀτρέμει A. an ἀμέλει? 14. αὐτά, παῖ] αὐτίκα? 15. παρατιθῇς Schweigh.] παρατίθης A. 16. ἀτμὸς Schweigh.] ἀτμὶς A. 17. ρισὶν A. ἄνω μάλ' εἶσι Scalig. ap. Grot. Excerpt. 973] ἀνωμαλίσει A. ἄνω βαδίζει Cobet. N. l. 21, conl. Nicostr. 15, 4. at futuro opus erat. itaque βαδιεῖται Naber. Mnem. nov. VIII 260. καταφυγών Schweigh.] καταφαγών A. 18. πολλῷ γ' Casaub.] πολλῶντ' A. 19. εὖ λέγεις Dobr.

5. ἦν — ἐνθῇς, apodosis sequitur post parenthesin v. 11. 6. ξυνιεῖς; cf. quae adnotavimus ad Arist. Nub. 355, et de forma Diphil. 32, 13. 11. de forma ἀπεξηραμμένα cf. Cobet. V. l.[2] 227. ἐξηρασμένος Antiph. 217, 13. 12. ἀτρεμεί non significat *paulla-*

tim, ne Nub. 390 quidem. 17. fortasse *ἄνω πάρεισιν ἀποφυγών.* 18. *ἦσθ' ἄρα.* cf. quae ad Arist. Nub. 165 adnotavimus. 19. *λογογράφος* qui mercede conductus aliis orationes scribit. Demosth. 19, 250 *εἶτ' οὐ σὺ σοφιστής; καὶ πονηρός γε. οὐ σὺ λογογράφος; καὶ θεοῖς ἐχθρός γε. ὃ λέγεις οὐ λέγεις* 'quod vis dicere non dicis, i. e. quod dicis non significat id quod tu putas. laudem tu hanc esse opinaris, sed opprobrium in artem est.' Cobet. N. l. 21. — conloquitur Glaucia coquus cum administro ut videtur.

125. 126

οὐ γέγονε κρείττων νομοθέτης τοῦ πλουσίου
Ἀριστονίκου. τίθησι γὰρ νυνὶ νόμον,
τῶν ἰχθυοπωλῶν ὅστις ἂν πωλῶν τινι
ἰχθὺν ὑποτιμήσας ἀποδῶτ' ἐλάττονος
5 *ἧς εἶπε τιμῆς, εἰς τὸ δεσμωτήριον*
εὐθὺς ἀπάγεσθαι τοῦτον, ἵνα δεδοικότες
τῆς ἀξίας ἀγαπῶσιν, ἢ τῆς ἑσπέρας
σαπροὺς ἅπαντας ἀποφέρωσιν οἴκαδε.
κἀνταῦθα καὶ γραῦς καὶ γέρων καὶ παιδίον
10 *πεμφθεὶς ἅπαντες ἀγοράσουσι κατὰ τρόπον.*
. . . . . .
οὐ γέγονε μετὰ Σόλωνα κρείττων οὐδὲ εἷς
Ἀριστονίκου νομοθέτης· τά τ' ἄλλα γὰρ
νενομοθέτηκε πολλὰ καὶ παντοῖα δή,
νυνί τε καινὸν εἰσφέρει νόμον τινὰ
15 *χρυσοῦν, τὸ μὴ πωλεῖν καθημένους ἔτι*
τοὺς ἰχθυοπώλας, διὰ τέλους δ' ἑστηκότας·
εἶτ' εἰς νέωτά φησι γράψειν κρεμαμένους,
καὶ θᾶττον ἀποπέμψουσι τοὺς ὠνουμένους,
ἀπὸ μηχανῆς πωλοῦντες ὥσπερ οἱ θεοί.

Athenaeus 6, 226a *κἂν τῷ Λέβητι δέ φησιν ὁ αὐτὸς ποιητής· οὐ γέγονε — κατὰ τρόπον. καὶ προελθὼν δέ φησιν· οὐ γέγονε μετὰ κτλ.* 2. 'post *Ἀριστονίκου* Athenaeus quaedam omisisse videtur.' Dindf. *'θηκε γὰρ* Emperius. *φησὶ γὰρ θήσειν νόμον* Mein. Anal. Ath. 97. 3. *τινι* Pors. Advers. 50] *τὸν* A. 4. *ἐπιτιμήσας* Coraes. 7. *τὰς ἀξίας ἀγαπῶσιν* Mein. *τῆς ἀξίας πωλῶσιν* G. A. Hirschig. Anu. crit. 12. scrib. *τῆς ἀξίας ἀποδῶσιν.* cf. quae adnotavimus ad Arist. Ran. 1235. deinde *εἶτ' εἰς* (vel *ἐς*) *ἑσπέραν* C. 8. *ἅπαντας* Grot. Excerpt. 575] *ἅπαντες* A. 9. fortasse *κἂν γραῦς κἂν γέρων κἂν παῖς τις ἢ πεμφθείς.* 10. *ἀγοράσωσι* C. 13. *δή* Grotius] *δέ* A. initio *νενομοθέτηκ' εὖ* Herwerd. Mnem. nov. IIII

303. 15. *καθημένους ἔτι* Iacobs. Add. Ath. 132] *ἔτι καθημένους* A. 17. *φησιν* A. 18. *ἀποπέμψουσι* C] *ἀποπέμπουσι* A. scr. *ἵνα θᾶττον ἀποπέμπωσι.* cf. v. 6 sq.

fragmentum 126 non ex eadem comoedia excerptum esse Meinekius suspicatur Anal. Ath. 97: excidisse titulum fabulae alterius, ex qua haec posteriora petita sint. 19. *οἱ θεοί, ut deus ex machina.*

127

καὶ μὴ προφάσεις ἐνταῦθά μοι, μηδ' 'οὐκ ἔχω.'
Β. ἀλλὰ λέγ' ὅτου δεῖ. λήψομαι γὰρ πάντ' ἐγώ.
Α. ὀρθῶς. τὸ πρῶτον μὲν λάβ' ἐλθὼν σήσαμα.
Β. ἀλλ' ἔστιν ἔνδον. Α. ἀσταφίδα κεκομμένην,
5 *μάραθρον, ἄνηθον, νᾶπυ, καυλόν, σίλφιον,*
κορίαννον αὖον, ῥοῦν, κύμινον, κάππαριν,
ὀρίγανον, γήτειον, ἄννισον, θύμον,
σφάκον, σίραιον, σέσελι, πήγανον, πράσον.

Athenaeus 4, 170a *ἡδυσμάτων δὲ κατάλογον Ἄλεξις ἐποιήσατο ἐν Λέβητι οὕτως κτλ.* v. 3—8 Pollux 6, 66 *Ἄλεξις ἐν Λέβητι... ὀρθῶς κτλ.* 1. *καὶ* add. VL. 2. *λέγ' ὅτου δεῖ* Dobr. Adv. II 307] *λέγοντα ουδει* A. 3. *ὀρθῶς γε· πρῶτον* Poll. 5. *μάραθρον* B] *μάραθον* A Ath., *μάραθα* A Poll. 7. *γήτειον*] *γήτιον* A Poll. *ἄννισον* Poll. Bekkeri cod.] *σκόροδον* A Ath. om. A Poll. *σκορόδια, γήτειον* Dobr. 208. 8. *σέσελι* A Ath.] *πέπερι* Pollux, 'qui propter hoc ipsum (*πέπερι*) Alexidis versus attulit.' Dindf.

7. Schol. Theocr. 7, 63 (Mein.) *ἄνηθον τὸ μάλαθρον ῃ· ἄνισον τὸ γλυκάνισον ῑ.* cf. Lobeck. Pathol. prol. 400 cum not. 8. — cum initio eclogae cf. Arist. Ach. 345.

128

καὶ τί δεῖ
λέγειν ἔθ' ἡμᾶς τοὺς τὰ σῦχ' ἑκάστοτε
ἐν τοῖς συρίχοις πωλοῦντας; οἳ κάτωθε μὲν
τὰ σκληρὰ καὶ μοχθηρὰ τῶν σύκων ἀεὶ
5 *τιθέασιν, ἐπιπολῆς δὲ πέπονα καὶ καλά.*
εἶθ' ὁ μὲν ἔδωκεν ὡς τοιαῦτ' ὠνούμενος
τιμήν, ὁ δ' ἐγκάψας τὸ κέρμ' εἰς τὴν γνάθον
ἐρίν' ἀπέδοτο σῦκα πωλεῖν ὀμνύων.

Athenaeus 3, 76d *Ἄλεξις ἐν Λέβητι κτλ.* 2. *σῦκα* A. 3. *ὑρίχοις* Dindf. cf. quae adnotantur ad Aristoph. fr. 569, 5. *κάτωθεν* A. 4. *καὶ*] *καὶ τὰ* A. 7. cf. Arist. Vesp. 791.

129

Athenaeus 14, 661d *Ἄλεξις ἐν Λεβητίῳ δηλοῖ, ὅτι ἡ μαγειρικὴ*

τέχνη ἐπιτήδευμα ἦν ἐλευθέρων. πολίτης γάρ τις οὐκ ἀπινὴς ἐν αὐτῷ δείκνυται ὁ μάγειρος. Athen. 14, 658 extr. *οὐδὲ γὰρ ἂν εὕροι τις δοῦλον μάγειρόν τινα ἐν κωμῳδίᾳ, πλὴν παρὰ Ποσειδίππῳ μόνῳ.* Plin. N. h. 18, 108 *nec coquos vero habebant in servitiis, cosque ex macello conducebant.* scilicet *Glaucia* coquus significatur fragmenti 124.

ΛΕΥΚΑΔΙΑ Η ΔΡΑΠΕΤΑΙ

130

οἴνου γεραιοῖς χείλεσιν μέγα σκύφος.

Athenaeus 11, 498 e (*σκύφος οὐδετέρως*) *Ἄλεξις ἐν Λευκαδίᾳ κτλ.* *γεραιοῦ* Bergk. *χείλεσι* A. *γεραιοῦ 'γχεῖτέ μοι? — γεραιός* tragicum colorem prae se fert.

131

φέρε τὴν σιβύνην καὶ πλατύλογχα.

Pollux 10, 144 *Ἄλεξις ἐν Λευκαδίᾳ κτλ.* Toupius Emend. IIII 243 *πλατύλογχ' ἀκόντια.* cf. Arist. Thesm. 1197 cum eis quae Fritzschius adnotavit et Arist. fr. 476. 7.

132

χορδαρίου τόμος ἧκεν καὶ περικομμάτιον.

Athenaeus 3, 95 a *Ἄλεξις δ' ἐν Λευκαδίᾳ* (*λυκαδίᾳ* A) *ἢ Δραπέταις κτλ.* *περικομμάτιον* Mein.] *περικομματίων* A. de metro Meinekius confert Antiphan. 174, 2. 5. 6.

ΛΕΥΚΗ

133

ἐπίστασαι τὸν σαῦρον ὡς δεῖ σκευάσαι;
Β. ἀλλ' ἂν διδάσκῃς. Α. ἑξελὼν τὰ βραγχία,
πλύνας, περικόψας τὰς ἀκάνθας τὰς κύκλῳ,
παράσχισον χρηστῶς, διαπτύξας θ' ὅλον
5 *τῷ σιλφίῳ μάστιξον εὖ τε καὶ καλῶς,*
τυρῷ τε σάξον ἁλσί τ' ἠδ' ὀριγάνῳ.

Athenaeus 7, 322 cd *σαῦρος· τούτου μνημονεύει Ἄλεξις ἐν Λεύκῃ. μάγειρος δ' ἐστὶν ὁ λέγων κτλ.* 2. *διδάξῃς* Herwerd. Mnem. nov. VI 70. quod non necessarium esse cognoscitur ex eis quae adnotavi ad Arist. Eq. 1158, ubi cf. exemplum Nicomach. 1, 7. 3. scribendum videtur *τὰς ἀκ. ἐν κύκλῳ.* 5. *τε* Dindf.] *γε* A. cf. Lobeck. Paralip. 65. *μάστιξον* ab Alexide scriptum

esse non potest, quia Attici verbo *μαστίζω* non utuntur. Photii glossa *μαστίξω ἀντὶ τοῦ κνίσω* quo pertineat incertum est. fortasse *μάλαξον*. 6. *ἠδ'*] *εἶτ'* Mein. 'sed aliud latere videtur.' scilicet etiam *ἁλσὶ σάττειν* quid sit difficile erit dicere. itaque non dubito quin scribendum sit *τυρῷ τε σάξον, ἀλφίτοις, ὀριγάνῳ*.

1. Herodian. I 193, 5 *βαρύνεται φλαῦρος, σαῦρος... ταῦρος*. saurum piscem describit Aelian. H. an. 12, 25. 4. *παράσχισον* 'per medium *finde*, ut Epicharm. Athen. 7, 309 e *κόκκυγες οὓς παρσχίζομες*.' Mein. Herodot. 2, 86 *λίθῳ ὀξέι παρασχίσαντες* (*τὸν νεκρὸν*) *παρὰ τὴν λαπάρην ἐξ ὧν εἷλον τὴν κοιλίην*.

ΛΗΜΝΙΑ

134

καὶ μὴν παρῆν ἀνθράκιον ἡμῖν ἐν μέσῳ
σείσων τε κυάμων μεστός.

Pollux 10, 100 *βαῦνον ἂν εἴποις τὸν χυτρόποδα, καί που καὶ ἀνθράκιον, Ἀλέξιδος εἰπόντος ἐν Λημνίᾳ κτλ. καὶ γὰρ ὁ σείσων ἀγγεῖον, ᾧ κυάμους ἢ ἄλλο τι τοιοῦτον ἐνέφρυγον*. Bekker. Anecd. 404, 9 *ἀνθράκιον· βραχὺ τριποδίσκιον παραλεξείδιον* (*παρ' Ἀλέξιδι* Mein.). cf. Suidas *ἀνθράκιον* et *τρίπος*. Pollux 7, 181 *ὁ δὲ φρυγεὺς καὶ σείσων καλεῖται*. Hesych. *σείσων· ἄγγος κεραμεικόν* (*κεραμεοῦν*), *ἐν ᾧ τοὺς κυάμους φρύγουσιν*. nomen sine dubio acceperat, quod identidem *ἐσείετο*. cf. Axionic. 7, 2.

ΛΙΝΟΣ

Cf. Meinek. I 392. Apollodor. 2, 4, 9 *ἐδιδάχθη Ἡρακλῆς... κιθαρῳδεῖν ὑπὸ Λίνου*. cf. Schol. Hom. Il. 18, 570. Diodor. 3, 67 *Λίνον... μαθητὰς σχεῖν πολλούς, ἐπιφανεστάτους δὲ τρεῖς, Ἡρακλέα, Θαμύραν καὶ Ὀρφέα. τούτων δὲ τὸν μὲν Ἡρακλέα κιθαρίζειν μανθάνοντα διὰ τὴν τῆς ψυχῆς βραδύτητα μὴ δύνασθαι δέξασθαι τὴν μάθησιν, ἔπειθ' ὑπὸ τοῦ Λίνου πληγαῖς ἐπιτιμηθέντα διοργισθῆναι καὶ τῇ κιθάρᾳ τὸν διδάσκαλον πατάξαντα ἀποκτεῖναι*. quae magnam partem videntur ex comoedia deprompta esse.

135

ΛΙΝ. βυβλίον
ἐντεῦθεν ὅ τι βούλει προσελθὼν γὰρ λαβέ,
ἔπειτ' ἀναγνώσει, πάνυ γε διασκοπῶν
ἀπὸ τῶν ἐπιγραμμάτων ἀτρέμα τε καὶ σχολῇ.
5 *Ὀρφεὺς ἔνεστιν, Ἡσίοδος, τραγῳδία,*
Χοιρίλος, Ὅμηρος, ἔστ' Ἐπίχαρμος, γράμματα
παντοδαπά. δηλώσεις γὰρ οὕτω τὴν φύσιν,

ἐπὶ τί μάλισθ' ὥρμηκε. ΗΡ. τουτὶ λαμβάνω.
ΛΙΝ. δεῖξον ὅ τι ἐστὶ πρῶτον. ΗΡ. ὀψαρτυσία,
ὡς φησι τοὐπίγραμμα. ΛΙΝ. φιλόσοφός τις εἶ,
εὖδηλον, ὃς παρεὶς τοσαῦτα γράμματα
Σίμου τέχνην ἔλαβες. ΗΡ. ὁ Σῖμος δ' ἐστὶ τίς;
ΛΙΝ. μάλ' εὐφυὴς ἄνθρωπος. ἐπὶ τραγῳδίαν
ὥρμηκε νῦν, καὶ τῶν μὲν ὑποκριτῶν πολὺ
κράτιστός ἐστιν ὀψοποιός, ὡς δοκεῖ
τοῖς χρωμένοις, τῶν δ' ὀψοποιῶν ὑποκριτής.

. . . . . .

ΛΙΝ. βούλιμός ἐσθ' ἄνθρωπος. ΗΡ. ὅ τι βούλει λέγε.
πεινῶ γάρ, εὖ τοῦτ' ἴσθι.

Athenaeus 4, 164 b *Ἄλεξις ἐν τῷ ἐπιγραφομένῳ Λίνῳ . . . ὑποτίθεται. . . τὸν Ἡρακλέα παρὰ τῷ Λίνῳ παιδευόμενον, καὶ κελευσθέντα ἀπὸ βιβλίων πολλῶν παρακειμένων λαβόντα ἐντυχεῖν. ἐκεῖνος δ' ὀψαρτυτικὸν λαβὼν βιβλίον ἐν χεροῖν περισπουδάστως ἐκράτει. λέγει δ' οὕτως ὁ Λίνος κτλ.* 1. *βυβλίον* A. 2. *γὰρ λαβέ*] *παῖ, λαβέ* Iacobs. Add. Ath. 103. *παράλαβε* Erfurdt. *λάμβανε* G. A. Hirschig. Ann. crit. 12. 3. *ἔπειτα* A. 5. *τραγῳδίαι* A. 6. *χοιρίλος* A. *ἔστ' Ἐπίχαρμος, γράμματα* G. Herm.] *ἐπίχαρμος, συγγράμματα* A. *Ἐπίχαρμος, Ὅμηρος, Χοιρίλος, συγγρ.* Iacobs. 104. 8. *μάλιστα* A. *ὥρμηκε* Mein.] *ὥρμησε.* 9. *ὅ τι* K.] *τί.* 11. *τοιαῦτα 'argumenti tam serii'* G. A. Hirschig. 12. *Σίμου — Σῖμος* Dindf.] *σιμοῦ — σιμὸς* A. 17. *ἐσθ' ἄνθρ.* Iacobs.] *ἐστ' ἄνθρ.* A.

6. *γράμματα* pro *συγγράμματα* Xenoph. Mem. 4, 2, 1. 8 (H. Iacobi). Bekker. Anecd. 31, 30 *γράμματα . . . καὶ τὰ συγγράμματα τῶν ἀρχαίων ἀνδρῶν, ὡς Ξενοφῶν.* 12. de hoc *Simo* nihil aliunde cognitum. 16. *τοῖς χρωμένοις, den Kennern.* cf. quae ad Arist. Ran. 1475 adnotavimus. post v. 16 versus aliquot excidisse videntur: *βούλιμος* neminem nisi Herculem quisquam adpellare poterat, quapropter haec verba Lino tribuenda sunt. non perspicitur tamen, cur eo nomine eum adpellaverit. similiter iam Iacobsius 104. Naekii (Choeril. Sam. 5. 6) interpretationem nequaquam probari posse arbitror. 17. Hesych. *βούλιμος· μέγας λιμός.*

136

Athenaeus 7, 289 f *μνημονεύει δὲ τοῦ Μενεκράτους καὶ Ἄλεξις ἐν Μίνῳ* (*Λίνῳ* Mein.). de *Menecrate* cf. Ephipp. 17.

Praeterea cf. 298.

ΛΟΚΡΟΙ

Cf. quae ad Anaxandridis *Λοκρίδας* adnotantur.

137

αἱ δὲ παῖδες παρέχεον
ἡ μὲν τὸ θερμόν, ἡ δ' ἑτέρα τὸ μετάκερας.

Athenaeus 3, 123 e *τὸ δὲ χλιαρὸν ὕδωρ Ἀθηναῖοι μετάκερας καλοῦσιν . . . Ἄλεξις ἐν Λοκροῖς κτλ.* *τὸ μετάκερας* Bentl. Philem. p. 113] *μετάκερας.* 'fortasse *ἀτέρα δὲ μετάκερας.*' Dindf. cf. Philyll. 32.

138

ναυκληρεῖν

ἀντὶ τοῦ οἰκίας δεσπόζειν. Ἄλεξις Λοκροῖς. Bekker. Anecd. 109, 19. Photius *ναυκληρεῖν· καὶ τὸ οἰκίας δεσπόζειν. Ἄλεξις.* melius interpretatur Harpocrat. *ναύκληρος . . . καὶ ἐπὶ τοῦ μεμισθωμένου ἐπὶ τῷ τὰ ἐνοίκια ἐκλέγειν ἢ οἰκίας ἢ συνοικίας.* Bekker. Anecd. 282, 10 *ναύκληρος . . . σημαίνει καὶ τὸν τὰ ἐνοίκια τῆς οἰκίας ἐκλέγοντα.* Hesych. *ναύκληρος· ὁ συνοικίας προεστώς.* cf. Sannyr. 6.

ΛΥΚΙΣΚΟΣ

Archontem Ol. 109, 1 (Pseudodemosth. 58, 28) significari non crediderim.

139

Athenaeus 13, 595 d *μνημονεύει δ' αὐτῆς (Πυθιονίκης) καὶ Ἄλεξις ἐν Λυκίσκῳ,* fortasse una cum Harpalo. cf. Diodor. 17, 108. Philem. 16.

140

ζῳδάριον

Ἄλεξις Λυκίσκῳ. Bekker. Anecd. 98, 2.

ΜΑΝΔΡΑΓΟΡΙΖΟΜΕΝΗ

Theophr. H. pl. 9, 9, 1 *τοῦ γὰρ μανδραγόρου . . χρήσιμον εἶναί φασι . . . τὴν ῥίζαν . . . πρὸς ὕπνον καὶ φίλτρα. διδόασι δ' ἐν οἴνῳ ἢ ὄξει.* Caus. pl. 6, 4, 5 *οἱ δ' ὑπνωτικοὶ (χυμοὶ) πλείους διδόμενοι καὶ θανατηφόροι, καθάπερ ὁ μανδραγόρας.* Atropa Belladonna L. Fraas Synops. plant. 166. 7. cf. Aristot. De somn. 3. Plin. N. h. 25, 149. 50. Frontin. Strateg. 2, 5, 12. Xenoph. Symp. 2, 4. Plat. Reip. 6, 488 c. Lucian. Tim. 2. [Demosth.] 10, 6 *οὐδ' ἀνεγερθῆναι δυνάμεθα, ἀλλὰ μανδραγόραν πεπωκόσιν ἤ τι φάρμακον ἄλλο τοιοῦτον ἐοίκαμεν.* fuit etiam *Ἀφροδίτη Μανδραγορῖτις.* Hesych. *μανδραγορῖτις.* quomodo quaerenda sit herba narrat Theophr. H. pl. 9, 8, 8 *περιγράφειν δὲ τὸν μανδραγόραν εἰς τρὶς ξίφει, τέμνειν δὲ πρὸς ἑσπέραν βλέποντα· τὸν δ' ἕτερον κύκλῳ περιορχεῖσθαι καὶ λέγειν ὡς πλεῖστα περὶ ἀφροδισίων.* itaque dubium est utrum mulier significetur philtro ad amorem sollicitata an ut Shakespearii Iulia mandragora sopita. cf. fr. 143. 144.

141

εἶτ' οὐ περίεργόν ἐστιν ἄνθρωπος φυτὸν
ὑπεναντιωτάτοις τε πλείστοις χρώμενον;
ἐρῶμεν ἀλλοτρίων, παρορῶμεν συγγενεῖς·
ἔχοντες οὐδὲν εὐποροῦμεν τοῖς πέλας·
ἐράνους φέροντες οὐ φέρομεν ἀλλ' ἢ κακῶς,
τακτῆς τροφῆς δὲ τῆς καθ' ἡμέραν πάλιν
γλιχόμεθα μὲν τὴν μᾶζαν ἵνα λευκὴ παρῇ,
ζωμὸν δὲ ταύτῃ μέλανα μηχανώμεθα,
τὸ καλὸν δὲ χρῶμα δευσοποιῷ χρῴζομεν.
καὶ χιόνα μὲν πίνειν παρασκευάζομεν,
τὸ δ' ὄψον ἂν μὴ θερμὸν ᾖ διασύρομεν.
καὶ τὸν μὲν ὀξὺν οἶνον ἐκπυτίζομεν,
ἐπὶ ταῖς ἀβυρτάκαισι δ' ἐκβακχεύομεν.
. . . . . .
οὐκοῦν τὸ πολλοῖς τῶν σοφῶν εἰρημένον,
τὸ μὴ γενέσθαι μὲν κράτιστόν ἐστ' ἀεί,
ἐπὰν γένηται δ' ὡς τάχιστ' ἔχειν τέλος.

Athenaeus 3, 123f *ὅτι δὲ καὶ χιόνας ἔπινον ἐν Μανδραγοριζομένῃ ἔφη Ἄλεξις κτλ.* 5. *ἀλλὴ* A. 6. *τακτῆς* Mein.] *τὰκ τῆς* A. 9. *καλὸν δὲ*] *καλόν τε* Mein. Anal. Ath. 57. *δευσοποιῷ* Porson.] *τῶι δευσοποιῷ* A. 11. *ὄψον* 'ex membranis' Casaub.] *ὅλον* A. *ἂν* Dindf.] *ἐὰν* A. versus 14—16 manifesto aliunde excerpti sunt.

1. Plat. Tim. 90a *ὡς ὄντας (ἀνθρώπους) φυτὸν οὐκ ἔγγειον ἀλλ' οὐράνιον.* 4. *οὐδὲν* ad *εὐποροῦμεν* pertinere censet Schweighaeuser. 7. neque *γλίχεσθαί τι* neque *γλίχεσθαι ἵνα* graece dicitur. scribendum est *δεχόμεθα μὲν τὴν μᾶζαν ἂν λευκὴ παρῇ*, ut *τακτῆς τροφῆς* (partit.) pendeat a *μᾶζαν*. *δέχεσθαι* est *laudare*. Eupol. 119. Strattid. 57. 9. Tim. *δευσοποιόν· ἔμμονον καὶ δυσαπόπλυτον*, ubi cf. Ruhnken. — 'τὸ καλὸν χρῶμα dicit mazae candorem, quem cum *δευσοποιῷ* infici dicit, apertum est hoc *δευσοποιόν* ad *ζωμὸν μέλανα* referendum esse, cuius color recte *δευσοποιός* dici potest, quoniam mazae semel nigro iure infectae pristinus candor reponi non potest.' Mein. 13. de *ἀβυρτάκῃ* cf. Pherecr. 181. Theopomp. 17.

142

ἐὰν ἐπιχώριος
ἰατρὸς εἴπῃ 'τρύβλιον τούτῳ δότε
πτισάνης ἕωθεν', καταφρονοῦμεν εὐθέως·
ἂν δὲ 'πτισάναν καὶ τρύβλιον', θαυμάζομεν.
καὶ πάλιν ἐὰν μὲν 'τευτλίον', παρείδομεν·

ἐὰν δὲ 'σεῦτλον', ἀσμένως ἠκούσαμεν·
ὡς οὐ τὸ σεῦτλον ταὐτὸν ὂν τῷ τευτλίῳ.

Athenaeus 14, 621 de *ἐμιμεῖτό τις... ξενικὸν ἰατρὸν τοιαυτὶ λέγοντα, ὡς Ἄλεξις ἐν Μανδραγοριζομένῃ διὰ τούτων παρίστησιν κτλ.* v. 1—6 excerpsit om. poetae fabulaeque nom. Eustathius 884, 24. idem 813, 42 (*Ἀττικοὶ*) *τὴν κοινῶς σύρβην τύρβην λέγουσι, καὶ τὸ σεῦτλον τεῦτλον.* 4. *τρύβλιον* A. *τρούβλιον* dorice Herwerd. Obs. crit. 71. recte: cf. Ahrens. Dial. II 124. 5. 5. *τευτλίον* Mein.] *σευτλίον.* 6. *σεῦτλον* Mein.] *τευτλίον.* Moeris 210, 11 *τευτλίον Ἀττικοί, σεῦτλον Ἕλληνες*, ubi cf. quae adnotant editores. cf. Euphron. 3. Cratet. 41. — fr. 142 cum 141 eiusdem scaenae fuisse arbitratur Meinekius.

143

ἥξω φέρουσα συμβολὰς τοίνυν ἅμα.
Β. πῶς συμβολάς; Α. τὰς ταινίας οἱ Χαλκιδεῖς
καὶ τοὺς ἀλαβάστους συμβολὰς καλοῦσι, γραῦ.

Athenaeus 8, 365 d *τίνες δ' εἰσὶν αἱ συμβολαὶ αὐτὸς Ἄλεξις ἐν Μανδραγοριζομένῃ σημαίνει διὰ τούτων κτλ.* 1. *φέρων σοι* H. Iacobi V CCVIII, nulla necessitate. — *symbolas* ad convivium datas interpretantur Athenaeus et Casaubonus. ad sepulturam potius, si argumentum fabulae spectes, taeniae et ampullae unguentariae videntur pertinere. cf. Arist. Eccl. 1030 sq.

144

κακῶς ἔχεις, στρουθὶς ἀκαρὴς νὴ Δί' εἶ·
πεφιλιππίδωσαι. Β. μὴ σὺ καινῶς μοι λάλει.
ὅσον οὐ τέθνηκα. Α. τοῦ ταλαιπώρου πάθους.

1. *λαβεῖν* est *conducere* coquos ex macello. cf. 129. 4. *ἀπηκριβωμένως* 'parce' Mein. (*genau*). 5. *λιμῷ παρελθεῖν* (vel *περιελθ.*) *τοὺς ξένους με δεῖ, καθ' ἓν* Herwerd. Obs. crit. 74, quod cum ipsi non suffecisset, *λιμῷ με παρατεῖναι τὸν ἄνδρα δεῖ, καθ' ἓν | ἕκαστον αὐτῷ παρατιθέντα βρώματα* Mnem. nov. VI 70. 1. quae Toeppelius proposuit Progr. Neobr. 1867, 12. 13, ea quamquam ipsi certa videntur, neque commemoratione neque refutatione digna sunt. *λιμὸν παρέχειν φίλοισιν, ἀλλὰ δεῖ — προτιθέναι μεγαλοπρεπῶς* Heimsoeth. Comm. crit. XVIII. fortasse *λιμῷ μ' ἀνελεῖν ξένους ἀνιῶντα δεῖ, καθ' ἓν κτλ.* — duos coquos conducit, quia cibos non singulos separatim, sed cunctos una adponi vult.

214

λευκὸς Ἀφροδίτης εἰμὶ γὰρ περιστερός.
ὁ δὲ Διόνυσος οἶδε τὸ μεθύσαι μόνον·
εἰ δὲ νέον ἢ παλαιόν, οὐ πεφρόντικεν.

Athenaeus 9, 395 a *Ἀττικοὶ δὲ ἀρσενικῶς περιστερὸν καλοῦσιν.*

Ἄλεξις Συντρέχουσιν κτλ. v. 1 Eustathius 1712, 45 *Ἄλεξις· Ἀφροδίτης εἰμὶ περιστερός.* idem 1770, 13 *συντελεῖ δέ τι καὶ τό· οἶδε Διόνυσος τὸ μ. — οὐ πεφρόντηκε* (sic). 1. *λευκὸς* Schweigh.] *ὁ λευκὸς* A. 2. *ὁ δὲ* Schweigh.] *ὁιδε* A. *οἶδε*] *οιδε* A.

λευκὸς περιστερός, i. e. *νέος*. Venus iuvenes amat; Baccho perinde est, iuvenem an senem inveniat potandi sodalem. *νέον ἢ παλαιόν*, i. e. *ἑταῖρον*, non *οἶνον*. de *columba alba* cf. Hehn. Kulturpfl.[2] 289 sq., qui adfert Catull. 29, 8. Tibull. 1, 7, 17. Ovid. Met. 2, 536. Martial. 8, 28, 13.

215

Athenaeus 8,340a *σκώπτει* (*Καλλιμέδοντα*) *κἀν τοῖς ἐπιγραφομένοις Συντρέχουσιν.*

ΣΥΝΤΡΟΦΟΙ

Eodem nomine Diphilus, Posidippus, Damoxenus fabulas scripserunt.

216

ὡς ἡδὺ πᾶν τὸ μέτριον. οὔθ' ὑπεργέμων
ἀπέρχομαι νῦν οὔτε κενός, ἀλλ' ἡδέως
ἔχων ἐμαυτοῦ. Μνησίθεος γάρ φησι δεῖν
φεύγειν ἁπάντων τὰς ὑπερβολὰς ἀεί.

Athenaeus 10, 419b *τῶν δείπνων δὲ πολλοὶ τὰ μέτρια ἀσπάζονται, ὡς Ἄλεξις . . . ἐν δὲ Συντρόφοις κτλ.* v. 1—3 (*ἐμαυτοῦ*) Eustathius 1413, 48 nullo nomine addito. 1. *ὑπεργεμων* A. 3. *δεῖ* A. 4. *αἰεί* A. — 2. *ἀπέρχομαι*, a convivio. 3. *Mnesitheus* Atheniensis, medicus illo tempore celeberrimus; scripserat *περὶ ἐδεστῶν*. Athen. 2, 54b. 57b. 3, 80cd cet. sepulcrum eius commemorat Pausan. 1, 37, 3 (Mein.).

ΣΥΡΑΚΟΣΙΟΣ

Syracusii fabula fuit Caecilii Statii. O. Ribbeck. Com. Rom. fr.[2] 71. voluptuosum hominem notari existimat Meinekius I 402.

217

τοῖς γὰρ κακοῖς
τοὺς μὴ μαχομένους ῥᾷστα χρωμένους ὁρῶ.

Stobaeus Floril. 108, 47 *Ἀλέξιδος ἐκ Συρακουσίου* A.

ΣΩΡΑΚΟΙ

Pollux 10, 129. 30 *τάχα δὲ καὶ σώρακος* (*ἀγγεῖόν ἐστιν ὑποδεχόμενον τὴν ὀπώραν*), *εἰ καὶ παρὰ τοῖς κωμῳδιοποιοῖς οὕτως ὀνο-*

μάζεται τὸ ἀγγεῖον, ἐν ᾧ τὰ σκεύη τῶν ὑποκριτῶν . . . Ἀλέξιδος δὲ καὶ δρᾶμα Σώρακοι.

218

Φειδιππος ἕτερός τις ταριχηγὸς ξένος

Athenaeus 3, 120 b *Φειδίππου δέ, καὶ γὰρ οὗτος ταριχοπώλης, Ἄλεξις (μνημονεύει) ἐν Ἱππίσκῳ. κἀν Σωράκοις* (*κανσωρακοις* A) *κτλ.* cf. fr. 6.

ΤΑΡΑΝΤΙΝΟΙ

Tarentilla Cn. Naevii num imitatio sit Alexideae fabulae incertum est. O. Ribbeck. Com. Rom. fr.[2] 19. Alexis Pythagoristas inrisit, nihil eiusmodi in fragmentis Naevii.

219

οὐδὲ εἷς ἂν εὐλόγως
ἡμῖν φθονῆσαι νοῦν ἔχων, οἳ τῶν πέλας
οὐδὲν ἀδικοῦμεν οὐδέν· ἆρ' οὐκ οἶσθ' ὅτι
τὸ καλούμενον ζῆν τοῦτο διατριβῆς χάριν
5 *ὄνομ' ἐστίν, ὑποκόρισμα τῆς ἀνθρωπίνης*
μοίρας; ἐγὼ γάρ, εἰ μὲν εὖ τις ἢ κακῶς
φήσει με κρίνειν, οὐκ ἔχοιμ' ἄν σοι φράσαι·
ἔγνωκα δ' οὖν οὕτως ἐπισκοπούμενος,
εἶναι μανιώδη πάντα τἀνθρώπων ὅλως,
10 *ἀποδημίας δὲ τυγχάνειν ἡμᾶς ἀεὶ*
τοὺς ζῶντας, ὥσπερ εἰς πανήγυρίν τινα
ἀφειμένους ἐκ τοῦ θανάτου καὶ τοῦ σκότους
εἰς τὴν διατριβὴν εἰς τὸ φῶς τε τοῦθ' ὃ δὴ
ὁρῶμεν. ὃς δ' ἂν πλεῖστα γελάσῃ καὶ πίῃ
15 *καὶ τῆς Ἀφροδίτης ἀντιλάβηται τὸν χρόνον*
τοῦτον ὃν ἀφεῖται, κἂν τύχῃ γ', ἐράνου τινός,
πανηγυρίσας ἥδιστ' ἀπῆλθεν οἴκαδε.

Athenaeus 11, 463 c *καὶ ἡμῖν . . . οὐδεὶς ἂν εὐλόγως φθονῆσαι νοῦν ἔχων, κατὰ τοὺς Ἀλέξιδος Ταραντίνους, οἳ τῶν πέλας κτλ.* v. 1 et 2 maximam partem poetae verbis adiunxit Dobraeus Adv. II 329. 2. *φθονῆσαι* A. 3. *οὐδέν'* P] *οὐδένα* A. fortasse *οὐδέν' ἀδικοῦμεν οὐδέν.* *οὐκ* add. Dobr. 7. *φήσει* Dobr.] *φήσειε* A. *ἄν σοι* Dindf.] *ἂν* A. 8. *δ' οὖν* Mein.] *γοῦν* A. 10. *ἐπιδημίας* Blomfield. Gloss. Aesch. Sept. 206 p. 127. cf. Menand. 470, 8 sq. Mein. *ἀεὶ*] *αἰεὶ* A. 14. *γελάσῃ*] *φάγῃ τε* G. A. Hirschig. Ann. crit. 30, caesura pessima. 16. *κἂν* Mein. in Ath.] *καὶ* A. *τύχῃ γ'* VL] *τύχῃ τ'* A. 17. *ἥδιστα* A.

4. 'scin illud quod ludi iocique causa dictum est vita, merum esse nomen.' Dobr. Grotius χάριεν διατριβῆς | ὄνομα. 10. ἀποδημία est commeatus. eum accipiunt, qui suo quisque ordine in vitam mittuntur (τοὺς ἀεὶ ζῶντας). 15. cf. 271, 4. 16. κἂν τύχῃ ac, 'si res ita tulerit'. Mein. ἐράνου pendet ab ἀντιλάβηται. ἔρανος hic est sodalicium. — de sententia cf. Amips. 22.

220. 221

οἱ πυθαγορίζοντες γάρ, ὡς ἀκούομεν,
οὔτ' ὄψον ἐσθίουσιν οὔτ' ἄλλ' οὐδὲ ἓν
ἔμψυχον, οἰνόν τ' οὐχὶ πίνουσιν μόνοι.
Β. Ἐπιχαρίδης μέντοι κύνας κατεσθίει,
5 τῶν Πυθαγορείων εἷς. Α. ἀποκτείνας γέ που·
οὐκ ἔτι γάρ ἐστ' ἔμψυχον.
. . . . . .
Πυθαγορισμοὶ καὶ λόγοι
λεπτοὶ διεσμιλευμέναι τε φροντίδες
τρέφουσ' ἐκείνους, τὰ δὲ καθ' ἡμέραν τάδε·
10 ἄρτος καθαρὸς εἷς ἑκατέρῳ, ποτήριον
ὕδατος· τοσαῦτα ταῦτα. Β. δεσμωτηρίου
λέγεις δίαιταν. πάντες οὕτως οἱ σοφοὶ
διάγουσι καὶ τοιαῦτα κακοπαθοῦσιν; Α. οὔ·
τρυφῶσιν οὗτοι πρὸς ἑτέρους. ἆρ' οἶσθ' ὅτι
15 Μελανιππίδης ἑταῖρός ἐστι καὶ Φάων
καὶ Φυρόμαχος καὶ Φᾶνος, οἳ δι' ἡμέρας
δειπνοῦσι πέμπτης ἀλφίτων κοτύλην μίαν;

Athenaeus 4, 161 b Ἄλεξις ἐν Ταραντίνοις οἱ πυθαγορίζοντες — ἔμψυχον. προελθών τέ φησι Πυθαγορισμοὶ κτλ. 3. τε A. 4. μέντοι Iacobs. Add. Ath. 102] μὲν τὰς A. ἐπεὶ Χαρίδης μέντοι Hecker. cf. fr. 246. 5. γέ που K.] γενοῦ A. μὲν οὖν Casaub., quod non aptum huic loco. 9. τα δει et deinde ταδὲ A. 12. λέγειν A. οὕτως Villebrun] οὗτοι A. κακοπαθοῦσιν; Α. οὔ· K.] κακοπαθοῦσί που. 14. οὗτοι Cobet. N. l. 120. 1] ἕτεροι. ἆρ' οἶσθ'] ἄρισθ' A. 16. Φᾶνος Lehrs Arist. 291. Lobeck. Paralip. 342 (H. Iacobi). [Demosth.] 29, 23. 58. ἡμέρας μιᾶς A.

13. interrogatus omnesne sapientes tanta mala perpetiantur, 'minime' respondet; 'sed multo maiora multi, ut illi prae his delicate vivere videantur'. οὔ eodem modo in responsione positum Soph. Phil. 631 οὔ· θᾶσσον ἂν...κλύοιμ' ἐχίδνης. cf. etiam Pherecr. 82.

222

τοῦτο γὰρ νῦν ἐστί σοι
ἐν ταῖς Ἀθήναις ταῖς καλαῖς ἐπιχώριον·
ἅπαντες ὀρχοῦντ' εὐθὺς ἂν οἴνου μόνον
ὀσμὴν ἴδωσιν. Β. συμφορὰν λέγεις ἄκραν.
5 *Α. φαίης ἂν εἰς συμπόσιον εἰσελθὼν ἄφνω.*
καὶ τοῖς μὲν ἀγενείοις ἴσως ἔπεστί τις
χάρις· ἀλλ' ἐπὰν δὴ τὸν γόητα Θεόδοτον,
ἢ τὸν παραμασύντην ἴδω τὸν ἀνόσιον
βαυκιζόμενον τὰ λευκά τ' ἀναβάλλονθ' ἅμα,
10 *ἥδιστ' ἂν ἀναπήξαιμ' ἐπὶ τοῦ ξύλου λαβών.*

Athenaeus 4, 134a *Ἄλεξις ἐν Ταραντίνοις ἐν τοῖς συμποσίοις φησὶ τοὺς Ἀττικοὺς καὶ ὀρχεῖσθαι ὑποπιόντας κτλ.* v. 10 Eustathius 892, 47 *Ἄλεξις· ἀναπήξαιμι ἂν αὐτὸ ἐπὶ τοῦ ξύλου λαβών.* 3. *ὀρχοῦντ'* prius o ex ω corr. m.[1] A. *εὐθὺς* C et epit. Hoesch.] *εὐθέως* A. 4. *ἄκραν* Dobr. Adv. II 305] *ἄρ' ἄν* A. 5. *φαίης γ' ἄν* Mein. 7. *χάρις*] *σοι χάρις* A. 8. *ἴδω*, non *ἰδών*, AC. *τὸν παραμασύντην εἰσίδω* deleto *ἢ* Mein. in Ath. 9. *τ' ἀναβάλλονθ'* Iacobs. Add. Ath. 93] *τον αβαλλονθ'* A. 10. *ἥδιστ' ἂν ἀναπήξαιμ'* Dobr.] *ἥδιστον ἀναπήξαιμ' ἂν αὐτὸν* A. *τοῦ ξύλου*] *ξύλου* G. A. Hirschig. Ann. crit. 14. at *ἐν τῷ ξύλῳ* (Eq. 367. 705. Nub. 592) non minus recte dicitur quam *ἐν ξύλῳ* (Eq. 393).

4. *ὀσμὴν ἴδωσιν* non sollicitabit qui Lobeck. Rhem. 337—346 attente perlegerit. 5. *φαίης ἂν τὸ ὀρχεῖσθαι συμφορὰν εἶναι εἰσελθὼν* (*εἰ εἰσέλθοις*) *εἰς συμπόσιον.* 7. *Theodotus* mihi aliunde non cognitus, siquidem qui Demosth. 34 aliquotiens commemoratur ab hoc diversus videtur. 8. *παραμασύντην*, i. e. *parasitum.* Ephipp. 8, 6 et *παραμασήτης* 236. Timocl. 9, 6. 9. Hesych. *βαυκισμός· Ἰωνικὴ ὄρχησις.* Poll. 4, 100 *βαυκισμὸς Βαύκου ὀρχηστοῦ κῶμος ἐπώνυμος, ἁβρά τις ὄρχησις καὶ τὸ σῶμα ἐξυγραίνουσα.* Schol. Hom. Il. 22, 391 *ἡ δὲ ἁπαλὴ ὄρχησις μόθων* (Arist. Eq. 697) *καὶ βαυκισμὸς . . . τοῖς μαλακοῖς δέδοται. τὰ λευκὰ ἀναβάλλειν*, oculorum albuginem tollere (G. A. Hirschig. Diss. 41. Ann. crit. 14), 'extremae lasciviae et mollitiei indicium putabatur.' Mein. Anal. Ath. 243. Athen. 12, 529a *προσεῖδε τὸν Ἀρβάκην τὰ λευκὰ ἐπαναβαλὼν τοῖν ὀφθαλμοῖν* (sic Mein. pro *τοῖς ὀφθαλμοῖς*). Pollux 2, 60 (H. Iacobi) *Κτησίας δέ πού φησιν ἀναβάλλειν τὰ λευκὰ τῶν ὀφθαλμῶν τὸν Σαρδανάπαλλον.* 10. *ἀνασκολόπισιν* dici existimat Herwerd. Mnem. nov. IIII 300.

223

Νάννιον δὲ μαίνεται
ἐπὶ τῷ Διονύσῳ.

Athenaeus 13, 587 b *μνημονεύει τῆς* (*μνημονευτὴς* A) *Ναννίου καὶ Ἄλεξις ἐν Ταραντίνοις οὕτως κτλ. κωμῳδῶν αὐτὴν ὡς μέθυσον* (*μέθυσσαν* A).

224

κάθου

Ἄλεξις Ταραντίνοις. Bekker. Anecd. 100, 31. cod. *τυραντίνοις.* cf. Aristoph. fr. 620. Anaxandr. 13.

225

ὁ οἰκοδεσπότης

ἔστι καὶ Ἀλέξιδος ἐν Ταραντίνοις. Pollux 10, 21. Phrynich. Epit. 373 *οἰκίας δεσπότης λεκτέον, οὐχ ὡς Ἄλεξις οἰκοδεσπότης,* ubi cf. Lobeck. Thom. M. 259, 3.

Sine idonea causa ad hanc fabulam Valckenarius Diatr. Eur. 244 b referebat Bekker. Anecd. 300, 16 *συνοίσειν· τὸ εἰς ταὐτὸ συμφέρειν. Ταραντῖνοι.* complectuntur enim illae *λέξεις ῥητορικαί* permulta quae dialectorum propria fuerunt, veluti 205, 30. 223, 32. 226, 1 cet.

ΤΙΤΘΗ

Cf. quae ad Eubuli *Τίτθας* et Antiphan. 159, 4 adnotantur.

226

ἰδοὺ πάρεστιν οἶνος. οὐκοῦν ἐγχέω,
Κρίτων, πολύν; ΚΡ. βέλτιον ἕνα καὶ τέτταρας.
Α. ὑδαρῆ λέγεις· ὅμως δὲ ταύτην ἐκπιὼν
. . λέγε τι καὶ διατριβήν γε τῷ πότῳ
5 *ποιῶμεν.*

Athenaeus 10, 426 c *Ἄλεξις δ' ἐν Τίτθῃ ἔτι σωφρονικώτερον κιρνάναι παρακελεύεται κτλ.* v. 2. 3 Eustath. 1624, 48 *Ἄλεξις εἰπών· ἐγχέωμεν ἕνα καὶ τέτταρας, ἀκούει ὡς ὑδαρὴν ἢ ὑδαρῆ λέγεις, κύλικα δηλαδή.* 1. *ἰδοὺ γὰρ* A. 2. *Κρίτων, πολύν;* B. Dobr. Adv. II 326] *κρίτωνα· πολὺ* A. 3. *ὑδαρῆ* C] *ὑδαρην* A. utrumque Eust. 4. *γε*] *τε* A. ante *λέγε* Pors. *κομψὸν,* Dobr. *πιθανὸν. λέγε τι καλὸν σὺ διατριβήν τε* Herwerd. Anal. crit. 42. in quibus omnibus displicet singulorum sententiae membrorum coniunctio. scribendum *γρῖφον* (vel *μῦθον*) *λέγ', ἵνα καὶ διατριβήν γε κτλ.*

227

ὁ Κόρυδος οὗτος, ὁ τὰ γέλοι' εἰθισμένος
λέγειν, Βλεπαῖος βούλετ' εἶναι. Β. νοῦν γ' ἔχων·
πλουτεῖ γὰρ ὁ Βλεπαῖος.

Athenaeus 6, 241 b *Ἄλεξις... ἐν Τίτθῃ κτλ.* 1. *γέλοια* A. 2. *βούλετ' εἶναι* Schweigh.] *εἶναι βούλεται* A. — *νοῦν γ' ἔχων* et quae sequuntur Iacobsius Add. Ath. 148 alteri personae tribuit, quod quamquam non necessarium, probabile tamen est. de *Corydo* Athenaeus totum illud caput scripsit. *Blepaeum τὸν τραπεζίτην* inter homines divitissimos commemorat Demosthenes 21, 215. cf. 40, 52 (Mein.).

228

ἤδη γὰρ ὁ βίος οὗμὸς ἑσπέραν ἄγει.

Stobaeus Floril. 116, 19 *Ἀλέξιδος Τίτθης* A (*τιθῆς*).

229

βαυβαλίσαι

ἀντὶ τοῦ βαυκαλίσαι. Ἄλεξις Τιτθαῖς. Bekker. Anecd. 85, 14. *βαβαλίσαι* cod. — cf. Cratin. 312.

ΤΟΚΙΣΤΗΣ Η ΚΑΤΑΨΕΥΔΟΜΕΝΟΣ

Cf. quae ad Nicostrati *Τοκιστήν* adnotavimus. *Καταψευδόμενον* scripserunt etiam Philemo, Menander, Sosipater, *Fallaciam* Caecilius Statius. O. Ribbeck. Com. Rom. fr.[2] 42.

230

Α. μὴ παντελῶς αὐτῷ δίδου
ὑδαρῆ. κατανοεῖς; ἴσον ἴσῳ μικροῦ. καλῶς.
Β. ἡδύ γε τὸ πῶμα. ποδαπὸς ὁ Βρόμιος, Τρύφη;
ΤΡ. Θάσιος. Β. ὅμοιον. καὶ δίκαιον τοὺς ξένους
5 *πίνειν ξενικόν, τοὺς δ' ἐγγενεῖς ἐπιχώριον.*

Athenaeus 10, 431 a *Ἄλεξις Τοκιστῇ ἢ Καταψευδομένῳ κτλ.* 2. *ὑδαρῆν* A, ut 226. 3. *ποδαπὸς* Dindf.] *ποταπὸς* A. cf. Phryn. Ecl. 56 et ibi Lobeck. *Τρύφη* A, non *τρυφῇ*. personas distinxit partim Dindorfius, partim Dobraeus. 4. *ὅμοιον* Meinekius cum Dobraeo interpretatur *gleichviel, einerlei,* conl. Aesch. Ag. 1403 *σὺ δ' αἰνεῖν εἴτε με ψέγειν θέλεις, ὅμοιον.* sed neque perinde est hospiti quale vinum bibat (cf. 3. 4), neque *ὅμοιον* eam significationem habere potest nisi adiecta, ut fit apud Aeschylum, sententia disiunctiva. scribendum est utique *ὅναιο.* cf. Soph. OC. 1042. Eur. Or. 1677. Iph. Aul. 1008, et prorsus ut hic Helen. 646. 1418. cf. etiam Arist. Plut. 1062 et de significatione nominis *Βρομίου* Alexid. fr. 276.

231

εὐδαίμων ἐγώ, μὰ τὸν Δία
τὸν Ὀλύμπιον καὶ τὴν Ἀθηνᾶν οὐχ ὅτι

ἐν τοῖς γάμοισιν, ἄνδρες, εὐωχήσομαι,
ἀλλ' ὅτι διαρραγήσομ', ἂν θεὸς θέλῃ.
5 τούτου δέ μοι γένοιτο τοῦ θανάτου τυχεῖν.

Athenaeus 6, 258 e Ἄλεξις ἐν Καταψευδομένῳ λέγοντά τινα κόλακα τοιαῦτα παρεισάγων φησίν κτλ.

232

ἀλλ' ἔγχεον
αὐτῷ Διός γε τήνδε σωτῆρος, θεῶν
θνητοῖς ἁπάντων χρησιμωτάτου πολύ.
Β. ὁ Ζεὺς ὁ σωτήρ, ἂν ἐγὼ διαρραγῶ,
5 οὐδέν μ' ὀνήσει. Α. πῖθι θαρρῶν.

Athenaeus 15, 692 f Ἄλεξις ἐν Τοκιστῇ ἢ Καταψευδομένῳ κτλ. 1. ἀλλενχεον A. 2. αὐτω διος γε A. Διὸς σὺ Dobr. Διὸς ἔτι Cobet. N. l. 121. 3. θνητοις απαντων A. χρησιμωτάτου Mein.] χρησιμώτατον A. 4. ἂν Dindf.] ἐὰν A et tum εγω διαρραγω, ουδεν μονησει. corr. Pierson. Moer. 72. 5. πῖθι Canter.] πειθει A.

fortasse eiusdem personae ac fr. 231 et in comoedia non multo ante hoc positum.

233

πάντως ἀναρίστητος οὐ δυνήσομαι
διακαρτερῆσαι τηλικαύτην ἡμέραν.

Suidas ἀνάριστος· μᾶλλον δὲ ἀναρίστητος... Ἄλεξις Καταψευδομένῳ κτλ. cf. Aristoph. fr. 454.

ΤΡΑΥΜΑΤΙΑΣ

234

τίς οὐχὶ φήσει τοὺς ἐρῶντας ζῆν μόνους;
εἰ δεῖ γε πρῶτον μὲν στρατευτικωτάτους
εἶναι, πονεῖν τε δυναμένους τοῖς σώμασιν
μάλιστα, προσεδρεύειν τ' ἀρίστους τῷ πόθῳ,
5 ποιητικούς, ἰταμούς, προθύμους, εὐπόρους
ἐν τοῖς ἀπόροις, βλέποντας ἀθλιωτάτους.

Athenaeus 13, 562 f ὁ δ' αὐτὸς οὗτος ποιητὴς καὶ περὶ τῶν ἐρώντων ἐν τῷ ἐπιγραφομένῳ Τραυματίᾳ φησὶν οὕτως κτλ. ὁ αὐτὸς οὗτος ποιητής in Athenaei oratione necessario est Chaeremon, cuius eclogam paullo ante exscripserat. attamen Alexidem auctorem horum versuum esse demonstravit Meinekius I 519 sq.

1. μόνους poetae esse non potest, cum amantes *misere* vivere dicat. scrib. ζῆν πόνοις, ut Pherecr. 13 στραβήλοις ζῆν. 2. εἰ

δεῖ Dobr.] *ἔδει* A. *γε* A] *τὸ* Dobr. *οὓς δεῖ τὸ πρ.* Mein. in Ath. 5. *ποιητικούς*] *νοητικούς* Mein. V 91. an *προνοητικούς*? *εὖ πόρους ἐν τ. ἀπ. βλέποντας*, Iacobs. Exercit. crit. I 213. 6. *ἀθλιωτάτους*] *ἀλκιμωτάτους* Dobr. *αἱμυλωτάτους* Herwerd. Obs. crit. 76. *βλέποντας ἐν ἀλαωτάτοις* Emperius et G. Herm. sed *ἀλαός* non est comicorum. neque omnino quicquam mutandum est.

235

τὸν γὰρ ὕστατον
τρέχων δίαυλον τοῦ βίου ζῆν βούλομαι.

Stobaeus Floril. 119, 15 *Ἀλέξιδος ἐκ Τραυματίου* A. 2. *ζῆν* om. AB. in eis quae sequebantur dictum erat *quemadmodum* vivere vellet: *ζῆν βούλομαι* | *μετὰ σοῦ* vel *ἐν ἡσυχίᾳ* cet.

ΤΡΟΦΩΝΙΟΣ

Trophonii fabulam praeter Alexin Cratinus, Cephisodorus, Menander tractaverunt. cf. Meinek. I 392.

236

εἶθ' ὁ Μοσχίων
ὁ παραμασήτης ἐν βροτοῖς αὐδώμενος

Athenaeus 6, 242c *Μοσχίωνος δέ τινος παρασίτου μνημονεύων Ἄλεξις ἐν Τροφωνίῳ παραμασήτην αὐτὸν ἐν τούτοις καλεῖ κτλ.* Euripidis aliusve tragici parodiam esse recte adnotavit Meinekius Anal. Ath. 105. de *Moschione* cf. Axionic. 4, 13. Menand. 469 Mein. Straton. 13.

237

νῦν δ' ἵνα μὴ παντελῶς Βοιώτιοι
φαίνησθ' εἶναι τοῖς διασύρειν ὑμᾶς εἰθισμένοις,
ὡς ἀκίνητοι νῦν εἶναι βοᾶν καὶ πονεῖν μόνον
καὶ δειπνεῖν ἐπιστάμενοι διὰ τέλους τὴν νύχθ' ὅλην,
5 *γυμνοῦθ' αὐτοὺς θᾶττον ἅπαντες.*

Athenaeus 10, 417e *Ἄλεξις Τροφωνίῳ κτλ.* 3. *ἀκίνητοί 'στε βοᾶν νυνὶ* Porson. Arist. Nub. 518 p. 20. *ἀνίκητοι* Sylburg. *ἀνίκητοι σύχν' ἀεὶ βοᾶν* Erfurdt. *ἀνίκητοί τε βοᾶν ἐστε* Mein. (*εἴτε* Fritzsch. Eupol. vers. fr. 14.) *πονεῖν*] *πίνειν* Casaub. et Palmer. 5. *ἑαυτοὺς* A.

metrum est Eupolideum (cf. fr. 206): choro igitur, ut Aristophanes in Pluto, Alexis videtur usus esse. *pallium deponere* (*γυμνοῦν αὐτούς*) iubentur, quo sint ad saltandum habiliores. Schol. Arist. Pac. 729 *γυμνὸν γὰρ ποιοῦσι τὸν χορὸν οἱ κωμικοὶ ἀεί, ἵνα*

ὀρχῆται. cf. Arist. Ach. 627 (Mein.). Plat. Menex. 236 d εἴ με κελεύοις ἀποδύντα ὀρχήσασθαι.

3. non sollicitandum est ἀκίνητοι. ut Arist. Ran. 899 οὐκ ἀκίνητοι φρένες Atheniensium dicuntur ad artis poeticae dulcedinem sentiendam facile commotae, ita Boeotorum aptissime dicuntur ἀκίνητοι, omni elegantiae alienae. scrib. autem ὡς ἀκίνητοι ξυνέσει, βοᾶν καὶ πίνειν μ. κ. δ. ἐπιστάμενοι. Plat. Tim. 51 e ἀκίνητον πειθοῖ. *ne nimis Boeoti videamini, utpote qui prudentia non facile moveamini neque quicquam didiceritis nisi bibere et clamare.*

238

ὀφθαλμὸν ἐπιβάλλειν

τὸ περιέργως θεᾶσθαι. Ἄλεξις Τροφωνίῳ. Bekker. Anecd. 110, 15 et sine nomine fabulae Photius et Suidas.

ΤΥΝΔΑΡΕΩΣ

Quamquam ex Athenaei verbis fr. 239 certo conligi non potest titulum fabulae fuisse *Tyndareum* — potuit enim personae non minus quam comoediae nomen esse —, veri simile tamen est. sic Sophili fuit Τυνδάρεως ἢ Λήδα, Eubuli Leda. cf. Meinek. I 391.

239

ἄνθρωπος εἶναί μοι Κυρηναῖος δοκεῖς·
κἀκεῖ γὰρ ἄν τις ἐπὶ τὸ δεῖπνον ἕνα καλῇ,
πάρεισιν ὀκτωκαίδεκ' ἄλλοι, καὶ δέκα
ἅρματα συνωρίδες τε πεντεκαίδεκα.
5 τούτοις δὲ δεῖ σε τἀπιτήδει' ἐμβαλεῖν,
ὥστ' ἦν κράτιστον μηδὲ καλέσαι μηδένα.

Athenaeus 12, 510 a ἄνθρωπος εἶναί μοι Κυρηναῖος δοκεῖς, κατὰ τὸν Ἀλέξιδος Τυνδάρεων, κἀκεῖ γὰρ κτλ. Eustathius 1148, 32 Ἄλεξις ἐν τῷ ἄνθρωπος εἶναί μοι δοκεῖς Κυρηναῖος. κἀκεῖ γάρ τις ἂν ἐπὶ δεῖπνον κτλ. cf. Schol. Luciani 253 Iac. 3. ὀκτωκαίδεκα A. 4. τε om. A. add. VL. 5. τἀπιτήδεια A.

recte v. 1 Meinekium Alexidis verbis addidisse cognoscitur ex Eustathio; sed cum Κυρηναῖος ubique syllabam primam producat (cf. Alexid. 36, 3), bene Herwerd. Obs. crit. 78 ἄνθρωπε, Κυρηναῖος εἶναί μοι δοκεῖς.

ΤΙΝΟΣ

Antiphanis esse a multis credebatur. cf. fr. 241. 242. ab Antiphane scriptam, ab Alexide repetitam fuisse Meinekius existimat I 393. cf. 377.

240

οὐ θνητὸς οὐδ' ἀθάνατος, ἀλλ' ἔχων τινὰ
σύγκρασιν, ὥστε μήτ' ἐν ἀνθρώπου μέρει
μήτ' ἐν θεοῦ ζῆν, ἀλλὰ φύεσθαί τ' ἀεὶ
καινῶς φθίνειν τε τὴν παρουσίαν πάλιν,
5 ἀόρατος ὄψιν, γνώριμος δ' ἅπασιν ὤν.
Β. ἀεὶ σὺ χαίρεις ὦ γύναι μ' αἰνίγμασιν.
Α. καὶ μὴν ἁπλᾶ γε καὶ σαφῆ λέγω μαθεῖν.
Β. τίς οὖν τοιαύτην παῖς ἔχων ἔσται φύσιν;
Α. ὕπνος, βροτείων, ὦ κόρη, παυστὴρ πόνων.

Athenaeus 10, 449d καὶ Ἄλεξις ἐν Ὕπνῳ τοιούτους γρίφους προβάλλει κτλ. v. 9. 1—5 Eustathius 1336, 15 Ἄλεξις δὲ σεμνύνων τὸν ὕπνον βροτείων πόνων παυστῆρα καλεῖ. καὶ γρῖφον ἐπ' αὐτῷ τοιοῦτον προβάλλει· οὐ θνητὸς κτλ. 3. θεοῦ] θεοῖς C et Eust. τ' ἀεὶ] τε αἰεὶ A. 4. scrib. τὴν παρ ο ῦ σ α ν α ὖ πάλιν, ἡμέραν δηλονότι. 6. αἰεὶ A et cum ὤν coniunctum Eust. παίζουσα χαίρεις ex Musuri interpolatione Valck. Eur. Phoen. 180. ἀεὶ σὺ πειρᾷς Mein. at sine dubio Alexis scripsit ἀ ν ι ῶ σ α χαίρεις κτλ. cf. Mus. Rhen. XXX 402. 8. τοιαύτην Herwerd. Obs. crit. 78. G. A. Hirschig. Ann. crit. 12] τοσαύτην A.

2. ἐν μέρει, ut Plat. Theaet. 155e ἐν οὐσίας μέρει. Reip. 1, 348e ἐν ἀρετῆς καὶ σοφίας μέρει. 2,370c ἐν παρέργου μέρει. 4,424d ἐν παιδιᾶς μέρει. ac sic Demosth. 2,14.18. 3,31. 21,165. 23,56. 148 (his). Aeschin. 1,126. 7. coniung. λέγω ἁπλᾶ καὶ σαφῆ μαθεῖν.

241

οὐδ' ἐν Τριβαλλοῖς ταῦτά γ' ἐστὶν ἔννομα,
οὗ φασι τὸν θύοντα τοῖς κεκλημένοις
δείξαντ' ἰδεῖν τὸ δεῖπνον, εἰς τὴν αὔριον
πωλεῖν ἀδείπνοις ἃ παρέθηκ' αὐτοῖς ἰδεῖν.

Athenaeus 15, 671d δυσχεράνας ἀνεβόησε τὰ ἐξ Ὕπνου (sic Schweigh., ὑπονοίας A) Ἀλέξιδος κτλ. τὰ αὐτὰ ἰαμβεῖα φέρεται καὶ παρὰ Ἀντιφάνει ἐν Ὕπνῳ. 2. ου φασιν A. 3. δείξαντα A. 4. ἃ παρέθηκ' Mein. ac sic A (απαρέθηκαυτοῖς). παρέθηκεν ἰδεῖν dixit παρὰ προσδοκίαν pro ἐσθίειν. cf. fr. 258 (G. A. Hirschig. Ann. crit. 14).

242

διὰ ταῦθ' ὁ πόρνος οὗτος οὐδὲ τῶν πράσων
ἑκάστοτ' ἐπιδειπνεῖ μεθ' ἡμῶν· τοῦτο δ' ἦν,
ἵνα μή τι λυπήσειε τὸν ἐραστὴν φιλῶν.

Athenaeus 13, 572 bc *ὁ δὲ ὑμέτερος φιλοσοφομειρακίσκος τοιοῦτος οἷον Ἄλεξις ἢ Ἀντιφάνης ἐν Ὕπνῳ παράγει κτλ.* 2. *ἐπεδείπνει* Bothius. 3. *φιλῶν, si oscularetur.*

243

ἐμπειρικῶς

ἀντὶ τοῦ ἐμπείρως. Ἄλεξις Οἴνῳ. Bekker. Anecd. 95, 15. *Ὕπνῳ* Mein. I 393.

ΤΠΟΒΟΛΙΜΑΙΟΣ

Cf. Meinek. I 375. 393. quae leguntur fr. 244 ab Alexide scribi non potuisse propter temporum rationes docuit Droysen. in Bergk. Ephem. philol. I 55 sq. cf. Hellenism. II 241. 2 cum adn.: significari enim necessario alterum Ptolemaei Philadelphi cum Arsinoe sorore coniugium et belli Chremonidei aetatem, quam Alexis attingere non potuerit. ac ne Menandri quidem Hypobolimaeo adsignari possunt, utpote mortui OC. 122, 1 vel 3. pacem qua bellum illud *κοινῆς ὁμονοίας γενομένης τοῖς Ἕλλησι* finitum est Ol. 128, 3 compositam esse Dittenbergerus censet, Ol. 128, 2 Bergkius Mus. Rhen. XXXV 260, post Alexidis mortem haec in Hypobolimaeum eius, cum repeteretur fabula, inserta esse probabiliter coniciens.

244

ἐγὼ Πτολεμαίου τοῦ βασιλέως τέτταρα
χυτρίδι' ἀκράτου τῆς τ' ἀδελφῆς προσλαβὼν
τῆς τοῦ βασιλέως ταῦτ', ἀπνευστί τ' ἐκπιὼν
ὡς ἄν τις ἥδιστ' ἴσον ἴσῳ κεκραμένον,
καὶ τῆς ὁμονοίας, διὰ τί νῦν μὴ κωμάσω
ἄνευ λυχνούχου πρὸς τὸ τηλικοῦτο φῶς;

Athenaeus 11, 502 b *χυτρῖδες· Ἄλεξις ἐν Ὑποβολιμαίῳ* (A sine poetae nomine *ἐβολιμαίῳ*) *κτλ.* v. 3 (*ἀπνευστί*) — 6 idem 10, 431 b *Ἄλεξις . . . ἐν Ὑποβολιμαίῳ κτλ.* 2. *χυτρίδια* A. 3. *ἀπνευστί τ'* A 431] *ἐκπνευστ'* A 502. 5. *ὁμονοίας δύο, τί νῦν κτλ.* Mein. 6. *λυχνούχου* Pors.] *λύχνου* A. *τηλικοῦτο* Pors.] *τηλικοῦτον* A. — cf. fr. 111. 4. *ὡς ἄν τις ἥδιστ' ἐκπίοι.*

ΦΑΙΔΡΟΣ

Phaedri Myrrhinusii mortui nomen fabulae dedisse poetam, ut hac tamquam nota argumentum comoediae indicaret, contra Bergkium Epist. Schiller. 133 demonstrare conatur Meinekius I 381 sq. cf. etiam *Φαίδων.*

245

πορευομένῳ δ' ἐκ Πειραιῶς ὑπὸ τῶν κακῶν
καὶ τῆς ἀπορίας φιλοσοφεῖν ἐπῆλθέ μοι.

καί μοι δοκοῦσιν ἀγνοεῖν οἱ ζωγράφοι
τὸν Ἔρωτα, συντομώτατον δ' εἰπεῖν, ὅσοι
5 τοῦ δαίμονος τούτου ποιοῦσιν εἰκόνας.
ἔστιν γὰρ οὔτε θῆλυς οὔτ' ἄρρην, πάλιν
οὔτε θεὸς οὔτ' ἄνθρωπος, οὔτ' ἀβέλτερος
οὔτ' αὖθις ἔμφρων, ἀλλὰ συνενηνεγμένος
πανταχόθεν, ἑνὶ τύπῳ τε πόλλ' εἴδη φέρων.
10 ἡ τόλμα μὲν γὰρ ἀνδρός, ἡ δὲ δειλία
γυναικός, ἡ δ' ἄνοια μανίας, ὁ δὲ λόγος
φρονοῦντος, ἡ σφοδρότης δὲ θηρός, ὁ δὲ πόνος
ἀδάμαντος, ἡ φιλοτιμία δὲ δαίμονος.
καὶ ταῦτ' ἐγώ, μὰ τὴν Ἀθηνᾶν καὶ θεούς,
15 οὐκ οἶδ' ὅ τι ἐστίν, ἀλλ' ὅμως ἔχει γέ τι
τοιοῦτον, ἐγγύς τ' εἰμὶ τοὐνόματος.

Athenaeus 13, 562 a ὁ Πλούταρχος ἀπεμνημόνευσε τῶν ἐκ Φαίδρου Ἀλέξιδος κτλ. v. 3—12 (φρονοῦντος) Eustathius 988, 14 ὁ κωμικὸς Ἄλεξις..λέγει κτλ. 1. πορευομένων A non recte: nam philosophatur sine dubio solus ambulans, non cum amicis. 4. συντομώτερον C et Eust. 6. ἄρρην Dindf.] ἄρσην A. 8. συνενηνεγμένος K.] συνενηγμένος A. συνηνεγμένος C et Eust. που συνηγμένος Mein. in Ath. (Anal. 260) συμμεμιγμένος Herw. Obs. crit. 79. 9. τε add. Schweigh. πάντοθεν, ἐν ἑνὶ τύπῳ τε Mein. in Athen. φέρων] φορῶν Herwerd. Mnem. nov. IIII 317. 10. δὲ om. A. 12. 'nisi πόνος de duritie adamantis et in ferendis ictibus quasi patientia interpretari licet, suspiceris scribendum esse Ἄτλαντος.' Mein. Anal. Ath. 260. 13. δαίμονος corruptum videtur. 14. διὰ ταῦτ' Mein. 16. εἰμὶ] εἴμὴ A. τοὐνόματος Dindf.] τοῦ ὀνόματος A. τοῦ νοήματος Emper. Mein. V 91. τοῦ 'νοήματος Mein. που τοῦ πράγματος Dohr. Adv. II 341.

1. ἐκ Πειραϊῶς. cf. Pherecr. 34, ubi addenda exempla Canthar. 5. Mnesim. 4, 47. Philisc. 2. Criton. 3, 4. Arist. Pac. 144. fr. 608. 2. non paupertatem dici, sed amoris laborcs docet Meinekius I 383. 8. Xenoph. Mem. 3, 5, 22 οἶμαί σε (στρατηγήματα)...πολλὰ πανταχόθεν συνενηνοχέναι.

246

σχολῇ γε, νὴ τὸν ἥλιον, σχολῇ λέγεις.
Ἐπιχαρίδης ὁ μικρὸς ἐν πένθ' ἡμέραις
σφαῖραν ἐποίησε τὴν πατρῴαν οὐσίαν.
οὕτω συνεστρόγγυλεν ἰταμῶς καὶ ταχύ.

Athenaeus 4, 165 e ἀσώτους μὲν γὰρ οἶδα διαβοήτους, ἕνα μὲν

οὗ μνημονεύει Ἄλεξις... ἐν δὲ Φαίδρῳ φησὶ κτλ. v. 2—4 Eustathius 1554, 2 πέπαικταί τινι παλαιῷ εἰς ἄσωτον βραχυήλικα τό· Χαρίδης ὁ μικρὸς ἐν πένθ' ἡμέραις κτλ. 2. Χαρίδης Eust., unde ἐπεὶ Χαρίδης Mein. cf. fr. 220, 4. ὁ μιαρὸς Bergk. 4. οὕτω Eust.] οὕτως A.

1. *tarde tu quidem* (vel ille quidem) *rem familiarem dilapidavisti* (dilapidavit), siquidem Epicharidi quinque dies suffecerunt. 2. Κλειγένης ὁ μικρός Arist. Ran. 708, Ἀριστόδημος ὁ μικρός Xenoph. Mem. 1, 4, 2 et Plat. Symp. 173 b (Mein.). 3. cf. fr. 105. Nicomach. 3. 4. cf. Cobet. V. l.[2] 376.

ΦΑΙΔΩΝ Η ΦΑΙΔΡΙΑΣ

Titulus Meinekio suspectus non diversam a Phaedro fabulam indicari censenti. scriptam esse suspicatur Ol. 110. I 385.

247

ἀγορανομήσεις, ἂν θεοὶ θέλωσι, σύ,
ἵνα Καλλιμέδοντ' εἰς τοὔψον, εἰ φιλεῖς ἐμέ,
παύσῃς καταιγίζοντα δι' ὅλης ἡμέρας.
Β. ἔργον τυράννων, οὐκ ἀγορανόμων λέγεις.
5 μάχιμος γὰρ ἀνήρ, χρήσιμος δὲ τῇ πόλει.

Athenaeus 8, 340 b εἰς δὲ ὀψοφαγίαν (Καλλιμέδοντα σκώπτει Ἄλεξις) ἐν Φαίδωνι ἢ Φαιδρίᾳ οὕτως κτλ. 1. θέλωσι, σύ, ἵνα] θέλωσιν συῖνα A. 5. ἀνὴρ Dindf.] ἀνήρ A. — cf. fr. 67.

1. de *agoranomis* cf. Arist. Ach. 723. 824. Schoemann. Ant. gr.[2] I 431. 2. cf. Arist. Nub. 82. 3. δι' ὅλης ἡμέρας, ut Arist. Pac. 27 δι' ἡμέρας ὅλης. sed cum versari in foro per totum diem possit, inruere in forum non possit, scribendum videtur δὶς τῆς ἡμέρας. cf. Plat. com. 207. Polioch. 2, 3. scilicet δὶς τῆς ἡμέρας δειπνεῖν luxuriosi erat hominis. 5. δόκιμος γὰρ ἀνὴρ χρήσιμός τε τῇ πόλει?

ΦΑΡΜΑΚΟΠΩΛΗΣ Η ΚΡΑΤΕΤΑΣ

Cf. Κρατεύας ἢ Φαρμακοπώλης.

ΦΙΛΑΘΗΝΑΙΟΣ

248

παρ' ἡμᾶς οἰκεῖ

ἀντὶ τοῦ παρ' ἡμῖν. Ἄλεξις Φιλαθηναίῳ. Bekker. Anecd. 111, 11. cf. Aristoph. fr. 451.

249

παιδικόν

ἀντὶ τοῦ παιδαριῶδες. Ἄλεξις Φιλαθηναίῳ. Bekk. Anecd. 112, 3.

ΦΙΛΕΤΑΙΡΟΣ

Cf. *Δημήτριος ἢ Φιλέταιρος.*

ΦΙΛΙΣΚΟΣ

Cf. quae ad Antiphanis *Philiscum* adnotantur.

250

ἀρτέον
τράπεζαν, ἀπονίψασθαι δοτέον, προσοιστέος
στέφανος, μύρον, σπονδή, λιβανωτός, ἐσχαρίς,
τράγημα δοτέον ἔτι, πλακοῦντος ἁπτέον.

Athenaeus 14, 642 f *Ἄλεξις Φιλίσκῳ κτλ.* 2. *ἀπονίψασθαι* A] *ἀπονίψαι* Porson. *δοτεον* A. *ἀρτέα* | *τράπεζ', ἀπονίψασθαι δοτέον* Mein. Anal. Ath. 313. 3. *ἐσχαρις* A. 4. *τράγημα* Porson.] *τραγήματα* A.

ΦΙΛΟΚΑΛΟΣ Η ΝΥΜΦΑΙ

251

κατάκεισο κἀκείνας κάλει.
συναγώγιμον ποιῶμεν. ἀλλ' εὖ οἶδ' ὅτι
κυμινοπρίστης ὁ τρόπος ἐστί σου πάλαι.

Athenaeus 8, 365 b *καλοῦσι δέ τινα καὶ συναγώγιμα δεῖπνα, ὡς Ἄλεξις ἐν Φιλοκάλῳ ἢ Νύμφαις κτλ.* cf. Posidipp. 26 (24 Mein.), 12 et Arist. Vesp. 1357. Aristot. Mor. m. 1, 25 *ἔστι τῆς ἀνελευθεριότητος εἴδη πλείω, οἷον κίμβικάς τινας καλοῦμεν καὶ κυμινοπρίστας καὶ αἰσχροκερδεῖς καὶ μικρολόγους.*

ΦΙΛΟΤΡΑΓΩΙΔΟΣ

252

σοφοῦ γὰρ ἀνδρὸς τὰς τύχας ὀρθῶς φέρειν.

Stobaeus Floril. 108, 52 *Ἀλέξιδος ἐκ Φιλοτραγῳδοῦ* A. *ὀρθῶς*] *εὖ* Vindob. Trinc.

ΦΙΛΟΤΣΑ

253

Ἀφροδίσι' ἦγε ταῖς ἑταίραις ἡ πόλις·
ἕτερα δὲ χωρίς ἐστι ταῖς ἐλευθέραις.
ταῖς ἡμέραις ταύταις δὲ κωμάζειν ἔθος
ἔστιν, νόμος τε τὰς ἑταίρας ἐνθάδε
5 *μεθύειν μεθ' ἡμῶν.*

Athenaeus 13, 574 b *ὅτι δὲ καὶ Ἀφροδίσια ἴδια ἄγουσιν αὐτόθι (ἐν Κορίνθῳ) αἱ ἑταῖραι, Ἄλεξις ἐν Φιλούσῃ φησίν κτλ.* 5. *μεθύειν* add. Porson. *κωμάζειν ἔθος | ἔστιν μεθ' ἡμῶν τὰς ἑταίρας ἐνθάδε* Bothius. v. 3—5 ut Athenaei verba exterminat G. A. Hirschig. Ann. crit. 14. 15. at quid tum *ἐνθάδε μεθ' ἡμῶν*?

254

ἀλλ' ἔγωγε τοῦ τὰ δέοντ' ἔχειν
τὰ περιττὰ μισῶ· τοῖς ὑπερβάλλουσι γὰρ
τέρψις μὲν οὐκ ἔνεστι, πολυτέλεια δέ.

Athenaeus 10, 419 b *τῶν δείπνων δὲ πολλοὶ τὰ μέτρια ἀσπάζονται, ὡς Ἄλεξις ἐν Φιλούσῃ παραδίδωσιν κτλ.* 1. *δέοντα* A. *τοῦ*] *τῷ* Erfurdt. Obs. 456. *που — ἔχων* Iacobs. Add. Ath. 227. *τοι — ἔχων* Mein. in Athen. Emperius verba *τοῦ τὰ δέοντ' ἔχειν* suspendit a *τὰ περιττά*, conl. Xenoph. Ages. 9, 3 *τὰ περιττὰ τῶν ἱκανῶν*. at ut recte dicitur *τὰ περιττὰ τῶν δεόντων*, ita non recte ni fallor *τὰ περιττὰ τοῦ τὰ δέοντα ἔχειν*. scribo *ἔγωγ' ἐρῶ τὰ δέοντ' ἔχειν*. cf. Eupol. 326. Arist. Plut. 1009. fr. 51. Timocl. 10, 2. an *ἀγαπῶ*? — cf. 259.

ΦΡΥΞ

Τοῦ Φρυγίου διασκευήν commemorat Athenaeus 10, 429 e: unde Meinekius conicit 7, 307 d scribendum esse *Ἄλεξις Φρυγίῳ*. I 403. ac fortasse poeta illam de amore *Phrygii* et *Pieriae* fabulam tractavit, quam narrat Plutarchus Mor. 253 f. 254. cf. E. Rohde Griech. Rom. 41.

255

εἰ τοῦ μεθύσκεσθαι πρότερον τὸ κραιπαλᾶν
παρεγίνεθ' ἡμῖν, οὐδ' ἂν εἷς οἰνόν ποτε
προσίετο πλείω τοῦ μετρίου. νυνὶ δὲ τὴν
τιμωρίαν οὐ προσδοκῶντες τῆς μέθης
5 *ἥξειν προχείρως τοὺς ἀκράτους πίνομεν.*

Athenaeus 10, 429 e *καὶ Ἄλεξις ἐν τῇ τοῦ Φρυγίου διασκευῇ φησιν κτλ.* 3. *πλείω* Mein. in Ath.] *πλεῖον* A. 5. *τοὺς*] *τὰς* Mein. mihi articulus omnino ineptus videtur. nam prorsus aliter Clearch. 3. scribendum est aut *προχειρότερον* aut *προχείρως πως ἄκρατον*.

256

ἐγὼ δὲ κεστρεὺς νῆστις οἴκαδ' ἀποτρέχω.

Athenaeus 7, 307 d *ὅτι δὲ εἶδος κεστρέων οἱ νήστεις... Ἄλεξις Φρυγί κτλ.* cf. Cratin. 52 et de *cestreo* Aristoph. fr. 156.

ΦΥΓΑΣ

Caecilii Statii *Exsulem* ex Alexidea fabula ductum esse censet Spengelius. cf. O. Ribbeck. Com. Rom. fr.[2] 42.

257

ἀεί γ' ὁ Χαιρεφῶν τιν' εὑρίσκει τέχνην·
καὶ νῦν πορίζεταί γε τὰ δεῖπν' ἀσύμβολα.
ὅπου γάρ ἐστιν ὁ κέραμος μισθώσιμος
ὁ τοῖς μαγείροις, εὐθὺς ἐξ ἑωθινοῦ
ἕστηκεν ἐλθών· κἂν ἴδῃ μισθούμενον
εἰς ἑστίασιν, τοῦ μαγείρου πυθόμενος
τὸν ἑστιῶντα, τῆς θύρας χασμωμένης
ἂν ἐπιλάβηται, πρῶτος εἰσελήλυθεν.

Athenaeus 4, 164 f *περιέρχεται τὰς οἰκίας, ἐξετάζων ὅπου δεῖπνα λαμπρὰ παρασκευάζεται, ὑπὲρ τὸν Ἀθηναῖον Χαιρεφῶντα ἐκεῖνον, περὶ οὗ φησιν Ἄλεξις ἐν Φυγάδι κτλ.* v. 3. 4 (*μαγείροις*) Athen. 6, 229 b *τὸ ὑπὸ Ἀλέξιδος ἐν Φυγάδι εἰρημένον κτλ.* 1. *αἰεί* A. 2. eiciendum videtur *γε* (Mein.). 3. *κερασμὸς* A 229. 4. *ὁ τοῖς*] *τοῖσιν* Bothius. *εὐθὺς* Porson.] *εὐθέως* A. 5. fortasse *κἄν τιν' ἴδῃ.*

de *Chaerephonte* parasito cf. Antiphan. 199. 3. *κέραμος* sunt *vasa figlina* quibus ad coquendum utuntur. *ἐν τῷ κεράμῳ*, i. e. in ea fori parte ubi illa vasa erant, coqui conducebantur. 8. *εἰσελήλυθεν.* cf. Antiphan. 204.

ΧΟΡΗΓΙΣ

Cf. Meinek. I 403. Athen. 13, 577 c (*Ἀριστοφῶν ὁ ῥήτωρ*) *ἀπεδείχθη...ἐκ Χορηγίδος τῆς ἑταίρας παιδοποιησάμενος.*

258

ὃς τοῖς τετραδισταῖς μὲν παρέθηκεν ἐσθίειν
πρῴην λέκιθον καὶ μεμβράδας καὶ στέμφυλα.

Athenaeus 7, 287 e f *Ἄλεξις ἐν Χορηγίδι διὰ τοῦ μ̄ εἴρηκεν* (*μεμβράδας*) *κτλ.* 1. *ἐσθίειν* Schweigh.] *ἐσθίων* A. *ἑστιῶν* Villebrun. Hesych. *τετραδισταί· σύνοδος νέων συνήθων κατὰ τέτράδα γινομένη.* Bekker. Anecd. 309, 28 *τετραδισταί· οἱ ἐπίπονον βίον διάγοντες.* scilicet haec interpretatio pertinet ad proverbium *τετράδι γέγονας* (cf. Plat. com. 100), Hesychii ad convivia in Herculis honorem *τῇ τετράδι* habita. Athen. 14, 659 d. erant autem talia sodalicia conviviis certa die instituendis admodum usitata. sic *εἰκαδισταί* Epicuri diem natalem celebrabant. Athen. 7, 298 d. cf. 12,

551 f. Schoemann. Antiq. gr.[2] II 519 (*νουμηνιασταί, κακοδαιμονισταί*). — inridet nescio quem, qui convivas vilissima cena exceperit.

ΨΕΥΔΟΜΕΝΟΣ

259

τὰ περιττὰ μισῶ· τοῖς ὑπερβάλλουσι γὰρ
δαπάνη πρόσεστιν, ἡδονὴ δ' οὐδ' ἡτισοῦν.

Athenaeus 10, 419 b *τῶν δείπνων δὲ πολλοὶ τὰ μέτρια ἀσπάζονται, ὡς Ἄλεξις... Ψευδομένῳ κτλ.* Eustathius 1413, 47 *ὡς δηλοῖ ὁ γράψας· τοῖς ὑπερβάλλουσι δαπάνη κτλ.* cf. 254.

260

κόλακος δὲ βίος μικρὸν χρόνον ἀνθεῖ·
οὐδεὶς γὰρ χαίρει πολιοκροτάφῳ παρασίτῳ.

Athenaeus 6, 255 b *Ἄλεξις γοῦν φησιν ἐν Ψευδομένῳ κτλ.* 1. *κολάκων* C.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

261

ἔλαθον γενόμενος οὗ τὸ πρᾶγμ' ἠβούλετο.
κατὰ χειρὸς ἐδόθη· τὴν τράπεζαν ἧκ' ἔχων,
ἐφ' ἧς ἐπέκειτ' οὐ τυρὸς οὐδ' ἐλαῶν γένη,
οὐδὲ παρέχουσαι κνῖσαν ἡμῖν πλείονα
5 *παροψίδες καὶ λῆρος, ἀλλὰ παρετέθη*
ὑπερηφάνως ὄζουσα τῶν Ὡρῶν λοπάς,
τὸ τοῦ πόλου τοῦ παντὸς ἡμισφαίριον·
ἅπαντ' ἐνῆν τἀκεῖ γὰρ ἐν ταύτῃ καλά,
ἰχθῦς, ἔριφοι, διέτρεχε τούτων σκορπίος,
10 *ὑπέφαινεν ᾠῶν ἡμίτομα τοὺς ἀστέρας.*
ἐπεβάλομεν τὰς χεῖρας. ὁ μὲν ἐμοὶ λαλῶν
ἅμα καὶ διανεύων ἠσχολεῖθ', ὁ πᾶς δ' ἀγὼν
ἐπ' ἐμὲ κατήντα. τὸ πέρας οὐκ ἀνῆχ' ἕως
τὴν λοπάδ' ὀρύττων ἀποδέδειχα κόσκινον.

Athenaeus 2, 60 a *Ἄλεξις ὁ χαρίεις πρόπομα ὅλον παρατίθησι τοῖς διακρίνειν δυναμένοις κτλ.* v. 5—10. 13. 14 excerpsit Eustathius 1348. 9 *σεμνύνων τις* (!) *παρὰ τῷ δειπνοσοφιστῇ ἀστείως ἔφη τὸ παρετέθη κτλ.* v. 10 Athenaeus 2, 57 e *Ἄλεξις δὲ ἡμίτομά που ᾠῶν λέγει.* 1. *ἠβούλετο*] *ἠπείγετο*, i. e. *ἐσπεύδετο* Casaub. 3. *ἐλᾶῶν* cum apud Atticos quidem non inveniatur, L. Dindorfius in

Thes. (*ἐλάα*) proposuit *ἐλῶν*. scrib. *οὐ θλαστῶν*. cf. Aristoph. fr. 393. 4. *κνῖσαν* Dindf.] *κνίσσαν*. *πλείονα*] *πίονα* Mein. 6. *ὑπερηφάνως* Iacobs. Add. Ath. 50] *ὑπερήφανος*. 9. *ἰχθῦς*] *ἰχθύες* B. 12. *ἠσχολεῖθ'*, *ὁ* Herwerd. Anal. crit. 41] *ἠσχολεῖτο*. 14. *ἀπεδεδείχη?*

ad *Hesionam* referebat H. Iacobi Mein. V ccxv. 1. *ἔλαθον γ.*, i. e. *clam, non vocatus* ut parasitus perveni ad cenam. 5. *καὶ λῆρος*. exempla congessit Iacobs. Add. Ath. 49. 6. *τῶν Ὡρῶν*, quia delicias omnium anni temporum continebat. 7. *ὁ πόλος* est universi mundi compages. 8. *zodiacum* dicit, in quo ipso quoque sunt pisces, haedi, scorpius. 10. *ὠῶν ἡμίτομα*, *flava* scil. 14. *cribrum facit* patinam eo quod suavissima quaeque inde tollit.

262

τίς δῆθ' ὑγιαίνων νοῦν τ' ἔχων τολμᾷ ποτε
γαμεῖν, διαπραξάμενος ἥδιον βίον;
εἶτ' οὐχὶ κρεῖττόν ἐστι τῷ γ' ἔχοντι νοῦν
ἄτιμον εἶναι μᾶλλον ἢ γυναῖκ' ἔχειν;
5 *πολλῷ γε· τοὺς μὲν γοῦν ἀτίμους οὐκ ἐᾷ*
ἀρχὴν λαχόντας ὁ νόμος ἄρχειν τῶν πέλας·
ἐπὰν δὲ γήμῃς, οὐδὲ σαυτοῦ κύριον
ἔξεστιν εἶναι· τὰς γὰρ εὐθύνας μόνον
ἐφημερινὰς τὰς τοῦ βίου κεκτήμεθα.

Stobaeus Floril. 68, 2 *Ἀλέξιδος* A. 2. *ἥδιον*] *ἥδιστον* B. *ἤθεον* Mein. in Stob. *ἰδίᾳ γ' ἀρξάμενος ἥδιον βιῶν* A. Nauck. Philol. VI 419. *διαπραξάμενος τὸν ἤθεον βίον* Cobet. Mnem. nov. II 426. at quid quaeso est *διαπράξασθαι τὸν ἤθ. β.?* et quis priusquam uxorem duceret non fuit caelebs? scrib. *διαπλέξας ἂν μόνος ἡδίω βίον*, *cum solus suaviorem vitam acturus esset.* cf. Arist. Av. 754 cum exemplis ibi congestis. 8. scrib. *μόνοι*, i. e. *soli enim mariti cotidie vitae rationem reddere debemus*, magistratus *quotannis* tantummodo.

263

ἓν γὰρ νομίζω τοῦτο τῶν ἀνελευθέρων
εἶναι, τὸ βαδίζειν ἀρρύθμως ἐν ταῖς ὁδοῖς,
ἐξὸν καλῶς· οὔ μήτε πράττεται τέλος
μηδεὶς γὰρ ἡμᾶς, μήτε τιμὴν δόντα δεῖ
5 *ἑτέρων λαβεῖν, φέρει δὲ τοῖς μὲν χρωμένοις*
δόξης τιν' ὄγκον, τοῖς δ' ὁρῶσιν ἡδονήν,
κόσμον δὲ τῷ βίῳ, τὸ τοιοῦτον γέρας
τίς οὐκ ἂν αὐτῷ κτῷτο φάσκων νοῦν ἔχειν;

Athenaeus 1, 21 cd *Ἄλεξίς φησιν κτλ.* Suidas *ἀναλαμβάνειν.* v. 1. 2. 5 (a *φέρει*) — 7 (*βίῳ*) Eustathius 1164, 32. 2. *ἀρρύθμους* Suid. 4. *μηδέν* Suid. *μηδέν τις ἡμᾶς* Kuster. *πράττοιτ' ἂν τέλος μηδεὶς ἂν ἡμῶν* Dobr. Arist. Plut. 256 p. 30. *πράττεται τ. μηδεὶς παρ' ἡμῶν* G. A. Hirschig. Ann. crit. 15. 4. *γὰρ* add. Dindorf. *τιμὴν* Dindf.] *μὴν* BCD. *δόντα* Dobr.] *δόντας* BCD. *δεῖ* Casaub.] *δι'* BCD. 5. *ἑτέρῳ* Dobr. *χρωμένοις* B] *χρωμένοισιν εὖ* CD. 7. *τοιοῦτο γῆρας* A Suid. 8. *αὐτῷ κτῷτο* Dindf.] *κτῷτο αὐτῷ* BCD.

264

ἂν πιττοκοπούμενόν τιν' ἢ ξυρούμενον
ὁρᾷς τούτων ἔχει τι θάτερον·
ἢ γὰρ στρατεύειν ἐπινοεῖν μοι φαίνεται
καὶ πάντα τῷ πώγωνι δρᾶν ἐναντία,
ἢ πλουσιακὸν τούτῳ προσπίπτει κακόν.
τί γὰρ αἱ τρίχες λυποῦσιν ἡμᾶς, πρὸς θεῶν,
δι' ἃς ἀνὴρ ἕκαστος ἡμῶν φαίνεται,
εἰ μή τι ταύταις ἀντιπράττεσθ' ὑπονοεῖς;

Athenaeus 13, 565 b (ex Chrysippo) *διὸ καὶ Ἄλεξις ἔφη που κτλ.* v. 6. 7 Eustathius 1910, 3 *ἕτερος δέ τις παλαιὸς εἶπε· τί γὰρ — φαίνεται;* Clemens Alex. Paed. 3, 11, 61 *τὰς δὲ τοῦ γενείου (τρίχας) μηδέν τι παραλυπούσας οὐκ ἐνοχλητέον.* 1. *ἂν* add. Mein. *τιν'*] *τινα* A. 2. *τοῦτον* A. *σὺ τοῦτον ἴσθ' ἔχοντα* Iacobs. Add. Ath. 299. *δυοῖν τούτων* Erfurdt. *ἔχειν δεῖ* Cobet. N. l. 36. 3. *ἢ μαστροπεύειν* Iacobs. *ἤτοι γὰρ ἑταιρεῖν* Herwerd. Nov. add. crit. 34. ac desideratur tale aliquid. 5. *πλουσιακὸν* manifesto corruptum. *τούτωι* A. *τοιοῦτο* Dindf. *τούτῳ τι* Mein. 7. *διας* A. 9. *ἐπινοεῖς* Iacobs.

1. *πιττοκοπούμενον.* cf. quae ad Philemonis fabulam ita inscriptam adnotantur.

265

τοὺς εὐτυχοῦντας ἐπιφανῶς
δεῖ ζῆν φανεράν τε τὴν δόσιν τὴν τοῦ θεοῦ
ποιεῖν· ὁ γὰρ θεὸς δεδωκὼς τἀγαθὰ
ὧν μὲν πεπόρικεν οἴεται χάριν τινὰ
ἔχειν ἑαυτῷ· τοὺς ἀποκρυπτομένους δὲ καὶ
πράττειν μετρίως φάσκοντας, ἀχαρίστους ὁρῶν
ἀνελευθέρως τε ζῶντας ἐπὶ καιροῦ τινος
λαβὼν ἀφείλεθ' ὅσα δεδωκὼς ἦν πάλαι.

Athenaeus 2, 40 e *τελεῖν γὰρ τὸ δαπανᾶν καὶ πολυτελεῖς οἱ πολλὰ ἀναλίσκοντες καὶ εὐτελεῖς οἱ ὀλίγα. φησὶν Ἄλεξις κτλ.*

1. *ἐπιφανῶς*] *πολυτελῶς* G. A. Hirschig. Ann. crit. 15. 16. 3. *θεὸς* add. G. Herm. El. d. m. 140. *θεὸς ὁ* Cobet. N. l. 121. 4. *ὧν μὲν πεποίηκεν* libri. *τῶν μὲν ὧν* CD. *ὧν εὖ πεποίηκεν* Dobr. *τούτους μὲν ὧν πεποίηκεν οἴεται χάριν* | *ἔχειν* Hirschig. 16. *τῶν ὧν πεπόρικεν οἴεται χάριν τινὰ* | *ἕξειν* Mein. Anal. Ath. 22. *ὧν εὖ πεποίηκεν ἀξιοῖ* aut *δεῖν ὧν πεπόρικεν οἴεται* Herwerd. Mnem. nov. VI 71. *τινὰ*] *τιν'* BC. 6. *πράττειν μετρίως* Casaub.] *μετρίως πράττειν.* *ἀχαρίστους* Elmsl. ap. Dindf. in addend.] *ἀχρήστους.* 7. *ἀνελευθέρως* L] *ἀνελευθέρους* BC. *ἐπὶ*] *καὶ ἐπὶ* C. 8. *πάλαι*] *πάλιν* Mein.

1. *ἐπιφανῶς* vel *πολυτελῶς* coniungendum cum *ζῆν.* 2. *φανερὰν ποιεῖν*, infra oppos. *ἀποκρυπτομένους.* 4. *τινά* est subiectum, *χάριν* obiectum.

266

μὴ ὥρασι μὲν
τὰ τῶν κακῶν ἵκοιθ' ὁ τοὺς θέρμους φαγών,
ἐν τῷ προθύρῳ τὰ λέμμαθ' ὁτιὴ κατέλιπεν,
ἀλλ' οὐκ ἀπεπνίγη καταφαγών· μάλιστα δὲ
5 *Κλεαίνετος μὲν οὐκ ἐδήδοκ' οἶδ' ὅτι*
ὁ τραγικὸς αὐτούς· οὐδενὸς γὰρ πώποτε
ἀπέβαλεν ὀσπρίου λέπος·
οὕτως ἐκεῖνός ἐστιν εὐχερὴς ἀνήρ.

Athenaeus 2, 55 c *θέρμοι κτλ.* Alexidis versus esse docet Pollux 6, 45 *θέρμους δὲ Ἄλεξις εἴρηκε· τοὺς θέρμους φαγὼν ἐπὶ τῶν προθύρων τὰ λέμμαθ' ὁτιὴ κατέλιπεν.* 1. *ὥρασι* Dindf.] *ὥραισι.* cf. quae adnotavit ad Arist. Lys. 391. *μὲν* | *τὰ* G. Herm. Epit. d. m. XIX] *μετά.* v. 2 nondum persanatus. 7. *ἀπέβαλεν* BC] *ἀπέβαλλεν.* post *λέπος* rursus *Κλεαίνετος* add. Casaub. *μὰ τὸν Δί' οὗτος ἀπέβαλ' ὀσπρίου λέπος* Mein. Anal. Ath. 28. *ἀπέβαλεν οὗτος οὐδ' ἂν ὀσπρίου λέπος* vel *ἀπέβαλεν οὐδ' ἂν ὀσπρίου λεπύχανον* K.

Aeschin. 1, 98 *Κλεαίνετος ὁ χοροδιδάσκαλος.* duo eius fragmenta Nauck. Trag. gr. fr. p. 631. nimia eius parsimonia perstringi videtur. ita habilem et sollertem esse poeta dicit, tamquam id astutiae suae, non avaritiae debeat. 1. '*in malam rem abeat qui lupinorum quos comedit putamina in atrio reliquit, neque comesis* (lupinis) *suffocatus est.*' Mein. *λέπος* apud Atticos alibi frustra quaeras.

267

οὐκ ἠξίωσα καταλιπεῖν τὴν μητέρα,
πρώτην δὲ σῴζειν· τοῖς γὰρ ὀρθῶς εἰδόσιν
τὰ θεῖα μείζω μητρὸς οὐκ ἔστιν ποτέ.
ὅθεν ὁ πρῶτος οὐκ ἀπαιδεύτως ἔχων

5 ἱδρύσαθ' ἱερὸν μητρός, οὐ δείξας σαφῶς
ποίας, ἐάσας δ' ὑπονοεῖν εἰς τοὔνομα.

Stobaeus Floril. 79, 13 Ἀλέξιδος A. 1. ἠξίωσα] ἠξίωσ̊ A. 3. μεῖζον B. 4. πρῶτος] Προμηθεὺς G. Herm. 6. δ' om. AB.

2. 3 constr. τὰ θεῖα οὐκ ἔστιν ποτὲ μείζω μητρὸς τοῖς ὀρθῶς εἰδόσιν. cf. Arist. Nub. 1241. vel deorum verecundiam verecundiae matris postponendam esse dicit. 4. nescio an scribendum sit ὅθεν Βροτέας ποτ' conl. Paus. 3, 22, 4 ἐπὶ Κοδδίνου πέτρᾳ (in Sipylo monte) Μητρός ἐστι θεῶν ἀρχαιότατον ἁπάντων ἄγαλμα· ποιῆσαι δὲ Μάγνητες αὐτὸ Βροτέαν λέγουσι τὸν Ταντάλου. 6. fortasse ὑπονοεῖσθαι τοὔνομα.

268

τῶν ἑπτὰ νήσων, ἃς δέδειχεν ἡ φύσις
θνητοῖς μεγίστας, Σικελία μέν, ὡς λόγος,
ἔστιν μεγίστη, δευτέρα Σαρδώ, τρίτη
Κύρνος, τετάρτη δ' ἡ Διὸς Κρήτη τροφός,
5 Εὔβοια πέμπτη στενοφυής, ἕκτη Κύπρος,
Λέσβος δὲ τάξιν ἑβδόμην λαχοῦσ' ἔχει.

Schol. Platonis 392 Bekk. ἰστέον δὲ ὅτι Ἄλεξις ὁ κωμικός φησι κτλ. Stephanus apud Constantinum Porphyrog. Them. II 10 et omisso auctoris nomine Eustathius Dionys. 568. 1. δέδειχεν] ἔδειξεν Eust. 3. ἔστιν] πρώτη Eust. μεγίστη] an κρατίστη propter v. 2? 6. ἑβδόμην] ἐσχάτην Eust.

Schol. Arist. Ach. 112 Σαρδὼ γὰρ νῆσός ἐστι τῶν ἑπτά, σταδίους ἑξήκοντα Κύρνου διέχουσα. cf. Strab. 14, 606. Scyl. 12. Aristot. Mund. 7 (Stob. Ecl. phys. 1, 42). Appian. Hist. Rom. praef. 6 p. 6 (Mein.). de poetica huius eclogae indole prudenter iudicavit Meinekius I 378.

269

ἐπὰν ἰδιώτην ἄνδρα μονοσιτοῦντ' ἴδῃς,
ἢ μὴ ποθοῦντ' ᾠδὰς ποιητὴν καὶ μέλη,
τὸν μὲν ἰδιώτην τοῦ βίου τὸν ἥμισυν
ἀπολωλεκέναι νόμιζε, τὸν δὲ τῆς τέχνης
5 τὴν ἡμίσειαν, ζῶσι δ' ἀμφότεροι μόλις.

Athenaeus 2, 47 c ὁ δὲ μονοσιτῶν κεῖται παρ' Ἀλέξιδι κτλ. 2. ποθοῦντ'] ποιοῦντ' Mein. an κυοῦντ'? quo verbo ita saepe utitur Plato. ποιητὴν] ποιητὰς CD et *optimae fidei libri Levinii* ap. Casaub.

1. ἰδιώτης hic opponitur poetae, homo nullius artis studiosus. is si *solus cenat* — hoc enim hic est μονοσιτεῖν, quod moneo propter Casaubonum —, i. e. sodalium societatem spernit, non minus stultus est quam poeta qui non dat operam carminibus.

270

τὴν ὄψιν εἴπω τοῦ ποτηρίου γέ σοι
πρώτιστον; ἦν γὰρ στρογγύλον, μικρὸν πάνυ,
παλαιόν, ὥτα συντεθλασμένον σφόδρα,
ἔχον κύκλῳ τὰ γράμματ'. *B.* ἆρά γ' ἕνδεκα;
5 χρυσᾶ; Διὸς σωτῆρος; *A.* οὐκ ἄλλου μὲν οὖν.

Athenaeus 11, 784 d. 466 γραμματικὸν ἔκπωμα· τὸ γράμματα ἔχον ἐγκεχαραγμένα. Ἄλεξις κτλ. Eustathius 1960, 13 γραμματικὸν ἔκπωμα, ἤγουν, ὡς Ἄλεξις ἂν εἴποι, τὸ ἔχον κύκλῳ τὰ γράμματα. 1. σοι Schweigh.] σου. 4. τὰ Eust.] τε. γράμματα A. ἆρά Dindf.] αρα A.

ante v. 1 ἵνα vel θέλεις fuisse consentaneum est. confert Meinekius V 92 titulum Boeckh. C. I. n. 2852, 43 κέρας ἐπιγεγραμμένον Διὶ σωτῆρι. 3. miror poetam ὥτα sine articulo posuisse. 4. 5 ad singulas interrogationes alter adnuendo respondet. 5. οὐκ ἄλλου, Iovis nomen inerat, non alius ullius. — ad Ἱππέα Meinekius eclogam refert propter fr. 95. 6.

271

τὰς ἡδονὰς δεῖ συλλέγειν τὸν σώφρονα.
τρεῖς δ' εἰσὶν αἵδε τὴν δύναμιν κεκτημέναι
τὴν ὡς ἀληθῶς συντελοῦσαν τῷ βίῳ,
τὸ πιεῖν, τὸ φαγεῖν, τὸ τῆς Ἀφροδίτης τυγχάνειν.
5 τὰ δ' ἄλλα προσθήκας ἅπαντα χρὴ καλεῖν.

Plutarchus Mor. 21 d οἷον τοῦ Ἀλέξιδος κινοῦντος ἐνίους ὅταν λέγῃ κτλ. ὑπομνηστέον ὅτι Σωκράτης τοὐναντίον ἔλεγε. v. 4. 5 idem Mor. 445 f omisso auctoris nomine. 2. αἵδε Herwerd. Anal. crit. 41] αἵ γε. 4. τὸ φαγεῖν τὸ πιεῖν Hercherus ex 445] τὸ πιεῖν τὸ φαγεῖν. 5. ἅπαντ' ἐγὼ καλῶ 445.

1. συλλέγειν est *diligenter quam plurimas conligere.*

272

καὶ μὴν ἐνύπνιον οἶομαί γ' ἑωρακέναι
νικητικόν. *B.* λέγ' αὐτό. *A.* τὸν νοῦν πρόσεχε δή.
ἐν τῷ σταδίῳ τῶν ἀνταγωνιστῶν μέ τις
ἐδόκει στεφανοῦν γυμνὸς προσελθὼν . . .
5 στεφάνῳ κυλιστῷ κοκκυμήλων. *B.* Ἡράκλεις.
[πεπόνων]

Athenaeus 2, 49 e Ἄλεξις κτλ. 1. ἐνύπνιον Schweigh.] ἐν ὕπνοις C. ἑωρακέναι Dindf.] ὡρακέναι. ἑωρακέναι B. 2. νικητικόν C] νικητήριον. προσέχειν C. 4. ἐδόκει L] ἔδοξε V. in ex-

itu ὡς ἐμὲ add. Casaub. 5. κυλιστῷ Casaub.] κυλιστῇ. 6. πεπόνων delevit Dobr. Adv. II 297 ut ex fr. 273 intrusum.

273

ἑόρακας ἤδη πώποτ' ἐσκευασμένον
ἤνυστρον ἢ σπλῆν' ὀπτὸν ὠνθυλευμένον,
ἢ κοκκυμήλων σπυρίδα πεπόνων; (νὴ Δία,)
τοιοῦτ' ἔχει τὸ μέτωπον.

Athenaeus 2, 49 f Ἄλεξις πάλιν κτλ. Eustathius 211, 15 καὶ ἐν τῷ ἑώρακας πώποτε κοκκυμήλων σπυρίδα πεπόνων; τοιοῦτον ἔχει τὸ πρόσωπον. 1. ἑόρακας Dindf.] ἑώρακας. ἤδη inseruit Dobr. ἐσκευασμένον ἤνυστρον Dobr.] ἤνυστρον ἐσκευασμένον. 2. ὠνθυλευμένον idem] μεμονθυλευμένον. cf. Phrynich. Epit. 356 ibique Lobeck. 3. νὴ Δία add. Dobr. 4. τοιοῦτ' Mein.] τοιοῦτον. — pugilem dici facie pugnis contusa censet Casaubonus. confert Meinekius adesp. Aristot. Rhet. 3, 11 ὠήθητε δ' ἂν αὐτὸν εἶναι συκαμίνων κάλαθον. idem fr. 272 et 273 ad *Pancratiasten* refert.

274. 275. 276

Λεσβίου δὲ πώματος
οὐκ ἔστιν ἄλλος οἶνος ἡδίων πιεῖν.
. . . . . .
Θασίοις οἰναρίοις καὶ Λεσβίοις
τῆς ἡμέρας τὸ λοιπὸν ὑποβρέχει μέρος
5 καὶ νωγαλίζει.
. . . . . .
ἡδύς γ' ὁ Βρομίου τὴν ἀτέλειαν Λεσβίου
ποιῶν τὸν οἶνον εἰσάγουσιν ἐνθάδε,
ὃς ἂν εἰς ἑτέραν ληφθῇ δ' ἀποστέλλων πόλιν
κἂν κύαθον, ἱερὰν ἐγγράφων τὴν οὐσίαν.

Athenaeus 1, 28 e Λεσβίου — πιεῖν, φησὶν Ἄλεξις. Θασίοις — νωγαλίζει. ὁ αὐτός· ἡδύς κτλ. idem 2, 47 d νωγαλεύματα ἐκάλουν τὰ ἡδέα βρώματα . . . Ἄλεξις Θασίοις — νωγαλίζει. 1. δὲ πώματος Porson.] πόματος. 3. οἰναρίοις καὶ Λεσβίοις Pors.] καὶ Λεσβίοις οἰναρίοις. 6. ἡδύς γ' Pors.] ἡδὺς. Βρομίου K.] Βρόμιος. 8. δ' (quod post ὃς habebant VL) transposuit Pors. 9. κύαθον L] κύσθον V. ἐγγράφων L] ἐγγράφω BCD.

commode fragmentum alterum ante primum poni et cum hoc coniungi potest. 4. 'ὑποβρέχειν ἡμέραν οἴνῳ dicitur qui diem compotationibus transigit.' Mein. 5. laudatur nescio quis qui legem tulerat ut eis qui vinum Lesbium in Atticam inportarent

inmunitas daretur. coniungenda sunt verba hunc in modum: *ἡδύς γ' ὁ ποιῶν τὴν ἀτέλειαν Βρομίου Λεσβίου εἰσάγουσι τὸν οἶνον ἐνθάδε.* pro *εἰσάγουσιν* fortasse *τοῖς ἄγουσιν.* ita non solum comici interdum, sed etiam Plato. Protag. 313 d. Leg. 8, 847 c. Sophist. 224 a. *Βρομίου Λεσβίου*, ut *ποδαπὸς ὁ Βρόμιος* 230. cf. *Μάρων* Cratin. 135. Eur. Cycl. 412.

277

ὡς ἔστι κατακεῖσθαι πρὸ δείπνου συμφορά·
οὔτε γὰρ ὕπνος δήπουθεν οὐδέν' ἂν λάβοι,
οὔθ' ἂν λέγῃ τις οὐδαμῶς μάθοιμεν ἄν·
ὁ νοῦς γάρ ἐστι τῆς τραπέζης πλησίον.

Athenaeus 1, 23 c *κατακεῖσθαι δὲ λέγεται καὶ κατακεκλίσθαι, ὡς ἐν Συμποσίοις Ξενοφῶν καὶ Πλάτων. Ἄλεξις κτλ.* 1. *ὅση 'στὶ* G. A. Hirschig. Ann. crit. 16. at quis sciat quid praecesserit? 3. *οὔθ' ἂν* Iacobs. Add. Ath. 14] *οὐδ' ἂν.*

278

οὐδέν γ' ἔοικ' ἄνθρωπος οἴνῳ τὴν φύσιν·
ὁ μὲν ἀπογηράσκων ἀηδὴς γίνεται,
οἶνον δὲ τὸν παλαιότατον σπουδάζομεν·
Β. ὁ μὲν δάκνει γάρ, ὁ δ' ἵλαρούς ἡμᾶς ποιεῖ.

Athenaeus 2, 36 f *ἀλλαχοῦ δὲ τοὐναντίον* (fr. 45) *φησὶν Ἄλεξις κτλ.* Eustathius 1449, 23 *κεῖται δὲ παρ' αὐτῷ (Ἀθηναίῳ) καὶ Ἀλέξιδος τὸ κτλ.* 1. *γ'* add. VL. magis placet *οὐδέν ἄρ' ἔοικ'.* 2. *ὁ μὲν γὰρ* libri. *ὁ μὲν γὰρ ἀπογηρᾶς* Elmsl. Edinb. Rev. V 187. *ἀπὸ γήρως* Bothius. *ὁ γὰρ ἀπογηράσκων* Pors. Arist. Nub. 893 p. 34. *ὁ μὲν ἀπογηράσκων* Mein. in Ath. *ὁ μέν γ' ἀπογηράσκων* K. 4. *Β.* add. K.

279

πίννας, κάραβον,
βολβούς, κοχλίας, κήρυκας, ὦ', ἀκροκώλια,
τοσαῦτα· τούτων ἂν τίς εὕροι φάρμακα
ἐρῶντι ἑταίρας ἕτερα χρησιμώτερα;

Athenaeus 2, 63 e *Ἄλεξις ἐμφανίζων τὴν τῶν βολβῶν πρὸς τὰ ἀφροδίσια δύναμιν φησί κτλ.* 2. *ὠὰ* libri. 3. *τοιαῦτα* Mein. ed. mai. *ἄν τις* Coraes. *τουτωνὶ τίς ἂν* Mein. Anal. Ath. 33 (ed. min. XVIII). *τούτων τίς ἂν ἀνεύροι* Herwerd. Obs. crit. 80. *εὕρη* B et C corr. 4. *ἐρῶν* et *χἄτερα* Iacobs. Anthol. VIII 234. scribendum videtur *τοιαῦτα· τούτων ἂν τις εὕροι φ.* | *ἐρῶντι γραὸς* (vel *γραίας*, cf. Arist. Thesm. 1024) *ἕτ. χρ.*; nam *meretricem* pul-

chram amanti talibus adiumentis non opus est. ad *Pamphilam* referebat Hemsterhusius. cf. fr. 170.

280

ὦ παῖ, μέγιστος ἔρανός ἐστί μοι τὸ σὲ
θρέψαι κατὰ τρόπον· ὃν γὰρ αὐτὸς ἀπέλαβον
παρὰ τοῦ πατρός, δεῖ τοῦτον ἀποδοῦναί με σοί.

Stobaei Floril. append. 2, 13, 11 *Ἀλέξιδος*. 2. *παρέλαβόν* K. nam *hereditate accipere* est *παραλαμβάνειν*. — *ἔρανος* tropice, ut Lycurg. Leocr. 143 et Arist. Lys. 653. ceterum cf. fr. 304.

281

τῶν γὰρ ἀγαθῶν τὸν πλοῦτον ὕστατον τίθει·
ἀβεβαιότατον γάρ ἐστιν ὧν κεκτήμεθα.
τὰ δ' ἄλλ' ἐπιεικῶς τοῖς ἔχουσι παραμένει.

Stobaeus Floril. 95, 8 *Ἀλέξιδος* A.

282

ἄτοπόν γε τὸν μὲν οἶνον εὐδοκιμεῖν σφόδρα
παρὰ ταῖς ἑταίραις τὸν παλαιόν, ἄνδρα δὲ
μὴ τὸν παλαιόν, ἀλλὰ τὸν νεώτερον.

Athenaeus 1, 25 f *Εὔβουλος δέ φησιν κτλ. τὸ αὐτὸ δὲ καὶ Ἄλεξις σχεδὸν ἀπαραλλάκτως, τοῦ σφόδρα μόνου κειμένου ἀντὶ τοῦ ἀεί.* Eustathius 1422, 48. cf. Eubul. 124.

283. 284

οὐδεὶς φιλοπότης ἐστὶν ἄνθρωπος κακός·
ὁ γὰρ διμάτωρ Βρόμιος οὐ χαίρει συνὼν
ἀνδράσι πονηροῖς οὐδ' ἀπαιδεύτῳ βίῳ.

Athenaeus 2, 39 b *οὐδεὶς — βίῳ, φησὶν Ἄλεξις. καὶ ὅτι οἶνος φιλολόγους πάντας ποιεῖ τοὺς πλεῖον πίνοντας αὐτόν.* 1. *ἐστὶν ἄνθρωπος* Casaub.] *ἄνθρωπός ἐστι.* alterum fragmentum variis modis constitui potest.

285

κοτύλας τέτταρας
ἀναγκάσας μεστὰς ἔμ' αὐτίτου σπάσαι
ὄξους Δεκελεικοῦ δι' ἀγορᾶς μέσης ἄγεις.

Athenaeus 2, 67 e *ἐθαυμάζετο δὲ καὶ τὸ Δεκελικὸν ὄξος. Ἄλεξις*

κτλ. 1. κοτύλας τέτταρας Brunck.] τέτταρας κοτύλας. 2. μεστὰς ἔμ' Brunck.] με μεστὰς. αὐτίτου K. Mus. Rhen. XXX 401] αὐτοῦ. 3. δεκελεικοῦ VL] δεκελικοῦ BCD. ἄγεις] ἄγειν C.

pro αὐτίτου οἶνου παρ' ὑπόνοιαν dixit ὄξους Δ., nam vinum Decelense pro deterrimo aceto erat. — cf. Teleclid. 9. Polyzel. 1. Poll. 6, 18 αὐτίτης δὲ οἶνος ὁ ἐπιχώριος. Bekker. Anecd. 464, 30 αὐτίτην· τὸν αὐθιγενῆ οἶνον.

286

ἐχθὲς ὑπέπινες, εἶτα νυνὶ κραιπαλᾷς.
κατανύστασον· παύσει γάρ. εἶτά σοι δότω
ῥάφανόν τις ἐφθήν.

Athenaeus 1, 34 d Ἄλεξις κτλ. 2. παύσει Dindf.] παύση. 3. ἐφθήν L] εὐθύν V. — cf. Nicochar. 15. Anaxandr. 58. Eubul. 127.

287

οὐκ ἔσθ' ὅπως ἔχουσιν αἱ τύχαι φρένας·
οὐδεὶς γὰρ ἂν τοιοῦτος ἠτύχει ποτέ.

Stobaeus Floril. 107, 4 Ἀλέξιδος A. Arsenius Ion. 102. 2. ἂν om. Voss. τοιοῦτος, *talis* qualis is erat de quo loquitur qui haec dicit.

288

κἂν εὐτυχῇ τις, ὡς ἔοικε, προσδοκᾶν
ἀεί τι δεῖ, καὶ μή τι πιστεύειν τύχῃ.

Stobaeus Floril. 105, 27 Ἀλέξιδος A. Arsenius Ion. 102. δεῖ] δὴ A.

289

οὐκ ἔστι παιδαγωγὸς ἀνθρώποις ἄρα
ἔρωτος οὐδεὶς ἄλλος ἐπιμελέστερος.

Stobaeus Floril. 63, 13 Ἀλέξιδος A. Arsenius Ion. 101. coniuncti sunt apud Stobaeum cum his duobus versibus quinque alii, quos Menandri esse (fr. 227 Mein.) Tyrwhittus ap. Gaisf. docuit. — 2. ἄλλος] μᾶλλον A. Nauck. Philol. VI 419.

290

οἶνος ξενικὸς παρῆν· ὁ γὰρ Κορίνθιος
βασανισμός ἐστι.

Athenaeus 1, 30 f Κορινθίου οἴνου Ἄλεξις μνημονεύει ὡς σκληροῦ κτλ. Eustathius 953, 33 παράγεται οὖν Ἄλεξις γράφων οὕτω κτλ. nescio quomodo Meinekius ex his verbis scaenam fuisse Corinthi conligat. nempe de re aliqua Corinthi facta narrabatur.

291

φιλοτησίαν σοι τήνδ' ἐγὼ
ἰδίᾳ τε καὶ κοινῇ κύλικα προπίομαι.

Athenaeus 11, 483 e *Ἡνίοχος Γοργόσι κτλ.* 1. *ἔγχει* Dobr. Add. Arist. p. 128] *ἐγχείτω* A. *πυρ. λ. βρ. κυκλ.* Dobr.] *λ. πυρ. κυκλ. βρ.* A. 3. *φάρυγος* Dobr.] *φάρυγγος*. *πιεῖν, πιεῖν τις ἐγχείτω λαβὼν | μέγαν, πυρ. κυκλ. παχύστ.* Hanov. Exerc. crit. 136. *παῖδα φάρυγος*, gulae ministrum (Toup. Emend. II 35) dici posse cothonem quis credat? rectius poeta scripserit *κώθωνα, παγίδα φάρυγος, gulae inritamentum bibendi*: quae comparatio sermoni eclogae tumidiori non male convenit.

ΔΙΣ ΕΞΑΠΑΤΩΜΕΝΟΣ ΕΠΙΚΛΗΡΟΣ ΘΩΡΥΚΙΟΝ (?)

Tituli a Suida solo commemorati. Meinek. I 421. 2.

ΠΟΛΥΕΥΚΤΟΣ

Significatur fortasse Polyeuctus Sphettius, Demosthenis in republica gerenda socius, propter luxuriam famosus. Meinek. I 422. cf. Anaxandr. 45.

2

ὁ βοῦς ὁ χαλκοῦς ἦν ἂν ἑφθὸς δεκάπαλαι,
ὁ δ' ἴσως γαλαθηνὸν τέθυκε τὸν χοῖρον λαβών.

Athenaeus 9, 396 d *Ἡνίοχος Πολυεύκτῳ κτλ.* 1. alterum ὁ add. Porson. *ἂν ἑφθὸς* Pors.] *ἀνεφθος* A. *δεκάπαλαι* Iacobs. Add. Ath. 207] *δὲ καὶ παλαι* A. cf. Arist. Eq. 1154. 2. *τέθυκε* A] *τέτοκε* VL. *τὸν*] *νῷν*?

de *bove aeneo* in arce Athenarum cf. Plat. com. 210. — morae inpatiens aliquis, fortasse Polyeuctus ipse, coquum compellat diu cunctantem, qui porcellum ad cenam emptum nondum adparaverit.

ΠΟΛΥΠΡΑΓΜΩΝ

3

ὁρῶ δὲ θαῦμ' ἄπιστον, ἰχθύων γένη
περὶ τὴν ἄκραν παίζοντα, κωβιούς, σπάρους,
ψήττας, ἐρυθίνους, κεστρέας, πέρκας, ὄνους,
θύννους, μελανούρους, σηπίας, αὐλωπίας,
5 τρίγλας, ἑλεδώνας, σκορπίους.

Athenaeus 6, 271 a *φησὶν Ἡνίοχος ἐν Πολυπράγμονι.* 1. *δὲ* Schweigh.] *γὰρ* A. 2. *κωβίους* A. 3. *εὐρυθίνους* A. 5. *ἑλεδωνας* A.

3. Hesych. *ἐρυθῖνοι . . . εἶδος ἰχθύος.* 'rubellio piscis vulgaris *ἐρυθρῖνος* dicebatur: sed v. Oppian. Halieut. 1, 97.' M. Schmidt. cf. Aristot. ind. *ἐρυθρῖνος.* Lobeck. Path. prol. 207. 8. latine *erythinus* dicitur. Plin. N. h. 9, 56. 166. 32, 101. 139. 148. 152. Ovid. Hal. 104.

ΤΡΟΧΙΛΟΣ

Servi nomen esse arbitratur Meinekius I 421. Epopis servus est in Avibus. servi nomine etiam Eubuli *Sphingocarion* inscripta est.

4

πρὸς ἐμαυτὸν ἐνθυμούμενος, νὴ τοὺς θεούς,
ὅσῳ διαφέρει σῦκα καρδάμων. σὺ δὲ
Παύσωνι φῆς τὸ δεῖνα προσλελαληκέναι;
Α. καὶ πρᾶγμά γ' ἠρώτα με δυστράπελον πάνυ
5 ἔχον τε πολλὰς φροντίδων διεξόδους.

Β. λέγ' αὐτό· καὶ γὰρ οὐκ ἀγέλοιόν ἐστ' ἴσως.
Α. ἔτνος κυάμινον διότι τὴν μὲν γαστέρα
φυσᾷ, τὸ δὲ πῦρ οὔ. Β. χάριεν οἷς γινώσκεται
τὸ πρᾶγμα τοῦ Παύσωνος. ὡς δ' ἀεί ποτε
10 *περὶ τοὺς κυάμους ἔσθ' οὗτος ὁ σοφιστής [τέλος].*

Athenaeus 9, 408 a *ἔτνους δὲ κυαμίνου μνημονεύει Ἡνίοχος ὁ κωμικὸς ἐν Τροχίλῳ λέγων οὕτως κτλ.* 2. *σὺ δὲ οὐδὲ* A, quae manifesta est dittographia eius generis, de quo Kaibelius egit in Ind. Rost. 1883. 3. *δεῖνα* L] *δειναὶ* A. 4. *πρᾶγμά γ' ἠρώτα* Dindf.] *πρᾶγμ' ἠρώτα* A. *ναί, πρᾶγμ' ἐπηρώτα* Iacobs. Add. Ath. 217. *ναί, πρᾶγμ' ἀνηρώτα* Mein. 5. *ἔχον τε* Iacobs.] *ἔχων δὲ* A. *διεξόδους* Boisson.] *δυσεξόδους* A. 6. *λέγε* et *ἐστισως* A. *ἀγέλαιον* Nauck. Philol. VI 420. 8. *χάριεν οἷς* Boisson.] *χαριενοις* A. 10. *τέλος* A] *ὅλος* Dalecamp. *πολύς* Iacobs. cum proximis Athenaei verbis coniunxit Dobr. Adv. II 324 (*τέλος τοιούτων [οὖν] πολλῶν λεγομένων ὕδωρ ἐφέρετο*).

1. ante hunc v. deest *ἀνῆλθον ἐκ τοῦ Πειραιῶς* vel tale aliquid. 2. Horatianum illud (Epist. 1, 7, 23) *quid distent aera lupinis* contulit Mein. 3. '*Pauson* philosophus ut videtur Pythagoreus.' Mein. I 422. 5. compositus est hic versus ex Soph. Ant. 225. OR. 67. cf. Soph. fr. 433 N. *ἀνέμων διέξοδοι*, Eur. Androm. 1086 *ἡλίου διεξόδους*. Antiphan. 176, 4. Alexid. 124, 9. 7. Philostr. Vit. sophist. 483 Boiss. *Χαιρεφῶν... διὰ τί, ἔφη, ὦ Γοργία, οἱ κύαμοι τὴν γαστέρα φυσῶσι, τὸ δὲ πῦρ οὐ φυσῶσιν*; similes sunt illi in Nubibus ioci. 8. Menand. 98 Mein. *γέλοιον, ὃς κόρης ἐλευθέρας εἰς ἔρων ἥκων σιωπᾷς.* 205 *ὡς οἰκτρόν, ἢ τοιαῦτα δυστυχῶ.* sed neque haec prorsus similia nec *Ζεὺς γελοῖος ὀμνύμενος τοῖς εἰδόσιν.* fortasse *χάριεν, ὦ Διοσκόρω, τὸ πρ. κτλ.* cf. Amphid. 9, 4.

ΦΙΛΕΤΑΙΡΟΣ

A solo Suida commemorata. Meinek. I 421.

ΑΔΗΛΟΥ ΔΡΑΜΑΤΟΣ

5

ἐγὼ δ' ὄνομα τὸ μὲν καθ' ἑκάστην αὐτίκα
λέξω, συνάπασαι δ' εἰσὶ παντοδαπαὶ πόλεις,
αἳ νῦν ἀνοηταίνουσι πολὺν ἤδη χρόνον.
τάχ' ἄν τις ὑποκρούσειεν ὅ τι ποτ' ἐνθάδε
5 *νῦν εἰσὶ κἀνέροιτο· παρ' ἐμοῦ πεύσεται.*
τὸ χωρίον μὲν γὰρ τόδ' ἐστὶ πᾶν κύκλῳ
Ὀλυμπία, τηνδὶ δὲ τὴν σκηνὴν ἐκεῖ
σκηνὴν ὁρᾶν θεωρικὴν νομίζετε.

εἶεν. τί οὖν ἐνταῦθα δρῶσιν αἱ πόλεις;
10 ἐλευθέρι' ἀφίκοντο θύσουσαί ποτε,
ὅτε τῶν φόρων ἐγένοντ' ἐλεύθεραι σχεδόν.
κἄπειτ' ἀπ' ἐκείνης τῆς θυσίας διέφθορεν
αὐτὰς ξενίζουσ' ἡμέραν ἐξ ἡμέρας
ἀβουλία κατέχουσα πολὺν ἤδη χρόνον.
15 γυναῖκε δ' αὐτὰς δύο ταράττετόν τινε
ἀεὶ συνοῦσαι· δημοκρατία θατέρᾳ
ὄνομ' ἐστί, τῇ δ' ἀριστοκρατία θατέρᾳ,
δι' ἃς πεπαρῳνήκασιν ἤδη πολλάκις.

Stobaeus Floril. 43, 27 *Ἡνιόχου* Tr. Frob. deest ecloga in A. 1. *ὀνόματα* Grotius. 3. *ἀνοηταίνουσι* Salmas.] *ἀνοηταίνουσαι.* 5. scribendum utique *νῦν εἰσί· χἂν ἔροιτο*, i. e. *καὶ ἃ ἂν ἔροιτο, et quae forsitan libenter interroget*, ex me comperiet. 6. *γὰρ τόδ' ἐστὶ πᾶν*] *πᾶν τόδ' ἐστὶν* Voss. unde Mein. *πᾶν τόδ' ἐστὶν ἐν κύκλῳ.* 7. *τηνδὶ δὲ* Valck. Diatr. 276] *τὴν δ' εἶδε.* 8. *θεωρικὴν*] *Πυθικὴν* Voss. Gesner. marg. *νομίζετε* Grot.] *νομίζεται.* 10. *ἐλευθέρια* Gesner. marg.] *ἐλευθερίᾳ.* 13. *αὐτὰς* Grot.] *αὐτὴν.* 15. *δύο ταράττετον* Mein.] *δύ' ἐταράττετον.* an *δύ' ἐταραττέτην?* 16. *συνοῦσαι*] *συνούσα* Mein. vel potius *συνόντε* et 18. *δι' ὧ* scribendum, si Cobetum sequare V. l. 70.

fabulam inscriptam fuisse *Πόλεις* et eclogam ex prologo fabulae excerptam esse sententia est Meinekii. volebat is qui loquitur deinceps nomina singularum civitatium recensere. *olim* (*ποτὲ* v. 10), non nunc, dicit urbes convenisse ut libertati sacra facerent, inter bellum Peloponnesiacum et sociale (Mein.), 'quo consilio nunc convenerint, in sequentibus quae Stobaeus omisit poeta exposuerat'. mihi quidem nulla aptior occasio, qua rursus Olympiam convenire potuerint, videtur excogitari posse, quam belli Chremonidei finis, quo composito Ol. 128, 3 *κοινὴ ὁμόνοια τοῖς Ἕλλησιν ἐγένετο.* cf. quae ad Alexid. 244 exponuntur. quamquam, si haec coniectura vera est, poetae vitam Menandri aetatem superasse necesse est. — 4. Bekker. Anecd. 68, 10 *ὑποκρούειν τοὺς ῥήτορας· τὸ μεταξὺ λεγόντων αὐτῶν ὑποφθεγγόμενον ἐμποδίζειν.* cf. Alexid. 32. Arist. Eccl. 596. 6. *τὸ χωρίον πᾶν κύκλῳ* vel *ἐν κ.* — utrumque enim recte dicitur — est orchestra, qua in hac fabula Olympia repraesentabatur, *σκηνή* est tentorium in proscaenio erectum. 'hoc' inquit 'putate illic (Olympiae) esse tentorium legatorum a singulis urbibus ad ludos Olympicos missorum.'

ΗΡΑΚΛΕΙΔΗΣ

Meinek. I 422. 3. Schaefer. Demosth. I 401 sq.

ΑΔΗΛΟΥ ΔΡΑΜΑΤΟΣ

Ἀλεκτρυόνα τὸν τοῦ Φιλίππου παραλαβὼν
ἀωρὶ κοκκύζοντα καὶ πλανώμενον
κατέκοψεν· οὐ γὰρ εἶχεν οὐδέπω λόφον.
ἕνα κατακόψας μάλα συχνοὺς ἐδείπνισεν
5 *Χάρης Ἀθηναίων τόθ', ὡς γενναῖος ἦν.*

Athenaeus 12, 532 e (*Χάρης*) *ἐδείπνισεν Ἀθηναίους ἐν τῇ ἀγορᾷ θύσας τὰ ἐπινίκια τῆς γενομένης μάχης πρὸς τοὺς Φιλίππου ξένους. ὧν ἡγεῖτο μὲν Ἀδαῖος, Ἀλεκτρυὼν ἐπικαλούμενος, περὶ οὗ καὶ Ἡρακλείδης ὁ τῶν κωμῳδιῶν ποιητὴς μέμνηται οὕτως κτλ. τὰ αὐτὰ ἱστορεῖ καὶ Δοῦρις.* Zenobius 6, 34 *Φιλίππου Ἀλεκτρυών· αὕτη τάττεται ἐπὶ τῶν ἐν μικροῖς κατορθώμασιν ἀλαζονευομένων. Ἀλεκτρυὼν γάρ τις ἐγένετο Φιλίππου στρατηγός, ὃν ἀπέκτεινεν.. Χάρης ὁ Ἀθηναῖος. μέμνηται δ' αὐτοῦ Ἡρακλείδης ὁ κωμικὸς καὶ Ἀντιφάνης* (303). Eustathius 1479, 37 *Ἡρακλείδης ὁ κωμικὸς ὡς περὶ ὄρνιθος λέγει ὅτι κτλ.* cf. Apostol. 17, 85 et Damox. 1, 5. 1. *παραλαβὼν* A] *λαβὼν* Eust.· *καταλαβὼν* Mein. in Athen. 2. *καὶ πλανώμενον*] *κἀπτερωμένον* Herwerd. Mnem. VI 71, tamquam sint galli etiam non alati. significatur inpressio bellica, qua agri late vastabantur. 3. post hunc versum nonnulla excidisse statuit Meinekius. 4. *ἕνα κατακόψας*] *κᾆτα κόψας* epit. et Eust. 5. *Ἀθηναίους* epit. et Eust.

similis iocus est Arist. Nub. 1356. 3. *εἶχεν οὐδέπω λόφον.* adulescentiam et inperitiam Adaei notat poeta. 5. *ὡς γενναῖος ἦν* ad Adaeum refert Dobraeus Adv. II 355, *ἀλεκτρυόνα γενναῖον* interpretans *μάχιμον* (*Kampfhahn*). mihi Chares potius intellegendus videtur et scribendum aut *ὡς γενναῖος ὤν* aut *B. ὡς γενναῖος ἦν.*

Praeterea cf. fr. Heracliti et Chariclidis *Ἀλύσεως.* Mein. I 422.

ΗΡΑΚΛΕΙΤΟΣ

Meinek. I 422. 3.

ΞΕΝΙΖΩΝ

Athenaeus 10, 414 d *Ἡράκλειτος δ' ἐν τῷ Ξενίζοντι Ἑλένην φησί τινα γυναῖκα πλεῖστα βεβρωκέναι.* *Ἡρακλείδης* Mein. I 422.

ΜΝΗΣΙΜΑΧΟΣ

Meinek. I 423.

ΑΛΚΜΕΩΝ

Cf. Mein. I 423. III 567 et quae ad Amphidis *Alcmeonem* adnotavimus.

1

ὡς Πυθαγοριστὶ θύομεν τῷ Λοξίᾳ,
ἔμψυχον οὐδὲν ἐσθίοντες παντελῶς.

Diogenes Laert. 8, 37 *Μνησίμαχος Ἀλκμέωνι κτλ.* 1. *Πυθαγοριστὶ* Cobet.] *Πυθαγοριστῇ. Πυθαγοριστὰ* Menag. Ambros. *Pythagoreo more.* titulus fabulae in codicibus et editionibus mirum in modum variatur. *Ἀλκμαίωνι* cod. Arund.

ΒΟΥΣΙΡΙΣ

Argumentum a Cratino, Antiphane, Ephippo tractatum.

2

εἰμὶ γὰρ Βοιώτιος,
ὀλίγα μὲν ἄλλων δίκαια ταῦτα πολλὰ δ' ἐσθίων.

Athenaeus 10, 417 e *Μνησίμαχος Βουσίριδι κτλ.* sic A. *ὀλίγα μὲν λαλῶν, ἀναγκαῖ' αὐτά* Emperius ap. Mein. V 94. *ὀλίγα μὲν λαλῶν δίκαια, ταῦτα πολλὰ δ' ἐσθίων* Mein. Anal. Ath. 184. utrumque mire dictum est. fortasse *ὀλίγα μὲν λαλεῖν δικαιῶν φαῦλα, πολλὰ δ' ἐσθίων.* cf. Soph. OR. 6. 575. 640. Trach. 1244. *φαῦλα,* i. e. *simplicia,* ut *φαῦλα καὶ πρόχειρα.* est tetr. troch. — loquitur Hercules.

ΔΥΣΚΟΛΟΣ

Cf. Usener. Mus. Rhen. XXVIII 406 et quae ad Antiphanis et Ephippi *Ὁμοίους* adnotavimus.

3

ἀλλ' ἀντιβολῶ σ' ἐπίταττέ μοι μὴ πόλλ' ἄγαν,
μηδ' ἄγρια λίαν μηδ' ἐπηργυρωμένα,
μέτρια δέ γ' ὡς θείῳ σεαυτοῦ. Β. πῶς ἔτι
μετριώτερ', ὦ δαιμόνι'; Α. ὅπως; σύντεμνε καὶ
5 *ἐπεξαπάτα με. τοὺς μὲν ἰχθῦς μοι κάλει*
ἰχθύδι'· ὄψον δ' ἂν λέγῃς ἕτερον, κάλει
ὀψάριον. ἥδιον γὰρ ἀπολοῦμαι πολύ.

Athenaeus 8, 359c *ὁ δὲ παρὰ Μνησιμάχῳ ἐν τῷ ὁμωνύμῳ δράματι Δύσκολος φιλάργυρος ὢν σφόδρα πρὸς τὸν ἀσωτευόμενον νεανίσκον φησίν κτλ.* 1. *πολλὰ* A. 3. *δέ γ' ὡς* K.] *δὲ τῷ* A. 4. *μετριώτερα* A. *δαιμόνι'.* — *ὅπως*; G. A. Hirschig. Ann. crit. 17] *δαιμόνιε. πῶς* A. 6. *ἰχθύδι'* Dawes. Miscell. 14] *ἰχθύδιον* A. *δὲ ἐὰν* A.

patruus ab adulescente petit ut si multa poscat, tamen sibi faciliorem faciat sumptum magna deminutivis formis significando.

ΙΠΠΟΤΡΟΦΟΣ

4

βαῖν' ἐκ θαλάμων κυπαρισσορόφων
ἔξω, Μάνη· στεῖχ' εἰς ἀγορὰν
πρὸς τοὺς Ἑρμᾶς,
οὐ προσφοιτῶσ' οἱ φύλαρχοι,
τούς τε μαθητὰς τοὺς ὡραίους,
οὓς ἀναβαίνειν ἐπὶ τοὺς ἵππους
μελετᾷ Φείδων καὶ καταβαίνειν.
οἶσθ' οὓς φράζω;
τούτοις τοίνυν ἄγγελλ' ὁτιὴ
ψυχρὸν τοὔψον, τὸ ποτὸν θερμόν,
ξηρὸν φύραμ', ἄρτοι ξηροί·
σπλάγχν' ὀπτᾶται, χναῦμ' ἥρπασται,
κρέας ἐξ ἅλμης ἐξῄρηται,
τόμος ἀλλᾶντος, τόμος ἠνύστρου,
χορδῆς ἕτερος, φύσκης ἕτερος
διαλαιμοτομεῖθ' ὑπὸ τῶν ἔνδον.
κρατὴρ ἐξερροίβδητ' οἴνου·
πρόποσις χωρεῖ· λέπεται κόρδαξ·
ἀκολασταίνει νοῦς μειρακίων·
πάντες δ' ἔνδον τὰ κάτωθεν ἄνω.
μέμνησ' ἃ λέγω, πρόσεχ' οἷς φράζω.
χάσκεις οὗτος;
βλέψον δευρί· πῶς αὐτὰ φράσεις;
αὐτίκ' ἐρῶ σοι πάλιν ἐξ ἀρχῆς.
ἥκειν ἤδη καὶ μὴ μέλλειν,
τῷ τε μαγείρῳ μὴ λυμαίνεσθ',
ὡς τῶν ὄψων ἑφθῶν ὄντων,
ὀπτῶν ὄντων, ψυχρῶν ὄντων,
καθ' ἕκαστα λέγων· βολβός, ἐλάα,

30 σκόροδον, καυλός, κολοκύντη, ἔτνος,
θρῖον, φυλλάς· θύννου τεμάχη,
γλάνιδος, γαλεοῦ, ῥίνης, γόγγρου,
φοξῖνος ὅλος, κορακῖνος ὅλος,
μεμβράς, σκόμβρος,
35 θυννίς, κωβιός, ἠλακατῆνες,
κυνὸς οὐραῖον τῶν καρχαριῶν,
νάρκη, βάτραχος, πέρκη, σαῦρος,
τριχίας, φυκίς, βρίγκος, τρίγλη,
κόκκυξ, τρυγών, σμύραινα, φάγρος,
40 μύλλος, λεβίας, σπάρος, αἰολίας,
θρᾶττα, χελιδών, καρίς, τευθίς,
ψῆττα, δρακαινίς,
πουλυπόδειον, σηπία, ὀρφώς,
κάραβος, ἔσχαρος, ἀφύαι, βελόναι,
45 κεστρεύς, σκορπίος, ἔγχελυς, ἄρκτος.
κρέα τ' ἄλλα (τὸ πλῆθος ἀμύθητον)
χηνός, χοίρου, βοός, ἀρνός, οἰός,
κάπρου, αἰγός, ἀλεκτρυόνος, νήττης,
κίττης, πέρδικος, ἀλωπεκίου.
50 καὶ μετὰ δεῖπνον θαυμαστὸν ὅσ' ἔστ'
ἀγαθῶν πλήθη.
πᾶς δὲ κατ' οἴκους μάττει, πέττει,
τίλλει, κόπτει, τέμνει, δεύει,
χαίρει, παίζει, πηδᾷ, δειπνεῖ,
55 πίνει, σκιρτᾷ, λορδοῖ, κεντεῖ [βινεῖ].
σεμναὶ δ' αὐλῶν ἀγαναὶ φωναί,
μολπὰ κλαγγὰ θράττει, [νεῖται] πνεῖται.
κούραν κασίας
ἀπὸ γᾶς ἁγίας ἁλίας Συρίας
60 ὀσμὴ σεμνὴ μυκτῆρα δονεῖ
λιβάνου, μάρου, σμύρνης, καλάμου,
στύρακος, βάρου,
λίνδου, κίνδου, κισθοῦ, μίνθου.
τοιάδε δόμους ὁμίχλη κατέχει
65 πάντων ἀγαθῶν ἀνάμεστος.

Athenaeus 9, 402 f *Μνησίμαχος ἐν Ἱπποτρόφῳ τοιαῦτα παρασκευάζει κτλ.* v. 17 Eustathius 1719, 43 *τὸ κρατὴρ δ' ἐξερροίβδητ'*

οἴνου ἴσον...τῷ ἐξηντλήθη καὶ ἔξω πίθου ἐφάνη. v. 35 Athen. 7, 301 d *ἠλακατῆνες. Μνησίμαχος Ἱπποτρόφῳ σκόμβρος θύννος κωβιὸς ἠλακατῆνες.* v. 36 (*τῶν κ.*) — 39 (*κόκκυξ*) Athenaeus 7, 322 e *Μνησίμαχος ἐν Ἱπποτρόφῳ κτλ.* v. 40. 41 Athenaeus 7, 329 d *μνημονεύει (τῆς θρᾴττης) Μνησίμαχος ἐν Ἱπποτρόφῳ· ποιητὴς δ' ἐστὶν οὗτος τῆς μέσης κωμῳδίας· λέγει δ' οὕτως κτλ.* Eustathius 1524, 8 *οἱ κωμικοί... ὁποῖος καὶ ὁ γράψας τὸ* (52—55 *βινεῖ*). *οἷς ἐπάγει ἐκεῖνος καὶ τὸ* (57—63). v. 63 Eustathius 315, 18 *ἰστέον δὲ ὅτι λίνδος... καί τι ἀρωματικὸν εἶδος, ὡς δῆλον ἐκ τοῦ ὀσμὴ λιβάνου σμύρνης καλάμου στύρακος λίνδου.* et 1524, 12 *λίνδος ἀνθηρόν τι εὐῶδες ὁμώνυμον Λίνδῳ τῇ Ῥοδίᾳ πόλει. μίνθος δὲ οὐ πάντως κόπρος ἡ παρὰ τῇ κωμῳδίᾳ παρ' ὑπόνοιαν, ἀλλ' ἡ λεγομένη διαλελυμένως μὲν καλὰ μίνθη, συνθέτως δὲ καλαμίνθη. περὶ δὲ κίνδου ζητητέον.*

1. *κυπαρισσορόφων* Casaub.] *κυπαρισσοτρόφων* A. 2. *μανηστειχ* A. 7. *φίδων* A. 9. *ἄγγελ'* A. 12. *σπλάγχνα* A. *ὤπτηται* Casaub. *χναῦμ'* Mein.] *χνανω* A. *ἥρπασται*] *ἥρτυται* Mein. 13. *ἐξήρηται* A. 17. *ἐξερροιβδητ'* A. 18. *λέπεται* Mein.] *λείπεται* A. 19. *κολασταίνει* A. *μειρακίων* Schweigh.] *μειράκιον* A. 20. *πάντως* Iacobs. Add. Ath. 212. *πάντ' ἔστ' ἔνδον* Dobr. 21. *μέμνησθ'* A. 22. *οὗτος'* Casaub. cf. Cobet. N. l. 122] *αὐτὸς* A. *αὕτως* Iacobs. 23. *δευρί· πῶς* Dobr.] *δεῦρ' εἶπως* A. *αὐτα* A. 24. *αὐτίκ'*] *αὖθις* Mein. Anal. Ath. 174. 29. *ἐλάα* Dindf.] *ἐλαία* A. 33. *φοξῖνος* Dalecamp.] *φυξικινος* A. 35. *θυννὶς*] *θύννος* A 301. *κωβίος* A 301. *ἠλακατῆνες* A 301] *ἠλακατινος* A 403. 36. *οὐραῖον* A 301 in Menandri fr. 289 Mein.] *οὔραιον* A 403. *καρχάρων* A 322. 37. *σαῦρος* A 403] *σαυρός* A 322. 38. *συκὶς* A 322. *βριγκος* A 322] *βρίγχος* A 403. 40. *μύλος* in Ephipp. 12 A 322. *μυλλος* A 329. *μυλλός* A 403. *σπάρος* A 329] *πάρος* A 322. *σπάρος σκάρος* A 403. 41. *θρᾶττα* A. *θρίττα* Ephipp. 12. 43. *πουλυπόδειον* Mein.] *πολυπόδιον* A. *ὀρφὸς* A. 45. *ἄρκτος* Mein.] *ἄρκτοι* A. 53. *τέμνει* om. Eust. *δεύει* Dindf.] *εὔει* C cum Eust. *ευει* A. 56. *ἀγαναὶ* Iacobs.] *ἄγαν αἱ* A. *βινεῖ* et 57 *νεῖται* seclusit Mein. 57. *μολπᾶ κλαγγᾶ* A. *θράττει* om. C cum Eust. 58. *κούρᾶν* et 59 *γᾶς* A. *κούρα — ὀσμῇ σεμνῇ* Mein. Anal. Ath. 175. malim *αὔρα κασίας δ' — ὀσμῇ σεμνῇ κτλ.* 59. *ἁγίας*] *Ἀσίας* Dalecamp. 61. *μάρου* Dalecamp.] *μακροῦ* A. 62. *βάρου* Dindf.] *καὶ βαρου* A. om. C cum Eust. 63. *λινδου* A. *κισθοῦ* L] *μισθου* A. 65. *ἀναμέστους* K.

erus servum non attentum et indiligentem repetita admonitione castigans ad invitandos convivas mittit. 1. Athen. 5, 207 e *τοὺς τοίχους δ' εἶχε* (navis Hieronis) *καὶ τὴν ὀροφὴν κυπαρίττου.* 3. de *Hermis* cf. Bursian. Geogr. gr. I 286. 7. Harpocrat. *Ἑρμαῖ ... Μενεκλῆς ἢ Καλλίστρατος ἐν τῷ περὶ Ἀθηναίων γράφει ταυτί· ἀπὸ γὰρ τῆς Ποικίλης καὶ τῆς τοῦ βασιλέως στοᾶς εἰσὶν οἱ Ἑρμαῖ*

καλούμενοι· διὰ γὰρ τὸ πολλοὺς κεῖσθαι καὶ ὑπὸ ἰδιωτῶν καὶ ἀρχόντων ταύτην τὴν προσηγορίαν εἰληφέναι συμβέβηκεν.' 7. *μελετᾶν* pro *γυμνάζειν* nusquam alibi inveniri adnotavit Mein. '*Phidon* fuisse videtur unus ex phylarchis, quos praefuisse equitum exercitiis notum est ex Xenoph. Hipparch. 1, 8.' *ἀναβαίνειν* (Lys. 24,5.11.12) sine ullo nequitiae indicio (quod moneo propter Iacobs. et Meinek.) nihil significat nisi *equis insilire*, ut *καταβαίνειν desilire*. cf. etiam *ἀποβάτης*. 12. Hesych. *χναῦμα· βρῶμα. χναύματα· βρώματα. καὶ τὰ τῶν κρεῶν ἀπανθρακίσματα.* Eur. Cycl. 357 *ὀπτὰ κρέ' ἀνθρακιᾶς ἄπο χναύειν.* Zenob. 5,73 *χναύματα λέγουσι τὰ ἀποθραύσματα τῶν ἰτρίων καὶ πλακούντων.* 16. *διαλαιμοτομεῖται.* Horat. Epist. 1,12,21 *porrum et caepe trucidas* (Mein.). 18. *πρόποσις* ea opinor significatione quam indicat Photius *προπίνει· διὰ τοῦ οἴνου τιμᾷ.* cf. *propinare salutem* Plaut. Stich. 3, 2, 15. *propinatio* Senec. Benef. 2, 21. *λέπεται.* Athen. 14, 663 d *τῷ δὲ λέπεσθαι χρῶνται οἱ Ἀθηναῖοι ἐπ' ἀσελγοῦς καὶ φορτικῆς δι' ἀφροδισίων ἡδονῆς* (Mein.). cf. Alexid. 49. '*es erfrecht sich der Cancan.*' 22. frustra etiam in *χάσκεις* obscaenitatem quaeras: *apertone ore hias* non attendens quid dicam? 25. Arist. Ran. 1508. 9 contulit Mein. 30. *κολοκύντη.* cf. Phryn. Epit. 437 et Lobeck., ac de his versibus et 40—44 Ephipp. 12, de 35 Menand. 289 Mein. 33. Photius *φόξινος* (scr. *φοξῖνος*)· *ἰχθὺς εὐθὺς γενόμενος ἔχων κύημα· τίκτει δ' ἐν ταῖς προλίμναις τῶν ποταμῶν, ὡς Ἀριστοτέλης.* a capitis forma nomen videtur accepisse. Photius *φοξός· ὀξυκέφαλος.* cf. Ind. Aristot. et Lobeck. Pathol. prol. 207. 35. Hesych. *ἠλακατῆνες· θαλασσίων ἰχθύων οἱ κητώδεις.* Eustath. 1423,12 *ἠλακατῆνες . . . ἰχθύες . . . κωβιώδεις, ταριχευόμενοι ὥς φησι Παυσανίας.* cf. Herodian. I 16,7. II 923,12. 36. *κύων* piscis est *τῶν γαλεῶν καὶ γαλεοειδῶν.* cf. Ind. Aristot. 419a. 40. cf. Aristoph. fr. 414 et ea quae ibi de *ἄρκτῳ* adnotavimus. 44. non praetermittendus dactylus cum anapaesto coniunctus. cf. Ephipp. 12, 8. de *ἐσχάρῳ* cf. Archipp. 24. Hesych. *ἐσχαρός* (sic cod.)· *ἰχθύς.* 47. *οἰός.* cf. Eubul. 84, 4 et quae adnotavimus ad Arist. Eq. 139. 53. *δεύει.* cf. Aristoph. fr. 271. 55. *λορδοῖ.* cf. Arist. Eccl. 10. fr. 140. 58. Melanippid. 1, 5 Bergk. *ἱερόδακρυν λίβανον εὐώδεις τε φοίνικας κασίαν τε πατεῦσαι, τέρενα Σύρια σπέρματα.* 59. consulto quattuor vocabula in *ας* desinentia coacervavit. 61. Hesych. *μᾶρον . . καὶ πόα.* Lobeck. Pathol. prol. 310. elem. 21. falso *μάρον* Theophr. fr. 4, 33. 4. Plin. N. h. 12, 111 *in Aegypto nascitur et maron, peius quam Lydium, maioribus foliis et variis.* cf. 13, 12. 18. 62. *βάρου.* Hesych. *ἀβαρύ· ὀρίγανον Μακεδόνες βαρύ· τινὲς μέν φασι θυμίαμα εὐῶδες.* Bekker. Anecd. 225, 16 *βαρύ· θυμιαμάτιον εὐῶδες* (Mein.). Herodian. II 941, 11 *τὸ βᾶρος ὁμοίως Ἀττικὸν ὑπάρχον.* cf. I 190, 11. 529, 30. II 19, 3. Lob. Path. prol. 515. 63. *κισθοῦ.* Eupol. 14, 5. 64. *ὁμίχλη ἀγαθῶν,* ut *σμῆνος ἀοιδῆς* Arist. Nub. 297.

ΙΣΘΜΙΟΝΙΚΗΣ

5

Aelianus H. an. 13,4 *οὐ ῥᾳδίως δὲ αὐτοῦ (τοῦ καλλιωνύμου) μνημονεύουσιν ἐν ταῖς ὑπὲρ τῶν ἰχθύων πανθοινίαις, ὧν τι καὶ ὄφελός ἐστι, ποιηταὶ θέμενοι σπουδὴν εἰς μνήμην ἔνθεσμον, Ἐπίχαρμος μὲν . . . Μνησίμαχος δὲ ἐν τῷ Ἰσθμιονίκῃ.* Athen. 7, 282 d confert Mein.

ΦΑΡΜΑΚΟΠΩΛΗΣ

6

Schol. Aristoph. Av. 471 *τῶν δὲ μύθων οἱ μὲν περὶ ἀλόγων ζῴων εἰσὶν Αἰσώπειοι, οἱ δὲ περὶ ἀνθρώπων Συβαριτικοί. εἰσὶ δέ τινες οἱ τοὺς βραχεῖς καὶ συντόμους λέγουσι Συβαρίτιδας (Συβαριτικούς* Mein.), *καθάπερ Μνησίμαχος ἐν Φαρμακοπώλῃ.*

ΦΙΛΙΠΠΟΣ

Macedoniae regem significari docent Meinek. I 423 et M. Haupt. Herm. VIII 11. cf. fr. 10.

7

ἆρ' οἶσθα,
ὁτιὴ πρὸς ἄνδρας ἐστί σοι μαχητέον,
οἳ τὰ ξίφη δειπνοῦμεν ἠκονημένα,
ὄψον δὲ δᾷδας ἡμμένας καταπίνομεν;
5 *ἐντεῦθεν εὐθὺς ἐπιφέρει τραγήματα*
ἡμῖν ὁ παῖς μετὰ δεῖπνον ἀκίδας Κρητικάς,
ὥσπερ ἐρεβίνθους, δορατίων τε λείψανα
κατεαγότ', ἀσπίδας δὲ προσκεφάλαια καὶ
θώρακας ἔχομεν, πρὸς ποδῶν δὲ σφενδόνας
10 *καὶ τόξα, καταπέλταισι δ' ἐστεφανώμεθα.*

Athenaeus 10, 421 bc *Μνησίμαχος δὲ ἐν Φιλίππῳ διὰ τὸν ὑπερβάλλοντα κόρον ἐν τοῖς δείπνοις παράγει τι συμπόσιον πολέμου παρασκευὴν ἐπαγγελλόμενον καὶ . . . πολέμου ἐργαστήριον. λέγει δ' οὕτως κτλ.* Eustathius 1085, 47 *καλὸν δὲ . . προσθεῖναι καὶ τὸ Φιλιππίδου* (sic) *τὸ τὰ ξίφη δειπνοῦμεν ἡ κονημένα* (sic ed. Lips.). 1. *οἶσθ'* A. *οἶσθα σύ* Porson. 2. *μαχητέον* A] *μάχη* C. 3. *ἠκονημένα* Eust.] *ἠκονημένοι* A. 8. *κατεαγότα* A. 10. *καταπέλταισι* Pors.] *καταπέλται* A. *καταπέλταις* C. *δὲ στεφανούμεθα?*

militem exercitus Macedonici, fortasse Philippum ipsum gloriari conicit Meinekius. cf. Timocl. 12, 5.

8

τῶν Φαρσαλίων
ἥκει τις, ἵνα καὶ τὰς τραπέζας καταφάγῃ;

Β. οὐδεὶς πάρεστιν. Α. εὖ γε δρῶντες· ἆρά που
ὀπτὴν κατεσθίουσι πόλιν Ἀχαιικήν;

Athenaeus 10, 418 b *καὶ Φαρσάλιοι δὲ κωμῳδοῦνται ὡς πολυφάγοι. Μνησίμαχος γοῦν ἐν Φιλίππῳ φησί κτλ.* 2. *καὶ* add. Grot. Excerpt. 663. 3. *αρα* A. 4. *Ἀχαιικήν* K.] *Ἀχαϊκήν.* cf. quae adnotavimus ad Arist. Nub. 821. Antiphan. 44, 6. — fortasse ex eadem scaena excerptum ac fr. 7.

9

καὶ τὸ λεγόμενον
σπανιώτερον πάρεστιν ὀρνίθων γάλα,
καὶ φασιανὸς ἀποτετιλμένος καλῶς.

Athenaeus 9, 387 a *Μνησίμαχος ἐν Φιλίππῳ (εἷς δὲ καὶ οὗτός ἐστι τῶν τῆς μέσης κωμῳδίας ποιητῶν) φησί κτλ.* 2. *σπανιώτατον* Mein. *γάρ ἐστιν ἢ* Grot. Excerpt. 663. *καὶ | τὸ λεγόμενον πάρεστιν ὀρν. γ.* Herwerd. Nov. add. crit. 35. *τάλα* A. fortasse *καὶ σπανιώτερον | τὸ λεγόμενον πάρεστιν κτλ.* cf. Arist. Av. 733.

10

οὐκ ἀλλὰ καὶ τῆς νυκτός ἐστι Δωρίων
ἔνδον παρ' ἡμῖν λοπαδοφυσητής.

Athenaeus 8, 338 b *ὅτι δ' ἦν ὁ Δωρίων οὗτος ἐπὶ ὀψοφαγίᾳ διαβόητος φανερὸν ἐξ ὧν λέγει Μνησίμαχος ὁ κωμῳδιοποιὸς ἐν Φιλίππῳ δράματι κτλ.* Eustathius 1151, 13 et Philemon. gramm. 191 Osann. *ἐξ αὐτῆς (φύσης) δὲ καί τις ὀψοφάγος λοπαδοφυσητὴς ἐσκώφθη.* 1. *ἐστι Δωρίων ἔνδον* Iacobs. Add. Ath. 185] *δωρίων ἔνδον ἐστιν* A. 2. in fine *ὅδε* add. Porson. (apud Ath. sequitur *οἶδα*). *Dorion* claudus erat *tibicen,* unde cognomen *λοπαδοφυσητής* petitum est. facete dicta eius refert Athen. 8, 337. 8. inter sodales Philippi etiam pugnae ad Chaeroneam commissae interfuit. Athen. 10, 435 b c. librum scripsit de piscibus. cf. M. Haupt. Herm. VIII 10 sq.

ΑΔΗΛΟΥ ΔΡΑΜΑΤΟΣ

11

ὕπνος τὰ μικρὰ τοῦ θανάτου μυστήρια.

Schol. Homer. Il. 14, 231 *Μνησίμαχος ὁ κωμικὸς περὶ ὕπνου διαλεγόμενός φησιν ὅτι κτλ.* Eustathius 981, 3 *φησὶ δὲ καὶ ὁ κωμικὸς Μνησίμαχος κτλ.* Cramer. Anecd. Par. III 20, 3. sic ut supra editum Eust. *ὕπνος ἐστὶ μικρὸν καὶ μερικὸν θανάτου μυστήριον* Schol. Hom. et Cram. Anecd.

ΦΙΛΙΣΚΟΣ

Meinek. I 423. 4.

ΑΔΩΝΙΣ ΑΡΤΕΜΙΔΟΣ ΚΑΙ ΑΠΟΛΛΩΝΟΣ ΓΟΝΑΙ ΔΙΟΣ ΓΟΝΑΙ

A Suida et Eudocia commemoratae. Mein. I 424.

ΕΡΜΟΥ ΚΑΙ ΑΦΡΟΔΙΤΗΣ ΓΟΝΑΙ

A Suida solo commemorata. Mein. I 424.

ΘΕΜΙΣΤΟΚΛΗΣ

A Suida et Eudocia commemorata. tragici Philisci esse censet Meinek. I 424.

ΟΛΥΜΠΟΣ ΠΑΝΟΣ ΓΟΝΑΙ

A Suida et Eudocia commemoratae. Meinek. I 423. 4.

ΦΙΛΑΡΓΥΡΟΙ

1

εἰς τὸ μεταπεῖσαι ῥᾳδίως ἃ βούλεται
πιθανοὺς ἔχειν εἴωθεν ἡ κλίνη λόγους.

Stobaeus Floril. 73, 53 *Φιλίσκου Φιλαργύρων* A. *Φιλαργύρῳ* Mein. 2. *ἡ κλίνη* est *lectus genialis*; nam liber 73 Stobaei inscriptus est *ψόγος γυναικῶν.*

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

2

ὁ Πειραιεὺς κάρυον μέγ' ἐστὶ καὶ κενόν.

Anthologia Palat. 11, 441. cf. Arist. Pac. 145. fr. 608. Pherecr. 34. Alexid. 245, 1.

3

χρηστῶν σφόδρ' ἔσθ' ἡ Χαλκὶς Ἑλλήνων πόλις.

Dicaearchus Vita Graec. 30 Buttm. *δουλεύοντες γὰρ* (Chalcidenses Euboici) *πολὺν ἤδη χρόνον, τοῖς δὲ τρόποις ὄντες ἐλεύθεροι, μεγάλην εἰλήφασιν ἕξιν τοῦ φέρειν ῥᾳθύμως τὰ προσπίπτοντα. ὁ στίχος Φιλίσκου κτλ.* at *ῥᾴθυμοι* non sunt *χρηστοί.*

ΑΜΦΙΣΒΗΤΗΣΙΜΑ

4

οὐκ ἔστιν, ὦ μάταιε, σὺν ῥᾳθυμίᾳ
τὰ τῶν πονούντων μὴ πονήσαντας λαβεῖν.

Stobaeus Floril. 29, 40 *Φιλίσκου* A. 'fortasse tragici est.' Mein. V 95. Nauck. Tr. gr. fr. p. 637.

5

πολιτογραφεῖν

Polluc. 3, 56 *δημοποίητοι, ὁπόσοι ἐκ δόγματος κοινοῦ πολιτείας τύχοιεν. τοῦτο δὲ πολιτογραφεῖν Φίλιστος καλεῖ.* *Φίλιστος* Falck. 'non utitur Pollux alias auctoritate Philisci; at frequens apud eum Philisti memoria.' Mein. V 95. Hesych. *πολιτογραφεῖ· πολιτικὰ γράφει*, ubi *εἰς πολίτας ἐγγράφει* M. Schmidt.

ΣΙΜΥΛΟΣ

Meinek. I 424. 5.

(ΕΦΕ)ΣΙΑ

Boeckh. C. I. I 353. Meinek. I 424. Koehler. I. A. n. 972.

ΜΕΓΑΡΙΚΗ

Fortasse commemoratur in titulo Koehler. I. A. n. 975 II 7 *Ἐράτων Με[γαρικῇ Σιμύλου.]*

1

περιστρώματα

εἴρηται . . . ἐν τῇ Σιμύλου Μεγαρικῇ. Pollux 10, 42. Mein. I 424. 5. V CCXXIII.

Non videntur esse comici Simyli ea fragmenta, quae ex Stobaeo (Flor. 60, 4), Io. Damasceno (Gaisf. Stob. append. 73. IIII 236. 7 ed. Mein.), Theophilo (Ad Autol. III 385) Meinekius exscripsit I XIII sq.

ΣΩΦΙΛΟΣ

Meinek. I 425. 6.

ΑΝΔΡΟΚΛΗΣ

Androcles quidam fenerator notus ex Demosthenis or. 35. sed dederitne is comoediae nomen prorsus incertum est.

1

Athenaeus 3, 123 de *τὸ δὲ χλιαρὸν ὕδωρ Ἀθηναῖοι μετάκερας καλοῦσιν, ὡς Σώφιλος ἐν Ἀνδροκλεῖ.*

2

Athenaeus 6, 228 b (praemisso Diphili fr. 32) *τὸ δὲ ἔθος τοῦτο καὶ Ἀθήνησιν εἶναι ἀξιοῖ Σώφιλος ἐν Ἀνδροκλεῖ ὀψονόμους ἀξιῶν αἱρεῖσθαι ὑπὸ τῆς βουλῆς δύ' ἢ καὶ τρεῖς.* Eustathius 867, 60 *τὸ ὀψοφαγεῖν...οὗ ἕνεκα ἥρεσεν* (!) *ὀψονόμους Ἀθήνησιν αἱρεῖσθαι κτλ.*

ΓΑΜΟΣ

Cf. quae ad Diphili fr. 23 adnotantur.

ΔΙΠΛΙΑ

Commemorant Suidas et Eudocia. *Δηλία* cod. Paris. Suid. ceteri *Δημία*.

ΕΓΧΕΙΡΙΔΙΟΝ

Ἐγχειρίδιον etiam Philemon et Menander, *Gladiolum* Livius Andronicus (O. Ribbeck. Com. Rom. fr.[2] 3) scripsit.

3

συνεχὴς ἄκρατος ἐδίδοτ' ἴσον ἴσῳ· πάλιν
τὴν μείζον' ἤτουν.

Athenaeus 10, 431 a *Σώφιλος ἐν Ἐγχειριδίῳ κτλ.* 1. *συνεχῶς* Mein. Anal. Athen. 195. *συνεχὲς* Herwerd. Mnem. nov. IIII 311. *ἐδίδοτο* et *μείζονα* A.

ΚΙΘΑΡΩΙΔΟΣ

A Suida solo commemorata. Meinek. I 425.

ΠΑΡΑΚΑΤΑΘΗΚΗ

Cf. quae ad Aristophontis *Παρακαταθήκην* adnotantur.

4

ἡδύ γε μετ' ἀνδρῶν ἐστιν Ἑλλήνων ἀεὶ
συνάγειν· τὸ πρᾶγμα χάριεν· 'οὐχὶ δώδεκα
κυάθους' ἀνεβόησέν τις 'ὑποχεῖς; κωμάσαι
πρὸς τὴν Ταναγρικὴν δεῖ γάρ,' ἵν' ἐκεῖ κατακλιθεὶς
5 *ἐπιδορπίσηται τὰς ὀνείας ματτύας.*

Athenaeus 14, 640 d *Σώφιλος ἐν Παρακαταθήκῃ κτλ.* 1. *αἰεὶ* A. 2. *συνάγειν*] *διάγειν* K. *οὐχὶ δώδεκα* Cobet. V. l. 123, conl. Menand. 11] *οὐχὶ* $\bar{B}$ A. 3. *ὑποχεῖς*; Cobet.] *ὑπόχει* A. 4. *κατακλεισθεὶς* A. *κατακλινεὶς* Herwerd. Obs. crit. 81.

2. '*ὁ οἰνοχόος* solet *ὑποχεῖν τὸν οἶνον*, deinde *τὸ ὕδωρ ἐπιχεῖν*.' Cobet. cf. Diphil. 5. 107. 4. *Ταναγρικὴ γυνή* est Menand.

978 Mein., *Tanagraea meretrix* Cic. De dom. 43, 111. *ἵν' ἐκεῖ ἐπιδορπίσηται* coniungenda sunt cum *ἀνεβόησέν τις*. — inridet nescio quis epulas Graecorum. 5. *ὀνείας ματτύας* per ironiam dicit cibos vilissimos. Hesych. *Σκύθης· παροιμία ἐπὶ τῶν ἀκκιζομένων μὲν τῷ λόγῳ, ἔργῳ δὲ ἐφιεμένων· ἰδὼν γάρ τις νεκρὸν ὄνον ἔφη πρὸς Σκύθην παρόντα..* verba deperdita supplet Append. prov. 4, 74 *δεῖπνόν τοι, ὦ Σκύθα. ὁ δὲ ἐβδελύξατο πρῶτον· αὖθις δὲ πολυπραγμονήσας περὶ αὐτὸν ἐπυνεῖτο.* *equum* pro *asino* ponunt Zenob. 5, 59 *ὁ Σκύθης τὸν ἵππον.* Diogenian. 7, 12. Plut. Prov. 20. Apostol. 14, 88. Eustath. 2, 16. Pindar. fr. 186 Bergk. *ἄνδρες τινὲς ἀκκιζόμενοι Σκύθαι νεκρὸν ἵππον στυγέοισι λόγῳ κτάμενον ἐν φάει· κρυφᾷ δὲ σκολιοὺς γένυσιν ἀνδέροισιν πόδας ἠδὲ κεφαλάς.* cf. Boeckh. Pind. fr. p. 665.

ΣΥΝΤΡΕΧΟΝΤΕΣ

Cf. quae ad cognominem Alexidis fabulam adnotavimus.

5

ὁ πορνοβοσκὸς γάρ μ' ὑπὸ κνισολοιχίας
χορδήν τιν' αἱματῖτιν αὐτῷ σκευάσαι
ἐκέλευσε ταυτηνί με.

Athenaeus 3, 125e *ἐν δὲ τοῖς ἐπιγραφομένοις Συντρέχουσι κνισολοιχίαν εἴρηκεν (Σώφιλος) ἐν τούτοις κτλ.* 1. *με* A. 2. *τινα* A. 3. *ταυτηνί με* Schweigh.] *ταυτιην ἐμέ* A.

ΤΥΝΔΑΡΕΩΣ Η ΑΗΔΑ

Commemorant Suidas et Eudocia. Meinek. I 425.

ΦΥΛΑΡΧΟΣ

Cf. Mnesim. 4, 4. — *Φίλαρχος* Athen. 3, 125e et Suid. *Σώφιλος*. Meinek. I 425.

6

γαστρισμὸς ἔσται δαψιλής· τὰ προοίμια
ὁρῶ . . . . . χορτασθήσομαι.
νὴ τὸν Διόνυσον, ἄνδρες, ἤδη στρηνιῶ.

Athenaeus 3, 100a *Σώφιλος ἐν Φυλάρχῳ κτλ.* v. 2 explere conati sunt Iacobs. Add. Ath. 66. Mein. Anal. Ath. 45. Herwerd. Mnem. nov. IIII 299. taedet talia tentamina referre. de verbo *στρηνιᾶν* cf. Antiphan. 82.

7

ὀψοφάγος εἶ καὶ κνισολοιχός.

Athenaeus 3, 125e *ὁ κνισολοῖχος* (scr. *κνισολοιχός*) *ἔστι παρὰ μὲν Σωφίλῳ ἐν Φιλάρχῳ οὕτως κτλ.* Eustathius 1817, 38 *ὥσπερ τὸ κτλ.*

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

8

ὁ πατὴρ ὁ ταύτης πολὺ μέγιστός ἐστι
κριὸς ἐρέβινθος.

Athenaeus 2, 54 f *Θεόφραστος δ' ἐν φυτικοῖς τῶν ἐρεβίνθων τινὰς καλεῖ κρείους. καὶ Σώφιλος κτλ.* Eustathius 948, 46 *ἐλέγοντο δέ τινες ἐρέβινθοι καὶ κρεῖοι, ἴσως ὡς μεγάλοι, ὁμωνύμως τῷ μυθευομένῳ Κρείῳ.* 2. *κριὸς* Mein. ed. mai.] *κρεῖος.* Theophr. H. pl. 8, 5, 1 *κριοὶ ὀροβιαῖοι.* Athen. 2, 55 b *οἱ Μιλήσιοι (ἐρέβινθοι κρείττους) τῶν λεγομένων κρείων. κριός* veram nominis formam esse cognoscitur ex Plin. N. h. 18, 124 *est enim* (cicer) *arietino capiti simile, unde ita* (i. e. *κριός*) *adpellant.* obscaenam significationem subesse indicavit Meinekius. cf. Arist. Ran. 545. sunt iambicorum aut tetram. aut, si cum Mein. *ἐστι γὰρ* scribas, trim. reliquiae.

9

Athenaeus 4, 158 a *τραγικὸν γὰρ ἡ φακῆ 'στιν, Ἀρχάγαθος ἔφη πο γεγραφέναι ῥοφοῦντ' Ὀρέστην τῆς νόσου πεπαυμένον, φησὶ Σώφιλος ὁ κωμῳδιοποιός.* sic A. *ἀρχάγαθος ἔφη ἧς καὶ ῥοφεῖν* C. videtur poeta non Archagathi alicuius, sed celeberrimi pictoris *Agatharchi tabulam* aliquam aliunde non cognitam respicere, qua Orestes insania liberatus repraesentabatur. Meinekius ex parte Dobraeum secutus

τραγικὸν ἡ φακῆ 'στιν, ἧς καί φασιν Ἀγάθαρχόν ποτε
γεγραφέναι ῥοφοῦντ' Ὀρέστην τῆς νόσου πεπαυμένον.

sed fortasse sunt trimetri: *τραγικὸν φακῆ 'σθ', ἧς φασ' Ἀγάθαρχον γεγραφέναι | ῥοφοῦντ' Ὀρέστην κτλ.*

Qui in Stobaei Append. Floril. IIII 29 Gaisf. Sophilo (*Σοφίλου*) tribuuntur quattuor versuum cum duo priores sint Sophoclis OC. 810. 11, ceteri quoque Sophoclis sine dubio sunt. quocirca non exscripsi.

ΣΩΤΑΔΗΣ

Meinek. I 426.

ΕΓΚΑΗΙΟΜΕΝΑΙ

Ἐγκλειόμενοι Bekker. Anecd. 102, 28.

1

καρῖδας ἔλαβον πρῶτον, ἀπεταγήνισα
ταύτας ἁπάσας. γαλεὸς εἴληπται μέγας,

ὤπτησα τὰ μέσα, τὴν δὲ λοιπὴν γρυμέαν
ἕψω ποιήσας τρῖμμα συκαμίνινον.
γλαύκου φέρω κεφάλαια παμμεγέθη δύο,
ἐν λοπάδι μεγάλῃ ταῦτα, λιτῶς προσαγαγὼν
χλόην, κύμινον, ἅλας, ὕδωρ, ἐλάδιον.
λάβρακα μετὰ ταῦτ' ἐπριάμην καλὸν σφόδρα,
ἔσται δι' ἅλμης λιπαρὸς ἑφθὸς ἐν χλόῃ,
ἀποδοὺς ὅσ' ἐστὶν ἀπ' ὀβελίσκων ὀπτανά.
τρίγλας καλὰς ἠγόρασα καὶ κίχλας καλάς,
ἔρριψα ταύτας ἐπὶ τὸν ἄνθραχ' ὡς ἔχει,
ἅλμῃ τε λιπαρᾷ παρατίθημ' ὀρίγανον.
ταύταις προσέλαβον σηπίας καὶ τευθίδας·
ἀστεῖον ἑφθὴ τευθὶς ὠνθυλευμένη
καὶ πτερύγι' ἁπαλῶς σηπίας ὠπτημένα.
τριμμάτιον ᾠκείωσα τούτοις ἀνθινὸν
παντοδαπόν. ἑψητὸν δὲ μετὰ ταύτας τινά,
ὀξυλίπαρον τούτοις ἔδωκα χυμίον.
γόγγρον ἐπὶ τούτοις ἐπριάμην παχὺν σφόδρα,
κατέπνιξ' ἐν ἅλμῃ τοῦτον εὐανθεστέρᾳ.
κωβίδι' ἄττα καὶ πετραῖα δή τινα
ἰχθύδια, τούτων ἀποκνίσας τὰ κρανία
ἐμόλυν' ἀλεύρῳ . . τοιούτῳ τινί,
πέμπω τε ταῖς καρῖσι τὴν αὐτὴν ὁδόν.
ἀμίαν τε χήραν, θηρίον καλὸν σφόδρα,
θρίοισι ταύτην ἅλις ἐλαδίῳ διεὶς
ἐσπαργάνωσα περιπάσας ὀρίγανον,
ἐνέκρυψά θ' ὥσπερ δαλὸν εἰς πολλὴν τέφραν.
ἀφύαν θ' ἅμ' αὐτῇ παρέλαβον Φαληρικήν,
εἷς κύαθος ἐνταῦθ' ὕδατος ἐπιχυθεὶς πολύ·
τεμὼν δὲ λεπτὴν τῆς χλόης καὶ πλείονα,
κἂν ᾖ δικότυλος λήκυθος, καταστρέφω.
τί λοιπόν; οὐδέν· ἀλλὰ τοῦτ' ἔσθ' ἡ τέχνη,
οὐκ ἐξ ἀπογραφῆς οὐδὲ δι' ὑπομνημάτων.

Athenaeus 7, 293a Σωτάδης...ποιεῖ καὶ αὐτὸς ἐν Ἐγκλειομέναις (οὕτω γὰρ ἐπιγράφει τὸ δρᾶμα) τοιάδε μάγειρον λέγοντα κτλ. 1. καρῖδας et 25. καρῖσι Dindf.] καρίδας, καρίσι A. ἀπεταγήνισα Mein.] ἀπετηγανισα A. 4. συκαμίνινον Casaub.] συκάμινον A. 5. γλαύκων Bothius. 7. ἐλάδιον Casaub.] ἔλαιον A. 8. μετὰ τ' A. 10. ὅσ' Adam.] ὅσ A. ἀπ' ὀβελίσκων Schweigh.]

ἀποβέλισον A. ὀπτανά Dindf.] οπτανα A. 12. ταύτας VL] ταυτα A. ἄνθρακα A. ἔχει non habet quo referatur, neque sufficit ἔχω. scrib. ὡς πρέπει. 13. παρατίθημι A. scrib. λιπαρᾷ τ' ἐν ἅλμῃ παρατίθημ' ὀριγάνου (τὰς τρίγλας καὶ τὰς κίχλας). 14. ταύταις Schweigh.] ταύταισι A. 15. ἐφθὴ Dobr.] ὤφθη A. 16. πτερύγι' P] πτερύγια A. ἁπαλῶς Dindf.] ἁπλῶς A. 17. τριμματίοιν A. ἀνθινον A. 18. ταύτας τινά Dobr.] ταῦτ' αστινα A. ἑψητόν singulari numero raro dicunt. Eupol. 5. fortasse ἑψητῶν — τινάς. cf. v. 19 τούτοις. 21. κατέπνιξα A. 23. ἰχθύδι' ὧνπερ parum probabiliter Herwerd. Stud. crit. 5. κρανια A. 24. πάντα vel ταῦτα supplet Casaub. scrib. ἐμόλυν' ἀλεύρῳ, 'δευσα μυττωτῷ τινι. 27. ἅλις Porson.] ἅλας A. 29. τε A. 30. ἀφύην Mein. τε ἁμὰ A. 32. καὶ πλείονα] ἔλαιον αὖ (ut v. 7. 27) K. 34. οὐδέν· ἀλλὰ τοῦτ' K.] οὐδὲν ἄλλο. τοῦτ'.

1. ἔλαβον *emi.* Bekker. Anecd. 11, 10 ἀποταγηνίσαι· ἀντὶ τοῦ ταγηνίσαι, ὡς ἀποδραμεῖν τὸ δραμεῖν. 3. Etym. Gud. 130, 5 γρυμεῖα ... τὰ εἰκῇ συμπεφορημένα. καὶ ἔστι πολιτικώτερον ἄνευ τοῦ ῑ, γρυμέα. Bekker. Anecd. 33. 34 γρυμεῖα· ἣν οἱ πολλοὶ γρύτην καλοῦσι. Δίφιλος (127) ἄνευ τοῦ ῑ γρυμέα. ἔστι δὲ παρ' Ἀθηναίοις πήρα τις γρυμέα καλουμένη, ἐν ᾗ παντοῖα σκεύη ἐστί. cf. Hesych. γρυμέα. Phrynich. Ecl. 230. 'γρυμεοπώλης inter adfectata numerat Lucian. Lexiph. 3.' Lobeck. nos *Plunder*, Reuterus *Schurr-Murr*. 4. τρῖμμα. cf. Alexid. 188. 10. Hesych. ἀπ' ὀβελίσκου ἰχθῦς· ἀναπεπαρμένοι. 'τὰ ἀπ' ὀβελίσκων ὀπτανά sunt carnes in verubus assatae.' Schweigh. ἀποδούς pertinet ad λάβραξ. is postquam omnia dedit, i. e. demptis ei omnibus partibus quae in verubus assari possunt. 11. κίχλαι hic sunt *pisces*. cf. Diphil. 64. 13. ἅλμη ὀριγάνου est *muria ex origano confecta*. cf. Aristoph. fr. 416. 16. ἁπαλῶς ὀπτᾶν, i. e. μαλακῷ πυρὶ ὀπτᾶν Ath. 7, 288 e (Philem. 79, 8). Dobr. Adv. II 314. Wesseling. Diodor. 3, 112. 18. ταύτας, i. e. τὰς τευθίδας καὶ τὰς σηπίας. 25. πέμπω τὴν αὐτὴν ὁδόν, 'i. e. ἀποτηγανίζω' Mein. 26. χήραν 'inconditam' Mein. quomodo adparetur describit Archestratus Athen. 7, 278 c. 27. Hesych. διείς· διηθήσας. 29. cf. Hom. Od. 5, 488. 30. ἀφύην conlective dicit. 33. κἂν ᾗ δ. λ., i. e. nequaquam parce. καταστρέφω *inverto*, i. e. effundo.

2

κλέπτρια

Σωτάδης Ἐγκλειομένοις. Bekker. Anecd. 102, 28.

ΠΑΡΑΛΤΤΡΟΥΜΕΝΟΣ

3

παροψὶς εἶναι φαίνομαι τῷ Κρωβύλῳ·
τοῦτον μασᾶται, παρακατεσθίει δ' ἐμέ.

Athenaeus 9, 368 a *Σωτάδης δ' ὁ κωμικὸς Παραλυτρουμένῳ κτλ.* *Crobylus* est cognomen *Hegesippi* Suniensis. clarissimus fuit Demosthenis aequalis, cuius sunt qui putent esse orationem de Halonneso. Harpocrat. *κρωβύλος... Ἡγήσιππος μέν ἐστιν ὁ Κρωβύλος ἐπικαλούμενος. κυρίως δὲ εἶδός τι ἐμπλοκῆς ἐστιν ὁ κρωβύλος, καθά φησι Θουκυδίδης* (1, 6). cf. idem *Ἡγήσιππος*. Schol. Aeschin. 18, 32 *Κρωβύλον καλεῖ... τὸν Ἡγήσιππον τὸν μισοφίλιππον, καθὸ αὐτὸς ἤλειφε τὴν κεφαλὴν καὶ ἐφιλοκάλει τὰς τρίχας*. cf. Demosth. 9, 72. 18, 75. 19, 72 sq. 331. loqui videtur unus aliquis ex oratoribus, qui a Macedonibus stabant, *τοῦτον* autem dicit Philippum regem ipsum.

ΤΙΜΟΘΕΟΣ

Meinek. I 428.

ΚΥΝΑΡΙΟΝ

1

πειρώμεθ' ὑποδύντ' ἐς τὸ δεῖπνον ἀπιέναι·
εἰς ἑπτάκλινον δ' ἐστίν, ὡς ἔφραζέ μοι,
ἂν μὴ παράβυστός που γένηται Χαιρεφῶν.

Athenaeus 6, 243 c *Τιμόθεος Κυναρίῳ κτλ.* 1. *πειρώμεσθ'* A. *ὑποδύντ' ἐς* Cobet. N. l. 51] *ἀποδόντες* A. *ἀποδύντ' ἐς* Schweigh. 2. *εἰς*] *τὸ δ'* K. om. postea *δ'*. 3. *ἂν* Schweigh.] *ἐὰν* A.

de *Chaerephonte* parasito eo ipso capite Athenaeus copiosius disputat. 1. *ὑποδύντε*, *furtim in domum convivatoris invadentes*. 3. Athen. 6, 257 a *καλεῖται... παράβυστος διὰ τὸ καὶ τῶν μὴ παραδεχομένων... παραπίπτειν ἐς τὰς ὁμιλίας*. Harpocr. *παράβυστον ... κατὰ μεταφορὰν ἀπὸ τῶν ἐν τοῖς φορτίοις παραβυσμάτων, τουτέστι παραπληρωμάτων*. ac sic Phot. et Suidas. Plut. Mor. 617 f *Λαμπρίας ἐκ παραβύστου καθήμενος*. non exstat id vocabulum apud antiquiores.

ΜΕΤΑΒΑΛΛΟΜΕΝΟΣ Η ΜΕΤΑΦΕΡΟΜΕΝΟΣ ΠΥΚΤΗΣ ΠΑΡΑΚΑΤΑΘΗΚΗ

Commemorantur a Suida. Meinek. I 428.

ΑΜΦΙΣΒΗΤΗΣΙΜΟΝ

2

οὔθ' ὁ πτερωτὸς ἰξὸς ὀμμάτων Ἔρως,
ὁ Κύπριδος κυναγός, ἡ φρενῶν ἀκίς,
ὁ μὴ τίνων θεοῖσιν ὁρκίων δίκας.

Appendix Florent. Stobaei 23, 7 Gaisf. *Τιμοθέου.* Timotheo lyrico tribuit Bergk. (fr. 13) dubitans tamen an sit Timoclis comici. nec lyrici nec comici esse arbitratur Meinek. 1. *οὔθ' ὁ* Bergk.] *θ' ὁ.* 2. *Κύπριος* cod. 3. '*Ἀφροδίσιος γὰρ ὅρκος οὐκ ἐμποίνιμος.*' Mein.

ΤΙΜΟΚΛΗΣ

Meinek. I 428 sq.

ΑΙΓΥΠΤΙΟΙ

1

πῶς ἂν μὲν οὖν σώσειεν ἶβις ἢ κύων;
ὅπου γὰρ εἰς τοὺς ὁμολογουμένους θεοὺς
ἀσεβοῦντες οὐ διδόασιν εὐθέως δίκην,
τίν' αἰελούρου βωμὸς ἐπιτρίψειεν ἄν;

Athenaeus 7, 300 a *Τιμοκλῆς ἐν Αἰγυπτίοις κτλ.* v. 2—4 Phaedrus Epic. De nat. deor. 25 Peters. (Vol. Hercul. p. 154) *διόπερ ἔμοιγε τὸ τοῦ Τιμοκλέους εἰρημένον ἐν Αἰγύπτῳ δράματι περὶ τῶν ἐν τῇ χώρᾳ θεῶν ἐπὶ τούτους ἐπέρχεται μεταφέρειν· ὅπου γάρ, φησίν, κτλ.* 1. *πῶς ἄν με νῦν* Mein. scr. *πῶς ἄ ν τι ν' οὖν.* K. *ἶβις* A. 2. *τοὺς* Phaedr.] *θεοὺς* A. 'ubi enim in deos quos esse constat inpii non statim poenas dant, quem tandem felis ara puniat?'

ΒΑΛΑΝΕΙΟΝ

2

καὶ τὸ γλωττοκομεῖον βαλανεύεται.

Pollux 10, 154 *γλωττοκομεῖον ἡ θήκη τῶν αὐλῶν... οὐ μὴν ἀλλὰ καὶ ἐπὶ τοῦ ἀγγείου γλωττοκομεῖον παρὰ τοῖς νεωτέροις ἔστιν εὑρεῖν, ὡς ἐν τῷ Τιμοκλέους Βαλανείῳ κτλ.* *γλωττοκομεῖον*] *γλωττόκομον* Nunnesius, cui non obsecutus est Bekkerus. Bekker. Anecd. 32, 28 *γλωττοκομεῖον· ἐπὶ μόνου τοῦ τῶν αὐλητικῶν γλωττῶν ἀγγείου... καλοῦσι δ' αὐτὸ οἱ ἀμαθεῖς γλωσσόκομον.* cf. Lobeck. Phryn. 98. 9. — quid poetae verba significent nescio: nisi forte *βαλανεύειν* dixit pro *βαλανοῦν.*

ΓΕΩΡΓΟΣ

Cf. fr. 36.

ΔΑΚΤΥΛΙΟΣ

3

γαλεοὺς καὶ βατίδας ὅσα τε τῶν γενῶν
ἐν ὀξυλιπάρῳ τρίμματι σκευάζεται.

Athenaeus 7,295b *Τιμοκλῆς ἐν Δακτυλίῳ φησί κτλ.* et 9,385a *καὶ ὁ Τιμοκλῆς...ὁ κωμικὸς ἐν Δακτυλίῳ μέμνηται τοῦ ὀξυλιπάρου λέγων οὕτως κτλ. δακτυλίῳ* A 385] *δακτύλωι* A 295. 1. *ὅσα τ' αὐτῶν γένη?* 2. *τρίμματι.* cf. Alexid. 188.

ΔΗΛΟΣ

'Rectius fortasse *Δήλιος*.' Meinek. III 591. acta est circiter Ol. 113, 4. cf. fr. 4.

4

Α. Δημοσθένης τάλαντα πεντήκοντ' ἔχει.
Β. μακάριος, εἴπερ μεταδίδωσι μηδενί.
Α. καὶ Μοιροκλῆς εἴληφε χρυσίον πολύ.
Β. ἀνόητος ὁ διδούς, εὐτυχὴς δ' ὁ λαμβάνων.
5 *Α. εἴληφε καὶ Δήμων τι καὶ Καλλισθένης.*
Β. πένητες ἦσαν, ὥστε συγγνώμην ἔχω.
Α. ὅ τ' ἐν λόγοισι δεινὸς Ὑπερείδης ἔχει.
Β. τοὺς ἰχθυοπώλας οὗτος ἡμῖν πλουτιεῖ
ὀψοφάγος ὥστε τοὺς λάρους εἶναι Σύρους.

Athenaeus 8, 341ef *καὶ Ὑπερείδης δὲ ὁ ῥήτωρ ὀψοφάγος ἦν, ὥς φησι Τιμοκλῆς ὁ κωμικὸς ἐν Δήλῳ* (*Δηλίῳ* Mein.) *διηγούμενος τοὺς παρὰ Ἁρπάλου δωροδοκήσαντας. γράφει δὲ οὕτως κτλ.* 5. *εἴληφε* VL] *εἶτ' εἴληφε* A. an *εἶτ' ἔλαβε?* *τι* Dohr.] *τε* A. 8. *πλουτιεῖ* C] *πλουτεῖ* A. 9. *ὀψοφάγος*] *ὀψοφάγος γὰρ* A. *οὐψοφάγος* Bergk. post *Σύρους* sine dubio addiderat *παρ' αὐτόν*. vel *ὀψοφάγος οὕτως, ὥστε τοὺς λάρους Σύρους | εἶναι παρ' αὐτόν*.

3. *Moeroclem, Demonem, Callisthenem* Alexander ut Athenienses sibi traderent postulavit teste Plutarcho Demosth. 23. de *Moeroele* cf. Demosth. 19, 293. [58, 53. 56. Epist. 3, 959b, 32 sq.]. Harpocrat. *Μοιροκλῆς*. Ruhnken. Hist. crit. orat. LXXIX. Saupp. Orat. fr. p. 275. Schaefer. Demosth. I 174. III 127 sq. 292. 318. *Demones* plures fuerunt illa aetate. de *Callisthene* cf. Antiphan. 26, 10. *Hyperidi* Ol. 114, 2 Leosthene in pugna ad Lamiam occiso, cum Demosthenes propter pecuniam ab Harpalo acceptam condemnatus in exsilium abiisset, ut primo post Demosthenem oratori oratio funebris demandata est. Diodor. 18, 13. cf. Droysen. Hellenism. I 60 sq. 69 sq. 88. 94. 9. '*lari*, piscium avidissimi, prae Hyperide Syri esse videbuntur', qui piscibus prorsus abstinebant. Menand. 112 Mein.

ΔΗΜΟΣΑΤΥΡΟΙ

5

οὐδ' ὁ Χαβρίου Κτήσιππος ἔτι τρὶς κείρεται,
ἐν ταῖς γυναιξὶ λαμπρὸς οὐκ ἐν ἀνδράσιν.

Athenaeus 4, 165f *Τιμοκλῆς ἐν Δημοσατύροις φησίν κτλ.* 1. *ἐπὶ τρὶς* Bergk. ap. Mein. V CCXXIV. 2. *ἐν*] *οὖν* K. — cf. Menand. 352, 6 Mein. *Ctesippus* Chabriae f. inter luxuriosissimos Atheniensium recensetur et cum Lucullo Hortensioque comparatur Aelian. H. an. 3, 42 extr. cf. Wolf. Proleg. Demosth. Leptin. LIII (Mein.). Diphil. 38. — Eurip. Or. 754 *οὐ γὰρ αἰχμητὴς πέφυκεν, ἐν γυναιξὶ δ' ἄλκιμος.*

ΔΙΟΝΥΣΙΑΖΟΥΣΑΙ

6

ὦ 'τάν, ἄκουσον ἤν τί σοι δοκῶ λέγειν.
ἄνθρωπός ἐστι ζῷον ἐπίπονον φύσει,
καὶ πολλὰ λυπῆρ' ὁ βίος ἐν ἑαυτῷ φέρει.
παραψυχὰς οὖν φροντίδων ἀνεύρετο
5 *ταύτας· ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβὼν*
πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει,
μεθ' ἡδονῆς ἀπῆλθε παιδευθεὶς ἅμα.
τοὺς γὰρ τραγῳδοὺς πρῶτον, εἰ βούλει, σκόπει,
ὡς ὠφελοῦσι πάντας. ὁ μὲν ὢν γὰρ πένης
10 *πτωχότερον αὑτοῦ καταμαθὼν τὸν Τήλεφον*
γενόμενον ἤδη τὴν πενίαν ῥᾷον φέρει.
ὁ νοσῶν τι μανικὸν 'Αλκμέων' ἐσκέψατο.
ὀφθαλμιᾷ τις, εἰσὶ Φινεῖδαι τυφλοί.
τέθνηκέ τῳ παῖς, ἡ Νιόβη κεκούφικεν.
15 *χωλός τίς ἐστι, τὸν Φιλοκτήτην ὁρᾷ.*
γέρων τις ἀτυχεῖ, κατέμαθεν τὸν Οἰνέα.
ἅπαντα γὰρ τὰ μείζον' ἢ πέπονθέ τις
ἀτυχήματ' ἄλλοις γεγονότ' ἐννοούμενος
τὰς αὐτὸς αὑτοῦ συμφορὰς ἧττον στένει.

Athenaeus 6, 223h *Τιμοκλῆς δ' ὁ κωμῳδιοποιὸς κατὰ πολλὰ χρησίμην εἶναι λέγων τῷ βίῳ τὴν τραγῳδίαν φησὶν ἐν Διονυσιαζούσαις κτλ.* Stobaeus Floril. 124, 19 *Τιμοκλέους* A. 1. *'τάν*] *τᾶν* A Ath. *δοκῶ* Stob.] *μέλλω* A Ath. cf. Reisig. Coniect. 25. 6. 3. *λυπηρὰ* A Ath. 4. *γοῦν* A Ath. *ἀνεύρετο* Dindf.] *ἀνεύρατο* A Ath. 7. *θ' ἅμα* Mein. 9. *πάντως* A Stob. *ὁ μένων γὰρ* A Ath. *ὢν μὲν γὰρ* Stob. 11. *ἤδη*] *οὕτω* Stob. 12. *τι μανικὸν* Stob.] *δὲ μανικῶς* A Ath. *'Αλκμέων'* Elmsl. Eur. Bacch. 337 p. 58] *'Αλκμαίων'* A Ath. *'Αλκμένωνα* Stob. Voss. A m. pr. cf. quae ad Amphidis Alcmeonem adnotantur. 13. *οἶσι φινίδαι* A Ath. 15. *ἐστιν* A Ath. *τὸν* om. A Stob. 16. *κατάμαθε* A Ath. 18. *ἢ ἄλλοις γετοντ'* A Ath. *εὐνοούμενος* A Stob. 19. *ἧττον στένει* Stob.] *ῥᾷον φέρει* A Ath. cf. v. 11.

10. de *Telepho* Euripidis cf. Arist. Ach. 415 sq. 12. *Alcmeonem* Euripidis potissimum sine dubio respicit. 13. de *Phinidis* cf. Soph. Ant. 970 sq. Verg. Aen. 3, 210. fuit *Phineus* Aeschyli, duplex Sophoclis, *Φινεῖδαι* commemorantur Aristot. Poet. 16 p. 1455 a 10. cf. Nauck. Tr. gr. fr. p. 654. 16. cf. Arist. Ach. 418 sq. — in apodosi praesens, perfectum, aoristum promiscue posuit. cf. Antiphan. 204, 3. 19. de conlocatione verborum, tragica potissimum, cf. Aesch. Prom. 924 *παλαιστὴν παρασκευάζεται ἐπ' αὐτὸς αὑτῷ.* Ag. 803 *τοῖς αὐτὸς αὑτοῦ πήμασιν βαρύνεται.* Soph. Ai. 1132. OC. 929. 1356. Philem. 134, 2. M. Haupt. Opusc. II 185.

ΔΙΟΝΥΣΟΣ

7

ὁ δ' Ἀχαρνικὸς Τηλέμαχος ἔτι δημηγορεῖ;
Β. οὗτος δ' ἔοικε τοῖς νεωνήτοις Σύροις.
Α. πῶς; ἢ τί πράττων; βούλομαι γὰρ εἰδέναι.
Β. θάργηλον ἀγκάλῃ χύτραν φέρει.

Athenaeus 9, 407 e *ὅτι δὲ καὶ τῶν δήμων Ἀχαρνεὺς ὁ Τηλέμαχος, ὁ αὐτὸς ποιητής (Τιμοκλῆς) φησιν ἐν Διονύσῳ οὕτως κτλ.* 1. *δὲ* A. 2. *οὗτος δ'*] *οὐκ ἀλλ'* Mein. in Ath. fortasse *Α. ὁ δ' Ἀχ. Τηλέμαχος: Β. ἔτι δημηγορεῖ. τούτοις δ' ἔοικε κτλ.* cf. Herwerd. Nov. add. crit. 36. 4. *θάργηλον* Mein.] *θανατηγὸν* A. *ἀγκάλῃ* Iacobs. Add. Ath. 215] *καλὴν* A. *οὗτος* post *θάργηλον* olim inserebat Mein.

Eustath. 1394, 26 *παροιμία ἡ λέγουσα 'Τηλεμάχου χύτρα' ἐπὶ τῶν διὰ πενίαν ἐν ὀσπρίοις ἢ ὅλως εὐτελέσιν ἐδεστοῖς πολυπραγμονούντων . . . ἔκ τινος Ἀττικοῦ Τηλεμάχου Ἀχαρνέως τὸν δῆμον.* Athen. 3, 114 a *Κράτης ἐν δευτέρᾳ Ἀττικῆς διαλέκτου θάργηλον (φησὶ) καλεῖσθαι τὸν ἐκ τῆς συγκομιδῆς (ex messe) πρῶτον γινόμενον ἄρτον.* Hesych. *θάργηλος χύτρα· ἱεροῦ ἑψήματος.* Phot. (*θάργηλος·*) *ὁ τῶν σπερμάτων μεστὸς χύτρος ἱεροῦ ἑψήματος.* quid vero rei sit servis recens emptis cum illa olla obscurum est. cf. Mein. IIII 721.

ΔΡΑΚΟΝΤΙΟΝ

Tituli significatio dubia est. fortasse mulieris nomen.

8

ἔπειτ' ἐγὼ παράσιτον ἐπιτρέψω τινὶ
κακῶς λέγειν; ἥκιστά γ'· οὐδέν ἐστι γὰρ
ἐν τοῖς τοιούτοις χρησιμώτερον γένος.
εἰ δ' ἔστι τὸ φιλέταιρον ἕν τι τῶν καλῶν,
ἀνὴρ παράσιτος τοῦτο ποιεῖ διὰ τέλους.

ἐρᾷς, συνεραστὴς ἀπροφάσιστος γίνεται,
πράττεις τι, πράξει συμπαρὼν ὅ τι ἂν δέῃ,
δίκαια ταὐτὰ τῷ τρέφοντι νενομικώς,
ἐπαινέτης θαυμαστὸς οἷος τῶν φίλων.
10 χαίρουσι δείπνων ἡδοναῖς ἀσυμβόλοις·
τίς δ' οὐχὶ θνητῶν; ἢ τίς ἥρως ἢ θεὸς
ἀποδοκιμάζει τὴν τοιαύτην διατριβήν;
ἵνα μὴ δὲ πολλὰ μακρολογῶ δι' ἡμέρας,
τεκμήριόν τι παμμέγεθες οἶμαί γ' ἐρεῖν,
15 ὁ τῶν παρασίτων ὡς τετίμηται βίος·
γέρα γὰρ αὐτοῖς ταὐτὰ τοῖς τὠλύμπια
νικῶσι δίδοται χρηστότητος εἵνεκα,
σίτησις. οὐ γὰρ μὴ τίθενται συμβολαί,
πρυτανεῖα ταῦτα πάντα προσαγορευτέα.

Athenaeus 6, 237 d *χαρακτηρίζει δ' οὐκ ἀρρύθμως τὸν παράσιτον ὁποῖός τίς ἐστι Τιμοκλῆς ἐν Δρακοντίῳ οὕτως κτλ.* 2. *ἥκιστα οὐδέν·* ἔστι A. *γ'* add. P. *γε* B. 3. *ἐν τοῖσιν οὖσι* Grot. Excerpt. 691. *ἐν τοῖς βροτοῖσι* Herwerd. Mnem. nov. IIII 304. scr. *θνητοῖσι τούτων.* 4. *τὸ* add. Casaub. 7. *πράττεις* Dindf.] *πράσσεις* A. 8. *ταὐτὰ* L] *ταῦτα* A. 11. interpunctio est Meinekii. 13. *ἵνα μὴ δὲ* Grotius] *ἵνα δὲ μὴ* A. 16. *ταῦτα* et *τὰ ὁλ.* A. 17. *εἵνεκα*, non *οὕνεκα*, A. 18. *σύμβολον* C. 19. *προσαγορευτέα* Mein.] *προσαγορεύεται* A.

6. '*συνεραστής adiuvans in amore*, ut Bion. 9, 8 *ἐρασσαμένῳ συνέρασθαι.*' Mein. An. Ath. 103. 10. '*at*' inquit '*nullo suo sumptu convivantur.*' Mein. 12. Hesych. *ἀποδοκιμάζει· ἀποβάλλει.* 17. *χρηστότητος εἵνεκα* 'ex solemni decretorum formula.' Mein. 18. *σίτησις*, ut in prytaneo.

ΕΠΙΣΤΟΛΑΙ

9

ὁ Δημοτίων δὲ παραμένειν αὐτῷ δοκῶν
τἀργύριον οὐκ ἐφείδετ', ἀλλὰ παρέτρεφεν
τὸν βουλόμενον. ὁ Χαιρεφῶν μὲν παντελῶς
οἴκαδε βαδίζειν ᾤετ', ὦ ταλάντατος.
5 καὶ μὴν ἔτι τοῦτ' ἔστιν ἄξιον μόνον,
τὸν παραμασήτην λαμβάνειν δίκρουν ξύλον·
οὔτ' εὔρυθμος γάρ ἐστιν οὔτ' ἀχρήματος.

Athenaeus 6, 243 b *Τιμοκλῆς ἐν Ἐπιστολαῖς καὶ ὡς Δημοτίωνι τῷ ἀσώτῳ παρασιτοῦντος αὐτοῦ (Χαιρεφῶντος) μνημονεύει κτλ.* 1. *παραμενεῖν* Schweigh. *αὐτῷ* Dindf.] *αὐτῷ* A. 4. *ᾤετο ὦ* A. 5. *ἔτι*

γε Dobr. ἔτι τοῦτ' οὐκ ἔστ' ἀνάξιον Toup. Schol. Theocr. 8, 51 p. 217. 6. τὸ — λαμβάνειν — ξύλον; Schweigh. probata Toupii coniectura: *non hoc per se indignum facinus est hominem furciferum pro mensae sodali adsumere?* 7. ἀχρήματος] (οὐκ) ἀγράμματος, i. e. στιγματίας Toup. οὐκ εὐχρώματος, i. e. παντελῶς ἄμουσος Herwerd. Mnem. nov. IIII 304. nihil horum sufficit. graviter corrupti sunt v. 4. 5. 7, perobscurus v. 6.

10

οἴμοι κακοδαίμων, ὡς ἐρῶ. μὰ τοὺς θεούς,
Τιθύμαλλος οὐδεπώποτ' ἠράσθη φαγεῖν
οὕτω σφόδρ', οὐδὲ Κόρμος ἱμάτιον λαβεῖν,
οὐ Νεῖλος ἅλφιτ', οὐ Κόρυδος ἀσύμβολος
5 κινεῖν ὀδόντας.

Athenaeus 6, 240e Τιμοκλῆς...ἐν Ἐπιστολαῖς κτλ. 4. νεῖλλος A. ἅλφιτ', οὐ Casaub.] ἀλφιτου A. ἀσυμβόλους Nauck. — 1. ἐρῶ, *amo*. — cf. Euphron. 8, 6.

ΕΠΙΧΑΙΡΕΚΑΚΟΣ

Cf. quae ad Anaxandrid. 59 adnotantur.

11

ἀγορὰν ἰδεῖν εὔοψον εὐποροῦντι μὲν
ἥδιστον, ἂν δ' ἀπορῇ τις ἀθλιώτατον.
ὁ γοῦν Κόρυδος ἄκλητος, ὡς ἐμοὶ δοκεῖ,
γενόμενος ὠψώνει παρ' αὑτὸν οἴκαδε.
5 ἦν δὲ τὸ πάθος γελοῖον, οἴμοι, τέτταρας
χαλκοῦς ἔχων ἄνθρωπος, ἐγχέλεις ὁρῶν,
θύννεια, νάρκας, καράβους ἡμωδία.
καὶ ταῦτα πάντα μὲν περιελθὼν ἤρετο
ὁπόσου, πυθόμενος δ' ἀπέτρεχ' εἰς τὰς μεμβράδας.

Athenaeus 6, 241a μνημονεύει δ' αὐτοῦ (Κορύδου) Τιμοκλῆς ἐν Ἐπιχαιρεκάκῳ οὕτως κτλ. L. Pomponius Bononiensis 80 Ribb. (p. 238 ed. alt.) *cenam quaeritat; si eum nemo vocat, revortit maestus ad macnam miser.* 4. ὠψώνει Schweigh.] ὀψωνεῖ A. καθ' αὑτὸν Mein. An. Ath. 105. 5. οἴμοι] οἶμαι Dobr. 6. ἄνθρ. K.] ἄνθρ. 7. ἡμωδία Casaub.] ημωδια A. 8. πάντα μὲν] πάντα ημεν A. πάντη μὲν Dindf. 9. δὲ A. ἀπέτρεχ' εἰς Casaub.] ἀποτρέχεις A. itaque (nam offendit hic quidem inperf.) fortasse ἀποτρέχει 'ς τὰς μ. cf. Arist. Lys. 2. Ran. 187.

4. '*pisces emebat ad se domum ferendos.*' Mein. 9. i. e. in eam fori partem abiit, ubi membrades, vilissimum piscium genus, venibant. cf. Alexid. 195.

ΗΡΩΕΣ

De tempore cf. quae ad Antiphanis *Νεοττίδα* adnotantur. fortasse Heroes dicit viros tum in administranda republica primarios.

12

οὐκοῦν κελεύεις νῦν με πάντα μᾶλλον ἢ
τὰ προσόντα φράζειν. Β. πάνυ γε. Α. δράσω τοῦτό σοι.
καὶ πρῶτα μέν σοι παύσεται Δημοσθένης
ὀργιζόμενος. Β. ὁ ποῖος; Α. ὁποῖος; ὁ Βριάρεως,
ὁ τοὺς καταπέλτας τάς τε λόγχας ἐσθίων,
μισῶν λόγους ἄνθρωπος, οὐδὲ πώποτε
ἀντίθετον εἰπὼν οὐδέν, ἀλλ' Ἄρη βλέπων.

Athenaeus 6, 224 a *Τιμοκλῆς ἐν Ἥρωσιν κτλ.* 1. *με* Elmsl. Ach. 963 p. 91] *μετὰ* A. 2. *B.* et *A.* inseruit Cobet. N. l. 21. 22. 4. *ὁ ποῖος; — ὁποῖος;* Mein.] *ὁ ποῖος* A. *βριαρὸς* Dindf. *Βριαρεὺς* Mein. sed recte Elmsleius *καὶ πρῶτα μέντοι παύσεταί σοι Βριάρεως | ὀργιζόμενος. Β. ὁ ποῖος οὗτος Βριάρεως; | Α. ὁ τοὺς καταπέλτας κτλ.* nam *Δημοσθένης* glossema est. 6. *λόγους τ'* Elmsl. fortasse *λόγους γ'*.

2. *τὰ προσόντα.* Plat. Menex. 235 a *οὕτω καλῶς ἐπαινοῦσιν, ὥστε καὶ τὰ προσόντα καὶ τὰ μὴ περὶ ἑκάστου λέγοντες . . . γοητεύουσι . . τὰς ψυχάς.* cf. Cratyl. 394 b. Antiphont. 5, 9 *ὧν οὐδὲν ἐμοὶ προσὸν ἀπέδειξαν.* 5. confert Meinekius Mnesim. 7, 3 sq. 6. 7. haec per ironiam scilicet dicuntur. 7. *ἀντίθετον*, quale famosum illud de *δοῦναι* et *ἀποδοῦναι.* cf. Antiphan. 169.

nescio quis alteri, postquam quaesivit verumne ipsi dicere debeat, suadet ut ante omnia Demosthenis iram placet. sententia postulare videtur ut v. 1 scribatur *νῦν με μηδὲν μᾶλλον.*

13

ὡς δ' ἦν ἠρμένη
βίου τιθήνη, πολεμία λιμοῦ, φύλαξ
φιλίας, ἰατρὸς ἐκλύτου βουλιμίας,
τράπεζα. Β. περιέργως γε νὴ τὸν οὐρανόν,
ἐξὸν φράσαι τράπεζα συντόμως.

Athenaeus 10, 455 f *Τιμοκλῆς ἐν Ἥρωσιν κτλ.* v. 2—4 (*τράπεζα*) Eustathius 1586, 20 om. fabulae auctorisque nomine. 4. *γε* add. Casaub. 5. *φράσαι σοι τὴν τράπεζαν σ.* Grotius Excerpt. 693. — in v. 4 pro voce *τράπεζα* alia aliqua eius *περίφρασις* videtur restituenda esse.

ΙΚΑΡΙΟΙ ΣΑΤΥΡΟΙ

Ἰκάριοι ἢ Σάτυροι Meinek. I 429, duas fuisse fabulae recensiones statuens, 'quarum altera *Ἰκάριοι*, altera *Ἰκάριοι ἢ Σάτυροι* inscripta fuerit.' cf. III 600. non credo. Icarios Satyros dixit ab *Icaria*, pago Attico, ubi primam vitem Icarus vel Icarius Bacchi beneficio posuerat. cf. Preller. Myth. gr.[2] I 525. 6.

14

ἡ Πυθιονίκη δ' ἀσμένως σε δέξεται,
καί σου κατέδεται τυχὸν ἴσως ἃ νῦν ἔχεις
λαβὼν παρ' ἡμῶν δῶρ'· ἄπληστός ἐστι γάρ.
ὅμως δὲ δοῦναί σοι κέλευσον σαργάνας
5 *αὐτήν· ταρίχους εὐπόρως γὰρ τυγχάνει*
ἔχουσα καὶ σύνεστι σαπέρδαις δυσίν,
καὶ ταῦτ' ἀνάλτοις καὶ πλατυρρύγχοις τισίν.

Athenaeus 8, 339 d *Πυθιονίκην δέ φησι φιληδεῖν ταρίχῳ, ἐπεὶ ἐραστὰς εἶχε τοὺς Χαιρεφίλου τοῦ ταριχοπώλου υἱούς, ὡς Τιμοκλῆς ἐν Ἰκαρίοις* (*Νικοκλῆς ἐν ἀκαρίοις* A) *φησίν* (fr. 17). *καὶ πάλιν κτλ.* 1. *δὲ* et 3. *δῶρα* A. 4. *σαργάνας* Schweigh.] *σαργανιας* A. 5. *αυτην* A. 6. *ἔχουσ', ἐπεὶ* K. *σύνεστι σαπέρδαις* Scaliger] *σύνεστισ απέρδ' εἰς* A. *σαπέρδαιν δυοῖν* K. 7. *πλατυρύγχοις* A. rationem doni Pythionicae missi et cur *σαργάναι* ab ea poscantur non intellego. cf. 21, 7. 7. *ἄναλτος*, si hunc versum excipias, apud solum quod sciam Homerum.

15

τόν τ' ἰχθυόρρουν ποταμὸν Ὑπερείδην περᾷς,
ὃς ἠπίαις φωναῖσιν ἔμφρονος λόγου
κόμποις παφλάζων ἠπίοις πυκνώμασιν
πρὸς πανδυσας ἔχει,
5 *μισθωτὸς ἄρδει πεδία τοῦ δεδωκότος.*

Athenaeus 8, 342 a *καὶ Ὑπερείδης δὲ ὁ ῥήτωρ ὀψοφάγος ἦν, ὥς φησι Τιμοκλῆς ὁ κωμικὸς ἐν Δήλῳ, διηγούμενος τοὺς παρὰ Ἁρπάλου δωροδοκήσαντας... καὶ ἐν Ἰκαρίοις δὲ ὁ αὐτὸς ποιητής φησι κτλ.* 1. *τε* A. *περᾷς* Dobr.] *πέρας. πέρα* Iacobs. 2. *ὃς ἠπίαις* Iacobs.] *ον σηπίαις* (quattuor primae litterae in ras. m.[1]) A. 3. *κομψὸς παφλάζων αἱμύλοις πυκνώμασιν | πρὸς πᾶν ἀναιδεύσαιτ' ἂν εὐφυῶς τ' ἔχει — ἄρδειν* Dobr. mihi pro *κόμποις* scribendum videtur *βομβεῖ*. 4. sic A. primum constat *λύσας* scribendum esse pro *δύσας*, deinde poetam in translatione incepta permansisse. itaque tale aliquid scripsit: *πρὸς πᾶν τε λύσας ῥευμάτων* (vel *ῥημάτων*) *πηγὰς ἀεὶ μισθ. ἄρδει κτλ.*, ubi *ἀεί* coniungendum cum *μισθωτός*.

videtur nescio quis alterum iter ingredientem adhortari. Aesch. Prom. 717. 8 contulit Iacobsius. Hyperidem igitur fluvium facit, et *ἰχθυόρρουν* propter *ὀψοφαγίαν*. Harpali pecunia significari non potest, siquidem eo tempore Pythionice (fr. 14. 17) iam diu mortua erat. Diodor. 17, 108. Theopomp. Athen. 13, 695 a (Mein.).

16

ὥστ' ἔχειν οὐδὲν παρ' ἡμῖν· νυκτερεύσας δ' ἀθλίως
πρῶτα μὲν σκληρῶς καθεῦδον, εἶτα Θούδιππος βδέων
παντελῶς ἔπηξεν ἡμᾶς, εἶθ' ὁ λιμὸς ἥπτετο.
ἐφέρετο πρὸς Δίωνα τὸν διάπυρον· ἀλλὰ γὰρ
5 *οὐδ' ἐκεῖνος οὐδὲν εἶχε. πρὸς δὲ τὸν χρηστὸν δραμὼν*
Τηλέμαχον Ἀχαρνέα σωρόν τε κυάμων καταλαβὼν
ἁρπάσας τούτων ἐνέτραγον. ὁ δ' ὄνος ἡμᾶς ὡς ὁρᾷ,
(ὡσπερεὶ) Κηφισόδωρος περὶ τὸ βῆμ', ἐπέρδετο.

Athenaeus 9, 407 f (*Τιμοκλῆς*) *ἐν Ἰκαρίοις Σατύροις φησίν κτλ. ἐκ τούτων δῆλόν ἐστιν ὅτι ὁ Τηλέμαχος κυάμων χύτρας ἀεὶ σιτούμενος ἦγε Πυανέψια πορδὴν ἑορτήν.* 1. *οὐδὲν* Schweigh.] *οὐδὲ ἓν* A. 2. *καθεῦδον* Iacobs. Add. Ath. 215] *καθεύδω* A. *βδέων* Mein.] *ὁ λέων* A. *ὁ Θουδίππου Κλέων* Bergk. conl. Isae. 9, 2—37. 3. *ἔπηξεν*] *ἔπνιξεν* Mein. 4. *ἐφέρετο*] *ἐφερόμεσθ' οὖν* et *ἐφερόμην δὲ* Mein. *εἶτ' ἐφεῖρπον* Iacobs. (melius *ἀφεῖρπον*). 5. *οὐθὲν* A. 7. *ὁ* add. VL. *ὡς* A. 8. *ὡσπερεὶ* Mein.] *ὁ* A. *εὐθέως* Herwerd. Stud. crit. 87.

2. '*Thudippus* fortasse is est quem Athenienses Ol. 115, 3 cum Phocione supplicio adfecerunt. Plut. Phoc. 35. Mor. 189 b.' Mein. 4. *Dion* quis dicatur nescio. 5. *χρηστόν* '*fatuum*' Mein. 8. de *Cephisodoro* oratore Ruhnken. Hist. crit. orat. LXXXII. Harpocrat. *Κηφισόδωρος ... κεκωμῴδηται δὲ οὗτος ὡς ὀνώδης* (sic D. *νωθής* Bekker.). fragmentum nondum persanatum.

17

Ἄνυτος ὁ παχὺς πρὸς Πυθιονίκην ὅταν ἐλθὼν φάγῃ τι· καλεῖ γὰρ αὐτόν, ὥς φασιν, ὁπόταν Χαιρεφίλου τοὺς δύο σκόμβρους ξενίσῃ μεγάλους ἡδομένη. Athenaeus 8, 339 d. cf. fr. 14. *μεγάλους*] *μεγάλως* Casaub. *μεγάλ'* Mein. sunt enim *σκόμβροι* pisces minuti. Athenaeus 3, 119 f (*τοὺς Χαιρεφίλου*), *οὓς καὶ Τιμοκλῆς ἰδὼν ἐπὶ τῶν ἵππων ἐν τοῖς Σατύροις ἔφη δύο σκόμβρους εἶναι.* cf. Alexid. 77. G. A. Hirschig. Ann. crit. 10. 'Anytum cum *παχύν* dicit, dubitari potest *obesum* an *opulentum* significare voluerit. *σκόμβρους* vocat Chaerephili filios eodem sensu quo (fr. 14) *τάριχος* et *σαπέρδας*, quae stultorum hominum sunt convicia.' Mein. — versus restituere conatus est G. Hermannus in

Mein. ed. mai.: mihi videntur trimetri esse, incertae tamen emendationis.

ΚΑΥΝΙΟΙ

Cf. quae ad Alexidis *Καυνίους* adnotantur.

18

ἤδη προσενήνεκται; τί μέλλεις; σπεύδετε,
ὦ 'τάν. ὁ γὰρ Τιθύμαλλος οὕτως ἀνεβίω
κομιδῇ τεθνηκώς, τῶν ἀν' ὀκτὼ τοὐβολοῦ
θέρμους μαλάξας. οὐκ ἀπεκαρτέρησε γὰρ
5 *ἐκεῖνος, ἀλλ' ἐκαρτέρησ', ὦ φίλτατε,*
πεινῶν.

Athenaeus 6, 240d *Τιμοκλῆς...Καυνίοις κτλ.* 1. *μέλλεις* Iacobs. Add. Ath. 147] *μέλλει* A. *σπεῦδε δή* Iacobs. 2. *τάν* A. *οὕτος* Dalecamp. 3. *κομιδῆι* A. *ἀν' ἑκατὸν τοὐβολοῦ — ἀνακάψας* Herwerd. Nov. add. crit. 36. 4. *θερμοὺς* A. 5. *ἐκαρτέρησεν* A. 6. *πεινῶν* Mein.] *πίνων* A.

1. post *προσενήνεκται* interrogationis signum posui. iubet aliquis esurienti et inedia paene mortuo nescio quid cibi *adferri*. *προσφέρειν* sic Plat. com. 55. Antiphan. 140. Alexid. 189. Damox. 2, 28. sperat ea ratione (*οὕτως* 2) esurientem similiter in vitam rediturum esse ac redierit Tithymallus fabarum multitudine consumpta. de *Tithymallo* cf. Antiphan. 210. Aristophont. 10. Alexid. 159 et de quaesitis id genus antithetis (*καρτερεῖν*, *ἀποκαρτερεῖν*) Antiphan. 169. Anaxil. 9. Alexid. 7. 209. 3. *ἀν' ὀκτὼ τοὐβολοῦ*, fabae quarum octoni modii obolo constant. 4. *μαλάξας*, i. e. *postquam manducavit*, comedit. *non sibi prae inpatientia mortem fame conscivit, sed famem patienter pertulit.* adesp. Mein. II 746, 10. 11 *ὥστε μᾶλλον ἂν θέλειν ἀποκαρτερεῖν* (*fame se necare*) *ἢ ταῦτ' ἀκούων καρτερεῖν.*

ΚΕΝΤΑΥΡΟΣ Η ΔΕΞΑΜΕΝΟΣ

Apollodor. 2, 5, 5 *Ἡρακλῆς δὲ εἰς Ὤλενον πρὸς Δεξαμενὸν ἦκε..καὶ κατέλαβε τοῦτον μέλλοντα δι' ἀνάγκην μνηστεύειν Εὐρυτίωνι Κενταύρῳ Μνησιμάχην τὴν θυγατέρα. ὑφ' οὗ παρακληθεὶς βοηθεῖν...Εὐρυτίωνα ἀπέκτεινεν.* cf. Callim. Del. 102. Paus. 5, 3, 4. 7, 18, 1. Hygin. Fab. 33. — tragoediae cognomines (*Δεξαμενός*) Iophontis et Cleophontis commemorantur a Suida.

19

Τιθύμαλλον αὐτὸν καὶ παράσιτον ἀποκαλῶν

Athenaeus 6, 240de *Τιμοκλῆς Κενταύρῳ ἢ Δεξαμενῷ* (*δεξαμένῳ* A) *κτλ.* *Tithymallum*, i. e. famelicum.

ΚΟΝΙΣΑΛΟΣ

I. e. daemon Conisalus. Schol. Arist. Lys. 982 *δαίμων πριαπώδης ὁ Κονίσαλος*. Strab. 13, 588 (*Πρίαπος*) *ἔοικε τοῖς Ἀττικοῖς Ὀρθάνῃ καὶ Κονισάλῳ καὶ Τύχωνι· καὶ τοῖς τοιούτοις*. cf. Plat. com. 174, 13 et quae ad eius *Ὀρθάνην* adnotavimus.

20

πατάξω τ' ἴσον ἴσῳ ποτηρίοις
μεγάλοις ἅπασαν τὴν ἀλήθειαν φράσαι.

Athenaeus 10, 430 f *ἴσον ἴσῳ δὲ Τιμοκλῆς ἐν Κονισάλῳ* (*κονισάδῳ* A) *κτλ.* *παταξάτω τις* Dindf. nescio qua de causa. numquam credam *πατάσσειν* idem esse posse ac *permovere*. prorsus aliter Eubul. 138. scr. *μαλάξω* (*αὐτὸν ὥστε*) *φράσαι*.

ΑΗΘΗ

21

μετὰ τοῦτον αὐτῷ Τηλέμαχος συνετύγχανεν.
καὶ τοῦτον ἀσπασάμενος ἡδέως πάνυ
ἔπειτα 'χρῆσόν μοι σύ, φησί, τὰς χύτρας
ἐν αἷσιν ἥψες τοὺς κυάμους.' καὶ ταῦτά τε
5 *εἴρητο καὶ παριόντα Φείδιππον πάνυ*
τὸν Χαιρεφίλου πόρρωθεν ἀπιδὼν τὸν παχὺν
ἐπόππυσ', εἶτ' ἐκέλευσε πέμπειν σαργάνας.

Athenaeus 9, 407 d *Τιμοκλῆς ... ἐν δράματι Λήθῃ φησί κτλ.* 4. *αἷσιν ἥψες* (*ἕψεις* in Ath.) Mein.] *αἷς συνῆψας* A. 5. *εἴρητο* Pors.] *εἴρηται* A. *Φείδιππον* Pors.] *φίλιππον* A. *πάνυ*] *πάλιν* Mein. *πάνυ* coniungendum cum *πόρρωθεν*. — cf. Alexid. 6. 218. extrema non magis intellego quam fr. 14, 4.

ΜΑΡΑΘΩΝΙΟΙ

22

ὅσον τὸ μεταξὺ μετὰ κορίσκης ἢ μετὰ
χαμαιτύπης τὴν νύκτα κοιμᾶσθαι, βαβαί.
ἡ στιφρότης, τὸ χρῶμα, πνεῦμα, δαίμονες,
τὸ μὴ σφόδρ' εἶναι πάνθ' ἕτοιμα, δεῖν δέ τι
5 *ἀγωνιᾶσαι καὶ ῥαπισθῆναί τε καὶ*
πληγὰς λαβεῖν ἁπαλαῖσι χερσίν. Β. ἡδύ γε
νὴ τὸν Δία τὸν μέγιστον.

Athenaeus 13, 570 f *ἢ ἥδιστόν ἐστί σοι, ὡς ἐν Μαραθωνίοις*

φησὶ Τιμοκλῆς κτλ. cf. Suid. *Τιμοκλῆς.* 1. *ὅσον* Iacobs.] *θεὸν* A. 3. *τὸ πνεῦμα* Mein. 5. *ἀγωνιασαι* A. *τε* Iacobs.] *γε.* 6. *B.* add. K. — 3. qua re *color* virginis et meretricis inter se differant, idque noctu, non exputo.

ΝΕΑΙΡΑ

Meretrix sine dubio significatur famosissima. fuit *Neaera* etiam Philemonis et Licinii Imbricis. cf. O. Ribbeck. Com. Rom. fr.[2] 35.

23

ἀλλ' ἔγωγ' ὁ δυστυχὴς
Φρύνης ἐρασθείς, ἡνίκ' ἔτι τὴν κάππαριν
συνέλεγεν οὔπω τ' εἶχεν ὅσαπερ νῦν ἔχει,
πάμπολλ' ἀναλίσκων ἐφ' ἑκάστῳ τῆς θύρας
5 *ἀπεκληόμην.*

Athenaeus 13, 567 e *θρηνῶν τις αὐτὸν παράγεται ὑπὸ Τιμοκλέους ἐν Νεαίρᾳ κτλ.* idem 591 d *εἴρηκε δὲ περὶ τοῦ πλούτου αὐτῆς (Φρύνης) Τιμοκλῆς ὁ κωμικὸς ἐν Νεαίρᾳ (πρόκειται τὸ μαρτύριον).* 4. *πάμπολλα* A. 5. *ἀπεκλειόμην* A. — *ἐφ' ἑκάστῳ* 'ad singulos coitus obtinendos.'

24

ἔπειτα διά τε ταῦτ' ἀναρίστητος ὤν

Suidas *ἀνάριστος μᾶλλον ἢ ἀναρίστητος... Τιμοκλῆς Νεαίρᾳ κτλ.* *τε*] *γε* Bernhardy.

ΟΡΕΣΤΑΥΤΟΚΛΕΙΔΗΣ

Harpocrat. *Αὐτοκλείδης ... οὗτοι παιδεραστὰι σφοδροί, ὡς καὶ Ἀριστογείτων κατὰ Τιμάρχου.* Aeschin. 1, 52 *ὑπερβαίνων τούσδε τοὺς ἀγρίους* (cf. Arist. Nub. 349 cum interpr.), *Κηδωνίδην καὶ Αὐτοκλείδην καὶ Θέρσανδρον κτλ.* eum a meretricibus ut Orestem a Furiis fuisse vexatum in Timoclis fabula ex fr. 25 coniecit Mein. I 432.

25

περὶ δὲ τὸν πανάθλιον
εὕδουσι γρᾶες, Νάννιον, Πλαγγών, Λύκα,
Γνάθαινα, Φρύνη, Πυθιονίκη, Μυρρίνη,
Χρυσίς, Κοναλλίς, Ἱερόκλεια, Λοπάδιον.

Athenaeus 13, 567 e *καὶ ἐν τῷ ἐπιγραφομένῳ δ' Ὀρεσταυτοκλείδης ὁ αὐτὸς Τιμοκλῆς φησι κτλ.* 2. *ναννιον* et 4. *χρυσισκοναλις* A. 'forsitan *Κοβαλίς*' Mein., qui scaenam prorsus ut in Eumenidum prologo cogitandam esse arbitratur.

26

Harpocratio *παράβυστον· οὕτως ἐκαλεῖτό τι τῶν παρ' Ἀθηναίοις δικαστηρίων, ἐν ᾧ ἐδίκαζον οἱ ια'... μνημονεύουσι δ' αὐτοῦ ἄλλοι τε τῶν κωμικῶν καὶ Τιμοκλῆς ἐν Ὀρεσταυτοκλείδῃ.* Hesych. *παράβυστον... δικαστήριον οὕτω καλούμενον.* 'itaque Areopago et Areopagitis Parabystum et undecim viros substituit, quos de cuiusvis generis maleficis iudicium exercuisse constat.' Mein. I 432. cf. Schoemann. Ant. gr.[2] I 494.

ΠΟΛΥΠΡΑΓΜΩΝ

27

εἶθ' ὁ Καλλιμέδων ἄφνω
ὁ Κάραβος προσῆλθεν, ἐμβλέπων δ' ἐμοί,
ὡς γοῦν ἐδόκει, πρὸς ἕτερον ἄνθρωπόν τινα
ἐλάλει, συνιεὶς δ' οὐδὲν εἰκότως ἐγὼ
ὧν ἔλεγεν ἐπένευον διακενῆς. Β. τῷ δ' ἄρα
βλέπουσι χωρὶς καὶ δοκοῦσιν αἱ κόραι.

Athenaeus 8, 339 ef *περὶ δὲ Καλλιμέδοντος τοῦ Καράβου ὅτι καὶ φίλιχθυς ἦν καὶ διάστροφος τοὺς ὀφθαλμοὺς Τιμοκλῆς ἐν Πολυπράγμονι κτλ.* 3. *γοῦν* Pors.] *δ' οὖν* A. *δ'* ex v. 2 in v. 3 post *πρὸς* transponit Pors. 4. *συνιεὶς* Dindf.] *συνεὶς* A. 5. *Β.* add. K.

6. 'aliorsum spectant *ac* videntur spectare.' dubito tamen an scribendum sit *χωρὶς* (vel *ἄλλοσ'*) *ἢ κτλ.*

ΠΟΝΤΙΚΟΣ

Cf. quae ad Antiphanis *Ponticum* adnotantur.

28

πολλοὺς γαρ ἐνίοθ' ἡ πενία βιάζεται
ἀνάξι' αὑτῶν ἔργα παρὰ φύσιν ποιεῖν.

Stobaeus Floril. 96, 22 *Τιμοκλέους Ποντικοῦ* A. 1. *ἐνίοθ'*] *εὖ ἴσθ'* K. cf. Plat. com. 19.

ΠΟΡΦΥΡΑ

Cf. quae ad Xenarchi *Porphyram* adnotantur.

ΠΥΚΤΗΣ

Pugil fuit Caecilii Statii. O. Ribbeck. Com. Rom. fr.[2] 68.

29

εὑρήσεις δὲ τῶν ἐπισιτίων
τούτων τιν', οἳ δειπνοῦσιν ἐσφυδωμένοι
τἀλλότρι', ἑαυτοὺς ἀντὶ κωρύκων λέπειν
παρέχοντες ἀθληταῖσι.

Athenaeus 6, 246 f *κοινῇ δὲ περὶ παρασίτων εἰρήκασι Τιμοκλῆς μὲν ἐν Πύκτῃ ἐπισιτίους καλῶν αὐτοὺς ἐν τοῖσδε κτλ.* 2. *τιν'* Herwerd. Stud. crit. 5] *τινὰς* A. 3. *τἀλλότρια* A. *λέπειν* Mein.] *λέγειν* (sed *γ* in ras. m.[1]) A. *δέρειν* Porson. cf. Plat. com. 12.

2. Hesych. *διασφυδῶσαι· αὐξῆσαι. ἀπὸ τοῦ σφύζειν. cibis distenti et quasi tumentes.* de *κωρύκοις* cf. quae ad Antiphanis *Κώρυκον* adnotavimus. 'sunt sacci sabulo vel farina vel ficuum granis distenti, quos a lacunari suspensos athletae' (Mein.) pro adversario verberabant. *ζυγομαχεῖν τῷ κωρύκῳ* Aristot. Rhet. 3, 11. *πρὸς κώρυκον γυμνάζεσθαι* Diogen. 7, 54. Diogen. Vind. 3, 70. Suid. Apostol. 14, 86. *ἡ κωρυκομαχίη* Hippocr. Diaet. 2 (I 701 Kuehn.).

ΣΑΠΦΩ

Eidem fere tempori adsignanda atque Alexidis *Agonis*. Mein. I 386. 7. 429.

30

ὁ Μισγόλας οὐ προσιέναι σοι φαίνεται,
ἀνθοῦσι τοῖς νέοισιν ἠρεθισμένος.

Athenaeus 8, 339 c *Τιμοκλῆς ἐν Σαπφοῖ φησιν κτλ.* cf. Antiphan. 26, 14.

ΣΑΤΥΡΟΙ

Cf. *Ἰκάριοι Σάτυροι* et Alexid. 77.

ΣΥΝΕΡΓΟΙ

Rectius fortasse *Συνέριθοι*. cf. Meinek. I 433 et quae ad Amphidis *Ἐρίθους* adnotantur.

31

τοῖς μὲν τεθνεῶσιν ἔλεος ἐπιεικὴς θεός,
τοῖς ζῶσι δ' ἕτερον ἀνοσιώτατος φθόνος.

Stobaeus Floril. 125, 10 *Τιμοκλέους Συνεργικά* A. *Τιμοκλέους* Voss. Theophil. ad Autolycum 378 f *τούτοις ἀκόλουθα εἴρηκε καὶ Τιμοκλῆς λέγων 'τεθνεῶσιν ἔλεος ἐπιεικὴς θεός'.* 2. *ἀνοσιώτατος* AB] *ἀνοσιώτατον.* *ἕτερον*] *ἴφεδρος* Mein. ed. min. XIX. *ἔργων* Herwerd. Mnem. nov. VI 76, conl. Menand. 521, 9 Mein. *ἕτερος* M. Haupt. Opusc. III 608. mihi Timocles scripsisse videtur *ἐχθρὸς ἀνοσιώτατος.*

ΦΙΛΟΔΙΚΑΣΤΗΣ

32

ἀνοίγετ' ἤδη τὰς θύρας, ἵνα πρὸς τὸ φῶς
ὦμεν καταφανεῖς μᾶλλον, ἐφοδεύων ἐὰν
βούληθ' ὁ γυναικονόμος τὸν ἀριθμὸν λαμβάνειν,
κατὰ τὸν νόμον τὸν καινὸν ὅπερ εἴωθε δρᾶν,
5 *τῶν ἑστιωμένων. ἔδει δὲ τοὔμπαλιν*
τὰς τῶν ἀδείπνων ἐξετάζειν οἰκίας.

Athenaeus 6, 245 b *Τιμοκλῆς ἐν Φιλοδικαστῇ φησιν οὕτως κτλ.* 3. *τὸν ἀριθμὸν λαμβάνειν* Dobr. Adv. II 311] *λαβεῖν ἀριθμὸν* A. *τὸν ἀριθμὸν καταλαβεῖν* Schweigh. *ἀπολαβεῖν τὸν ἀριθμὸν* Dindf. — conl. Menand. 265 Meinekius Anal. Ath. 107 (in hac re consentiens cum Hirschigio Ann. crit. 18) delet v. 4, quia quam legem Menander *novam* dicat Timocles novam dicere non possit. propterea etiam Menandri Timoclisque apud Athenaeum eclogas transponendas esse. non credo. potuit lex Timoclis aetate lata, sed mox ut fit in oblivionem adducta, Menandri tempore iterum ferri. praeterea Timoclem Menandri tempora attigisse ipse Meinekius docet I 430.

2. *ἐφοδεύων.* cf. Arist. Av. 1160. legenda etiam lepida illa de Chaerephonte parasito narratio, quam Athenaeus 6, 245 a Timoclis eclogae praemittit.

ΨΕΥΔΟΛΗΣΤΑΙ

33

καταμαθὼν δὲ κειμένην
θερμὴν σκάφην θερμῶν ἰπνιτῶν ἥσθιον.

Athenaeus 3, 109 c (*ἄρτου ἰπνίτου*) *μνημονεύειν Τιμοκλέα ἐν Ψευδοληστα῞ οὕτως κτλ.* 2. *εἴσθιον* A. *κειμένην σκάφην* | *θερμὴν ἰπνιτῶν* Dobr. Arist. Plut. 718 p. 90. scr. *κειμένην* | *μεστὴν σκάφην θερμῶν κτλ.*

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

34

ὅστις φοβεῖται τὸν πατέρα κἀσχύνεται,
οὕτως πολίτης ἀγαθὸς ἔσται κατὰ λόγον,
καὶ τοὺς πολεμίους δυνάμενος κακῶς ποιεῖν.

Stobaeus Floril. 79, 17 *Τιμοκλέους* A. 2. *οὕτως*, non *ὄντως*, A. melius convenient v. 2 et 3, si scripseris *οὕτως ὁπλίτης ἀγ. ἔσται καταλεγείς.* cf. Arist. Eq. 1369.

35

τἀργύριόν ἐστιν αἷμα καὶ ψυχὴ βροτοῖς.
ὅστις δὲ μὴ ἔχει τοῦτο μηδ' ἐκτήσατο,
οὗτος μετὰ ζώντων τεθνηκὼς περιπατεῖ.

Stobaeus Floril. 91, 15 *Τιμοκλέους* A. 2. *ἔχη* A. *μηδ' ἔχων ἐχρήσατο* Mein. V CCXXVI.

36

σῦκ', ἔλαιον, ἰσχάδας, μέλι.
Β. σὺ μὲν εἰρεσιώνην, οὐ γεωργίαν λέγεις.

Clemens Alex. Strom. 4, 2, 7 *οἱ στρωματεῖς ἡμῶν κατὰ τὸν γεωργὸν Τιμοκλέους τοῦ κωμικοῦ σῦκ' ἔλαιον ἰσχάδας μέλι προσοδεύουσι, καθάπερ ἐκ παμφόρου χωρίου. δι' ἣν εὐκαρπίαν ἐπιφέρει σὺ μὲν κτλ.* ex fabula cui *Γεωργός* nomen fuerit eclogam depromptam et *Γεωργίαν* in scaenam productam fuisse arbitratur Meinekius.

37

Χῖοι πολὺ
ἄριστ' ἀνευρήκασιν ὀψαρτυτικήν.

Athenaeus 1, 25 f *μαρτυροῦνται γὰρ καὶ Χῖοι οὐκ ἔλαττον τῶν προειρημένων ἐπὶ ὀψαρτυτικῇ. Τιμοκλῆς κτλ. πρώτιστ'* aut *ὀψαρτυτικά* Mein. Anal. Ath. 12.

38

μὰ γῆν, μὰ κρήνας, μὰ ποταμούς, μὰ νάματα.

Plutarchus Mor. 845 b *προελθὼν (Δημοσθένης) πάλιν εἰς τὰς ἐκκλησίας νεωτερικῶς τινα λέγων διεσύρετο, ὡς κωμῳδηθῆναι αὐτὸν ὑπὸ Ἀντιφάνους καὶ Τιμοκλέους κτλ.* cf. Antiphan. 296.

39

Hesychius *ἀπυξῖνος· ἀπονεύρ . . Τιμοκλέους. ἀπεξίνου* (ab *ἀπεξινόω*) et *ἀπενεύρου* H. Stephanus. Poll. 4, 179 *τὸ δὲ κενῶσαι διὰ καθάρσεως καὶ ἐξινῶσαι λέγουσιν, καὶ ἐξινωμένον ἡ κωμῳδία τὸν κεκαθαρμένον φησὶν ὡς ἐκ τῶν ἰνῶν φερομένης τῆς χολῆς.* cf. Hesych. *ἐξινώμενον· ἐκκενούμενον. ἐκστραγγιζόμενον· λέγεται δὲ ἐπὶ τῶν (τὴν) χολὴν καθαιρομένων.* adparet in lemmate Hesychii scribendum esse non *ἐξινωμένον*, ut apud Pollucem, sed *ἐξινούμενον*.

ΞΕΝΑΡΧΟΣ

Meinek. I 434.

ΒΟΥΤΑΛΙΩΝ

Cf. quae de Antiphanis *Butalione* diximus.

1

φθίνει δόμος
ἀσυστάτοισι δεσποτῶν κεχρημένος
τύχαις, ἀλάστωρ τ' εἰσπέπαικε Πελοπιδῶν.
ἄστυτος οἶκος, κοὔτε βυσαύχην θεᾶς
5 Δηοῦς σύνοικος, γηγενὴς βολβός, φίλοις
ἐφθὸς βοηθῶν, δυνατός ἐστ' ἐπαρκέσαι·
μάτην δὲ πόντου κυανέαις δίναις τραφεὶς
φλεβὸς τροπωτήρ, πουλύπους, ἁλοὺς βρόχων
πλεκταῖς ἀνάγκαις, τῆς τροχηλάτου κόρης
10 πίμπλησι λοπάδος στερροσώματον κύτος.

Athenaeus 2, 63 f *Ξέναρχος κτλ.* ex *Butalione* excerpta esse Suidas docet *Ξέναρχος . . τῶν δραμάτων αὐτοῦ ἐστι Βουκαλίων* (scr. *Βουτ.*), *ὡς Ἀθήναιός φησιν ἐν δευτέρῳ τῶν Δειπνοσοφιστῶν.* nulla enim Xenarchi praeter hanc ecloga in secundo Athenaei libro exstat. v. 4 (*ἄστ. οἶκ.*) et 1—3 (*τύχαις*) Eustathius 1283, 26 *ἄστυτος, οἷον παρὰ Ξεναρχῳ, Πελοπιδῶν ἄστυτος οἶκος, ἤγουν ἄκαρπος, ἄγονος, καὶ φθίνει δόμος — τύχαις. οἶκος ἄστυτος* etiam Eustath. 862, 44. — tragicum aliquem parodia inridet. cf. Nauck. Tr. gr. fr. p. 728.

2. *ἀσυστάτοισι* Blomfield. Gloss. Aesch. Ag. 1443 p. 303] *ἀσυντάτοισι* BCD. *ἀστύτοισι* Eust. unice verum est *ἀνεντάτοισι.* cf. Theopomp. com. 71. 3. *Πελοπιδῶν* L] *καὶ πελοπιδῶν* BCD. 4. *κοὔτι* Nauck. Fr. tr. p. 728. *κοὐδὲ* K. *βυσσαύχην* C. 5. *Δηοῦς* Schweigh.] *δηοῦν* BCD. 7. *στραφεὶς* Mein. An. Ath. 33. 8. *βρόχων* Porson. Miscell. 234] *βροτῶν.* 9. *τροχηλάτης* C. cf. Lobeck. Paralip. 458. 10. *στερροσώματον* Lobeck. Phryn. 176] *στερνοσώματον. στεγνοσ.* Dobr.

2. *ἀσυστάτοισι* Herwerdenus Mnem. nov. VI 72 in eius tragici quem inrideat versu positum fuisse censet, Xenarchum autem id in *ἀσυντάτοισι* mutavisse. at *τὸ αἰδοῖον* non *συντείνεται*, sed *ἐντείνεται.* 3. 'Pelopidarum *ἀλάστορα* in domum inruisse, i. e. domum esse interituram, affirmat.' Mein. *εἰσπέπαικε.* cf. Arist. Plut. 805. Soph. OR. 1252. 4. Hesych. *βυσαύχην· ὁ συνέλκων τὸν τράχηλον καὶ τὸν αὐχένα μικρὸν ποιῶν καὶ τοὺς ὤμους ἀνέλκων.* Pollux 2, 135 *ὁ τοὺς μὲν ὤμους ἀνέλκων, τὸν δὲ αὐχένα συνέλκων, ὃν ἐπί-*

βουλον Ἀριστοτέλης φυσιογνωμονεῖ. — *ἄστυτος* detortum ex *ἄστυλος οἶκος*. Eur. Iph. T. 57. 5. *φίλοις* Xenarchus invenerat in tragico suo, sed sine dubio detorsit in *τύλοις*. Poll. 2, 176 *ἐκαλεῖτο δὲ καὶ τύλος τὸ αἰδοῖον*. cf. Pherecr. 204. Hesych. et Zonar. *τύλον· τὸ αἰδοῖον*. Etym. m. 125, 24 *τύλος γὰρ τὸ αἰδοῖον*. 8. *τροπωτήρ*. cf. Arist. Eccl. 1091 *δικωπεῖν*. Plat. com. 3, 4.

ΔΙΔΥΜΟΙ

2

ὡς ὑπό τι νυστάζειν γε καὐτὸς ἄρχομαι.
ἢ τἀγαθοῦ γὰρ δαίμονος συνέσεισέ με
ἄκρατος ἐκποθεῖσα φιάλη παντελῶς,
ἢ τοῦ δὲ σωτῆρος Διὸς τάχιστά γε
ἀπώλεσε ναύτην καὶ κατεπόντωσέν μ' ὁρᾷς.

Athenaeus 15, 693 b *Ξέναρχος ἐν Διδύμοις κτλ.* 1. *ὑπό τι* Pors.] *εὔποτι* A. cf. quae idem adnotavit ad Arist. Vesp. 281. 2. *ητ' αγαθοῦ* A. *γὰρ* add. Mein. in Ath. *συνέσισέ* A. 3. *ἄκρατος* ex A add. Cohet. Or. 105. cf. Schoell. Herm. IIII 163. 5. *ἀπώλεσε ναύτην* Canter.] *ἀπώλεσεν αὐτὴν* A. scr. *ἀπώλεσ' ἀνέδην*, quod adverbium frequens est apud Platonem philosophum. nam *natantem* quidem potor se dicere potest, *nautam* vix potest. *κατεπόντωσέν* Schweigh.] *κατεπόντωσέ* A. — de ioci genere Arist. Plut. 1174. 5 contulit Dobraeus. *ὁρᾷς*. cf. quae adnotavimus ad Arist. Nub. 355. inter duos fratres distribuit Naber. Mnem. nov. VIII 267.

3

πίμπλη σὺ μὲν ἐμοί, σοὶ δ' ἐγὼ δώσω πιεῖν·
ἀμυγδαλῆ μὲν παιζέτω παρ' ἀμυγδαλῆν.

Athenaeus 10, 426 b *ταῦτα ἔφη Ξέναρχος* (*ξενόχαρτος* A) *ἐν Διδύμοις*. 1. *πίμπλη* Mein.] *πίμπλα* A. *Πάμφιλε* Herwerd. Anal. crit. 43. recte Kusterum Xenarchi nomen restituisse testatur Suidas *Ξέναρχος*. alterum versum proverbialiter dictum esse monuit Schweigh.: quamquam nihil eiusmodi apud paroemiographos.

ΠΕΝΤΑΘΛΟΣ

4

δεινά, δεινὰ κοὐκ ἀνασχετὰ
ἐν τῇ πόλει πράττουσιν οἱ νεώτεροι.
ὅπου γὰρ οὐσῶν μειράκων μάλ' εὐπρεπῶν
ἐπὶ τοῖσι πορνείοισιν, ἃς ἔξεσθ' ὁρᾶν
εἰληθερούσας, στέρν' ἀπημφιεσμένας,

γυμνὰς ἐφεξῆς τ' ἐπὶ κέρως τεταγμένας·
ὧν ἔστιν ἐκλεξάμενον ᾗ τις ᾖδεται,
λεπτῇ, παχείᾳ, στρογγύλῃ, μακρᾷ, ῥικνῇ,
νέᾳ, παλαιᾷ, μεσοκόπῳ, πεπαιτέρᾳ,
10 μὴ κλίμακα στησάμενον εἰσβῆναι λάθρᾳ,
μηδὲ δι' ὀπῆς κάτωθεν εἰσδῦναι στέγης,
μηδ' ἐν ἀχύροισιν εἰσενεχθῆναι τέχνῃ.
αὐταὶ βιάζονται γὰρ εἰσέλκουσί τε,
τοὺς μὲν γέροντας ὄντας ἐπικαλούμεναι
15 πατρίδια, τοὺς δ' ἀπφάρια, τοὺς νεωτέρους.
καὶ τῶνδ' ἑκάστην ἔστιν ἀδεῶς, εὐτελῶς,
μεθ' ἡμέραν, πρὸς ἑσπέραν, πάντας τρόπους·
ἃς δ' οὔτ' ἰδεῖν ἔστ' οὔθ' ὁρῶντ' ἰδεῖν σαφῶς,
ἀεὶ δὲ τετρεμαίνοντα καὶ φοβούμενον,
20 δεδιότα ἐν τῇ χειρὶ τὴν ψυχὴν ἔχοντα·
ἃς πῶς ποτ', ὦ δέσποινα ποντία Κύπρι,
βινεῖν δύνανται, τῶν Δρακοντείων νόμων
ὁπόταν ἀναμνησθῶσι προσκινούμενοι;

Athenaeus 13, 569a ἐπιτιμᾷ δὲ καὶ Ξέναρχος ἐν Πεντάθλῳ τοῖς ... ἐσπουδακόσι περὶ τὰς μεγαλομίσθους ἑταίρας καὶ τὰς ἐλευθέρας τῶν γυναικῶν ταυτὶ λέγων κτλ. v. 9 Eustath. 883, 36 χρῆσις δὲ τῆς λέξεως ἐν τῷ κτλ. v. 13—15 Eustath. 886, 34 οἷον αὗται, ἤγουν αἱ ἑταιρίδες, βιάζονται εἰσελθοῦσαι τοὺς μὲν — πατρίδια, ὅπερ ἐστὶ πατέρων ὑποκορισμός, τοὺς δ' — νεωτέρους. idem 565, 24 ἐκ τοῦ ἄπφα γίνεται καὶ τὸ ἄπφιον, ὑποκόρισμα ὂν ἐρωμένης. 3. ὅπου παρουσῶν Mein. in Ath. μειρακίων C. 5. ειληθερουσας A. στέρν' ἀπημφιεσμένας Tyrwhitt. Toup. III 419] στερμνα τ' ἠμφιεσμένας A. 6. ἐπικέρως V] ἐπικαιρως A. 7. ᾗ τις] ητισ A. 10. κλίμακα στησάμενον Mein.] και μα καιτησάμενον A. 11. εἰσδῦναι Dobr.] ἐκδυναι A. ἐκδυναστείης C. 13. αὐταὶ Dobr.] αὗται A. 15. δαπφαρια A. 16. ἑκάστην Dalecamp.] ἕκαστον A. 17. τρόπους· | ἃς P] τροπουσας A. 18. τὰς δ' Iacobs. ὁρῶντ' ἀθρεῖν σαφῶς Nauck. Philol. VI 420. ουτιδειν ἔστ' οὐθυρῶντιδειν A. 19. αἰεὶ A. τετρεμαίνοντα VL] τετραμένοντα A. 20. delet Mein. ἐν χειρὶ τὴν ψυχὴν ἔχοντα, δεδιότα Dindf. ψυχὴν] scr. ψωλὴν. cf. Arist. Av. 560. Nub. 734. post v. 20 versus excidit talis fere: ταύτας διώκουσ' ἀναπεσεῖν ἱκνούμενοι. 23. προσκινούμενοι, non προσκυν., A.

3. nihil sequitur quo ὅπου referatur, sed prorsus mutata oratione v. 18 ἃς δ' οὔτ' ἰδεῖν κτλ. 6. etiam Eubul. 67, 4. 11. στέγης pendet a κάτωθεν. frustra στενῆς Mein. Anal. Ath. 357, 'angustam cellae subterraneae fenestram' dici existimans. 12.

paene ut Falstaffius apud Shakespearium. 14. *γέροντας ὄντας*. cf. de talibus parechesibus Lobeck. Soph. Ai. p. 108. Paralip. 53. 20. 'formula *ψυχὴν ἐν χειρὶ ἔχειν* de hominibus vitae discrimen adeuntibus infimae graecitatis' est. Mein. 21. Eurip. Hippol. 415 *αἳ πῶς ποτ', ὦ δέσποινα ποντία Κύπρι, βλέπουσιν ἐς πρόσωπα τῶν ξυνευνετῶν*; 22. de *Draconis* legibus in adulteros datis cf. Taylor. Lect. Lys. p. 303 Reisk.

5

ἐμοὶ γένοιτο σοῦ ζώσης, τέκνον,
ἐλευθέριον πιοῦσαν οἶνον ἀποθανεῖν.

Athenaeus 10, 440 e *ὅτι δὲ φίλοινον τὸ τῶν γυναικῶν γένος κοινόν. οὐκ ἀχαρίστως δὲ καὶ ὁ Ξέναρχος ἐν τῷ Πεντάθλῳ γυναῖκά τινα παρεισάγει φρικτότατον ὅρκον ὀμνύουσαν τόνδε κτλ.* 2. *ἐλευθέριον* Mein.] *ἐλεύθερον* A. cf. Cobet. N. l. 104. — cupit serva, priusquam moriatur, viva puella quam diligit, libertatem consequi: sed pro *ἐλευθέριον ὕδωρ* ut ebriosa *οἶνον* dixit. cf. Antiphan. 25.

6

ὅρκον δ' ἐγὼ γυναικὸς εἰς οἶνον γράφω.

Athenaeus 10, 441 e *Ξέναρχος Πεντάθλῳ κτλ.* Helladius Photii Bibl. 530, 15 *ὁ στίχος ὁ καὶ παροιμιαζόμενος 'ὅρκους ἐγὼ γυναικὸς εἰς ὕδωρ γράφω' ἐστὶ μὲν Σοφοκλέους . . . οἱ δὲ τὰς γυναῖκας σκώπτοντές φασιν 'ὅρκους ἐγὼ γυναικῶν εἰς οἶκτον γράφω'*, ubi Scaliger *γυναικὸς* et *οἶνον*. Bekker. Anecd. 55, 17 *ὅρκον γυναικὸς εἰς ὕδωρ χρὴ γράφειν· ὅτι ἀπιστεῖν γυναικὶ δεῖ ὀμνυούσῃ.* ut in fr. 5, hic quoque ridicule *οἶνον* pro *ὕδωρ*.

ΠΟΡΦΥΡΑ

Inter Timoclis fabulas refert Suidas. cf. fr. 8. 9 et Meinek. I 433.

7

οἱ μὲν ποιηταὶ λῆρός εἰσιν· οὐδὲ ἓν
καινὸν γὰρ εὑρίσκουσιν, ἀλλὰ μεταφέρει
ἕκαστος αὐτῶν ταῦτ' ἄνω τε καὶ κάτω.
τῶν δ' ἰχθυοπωλῶν φιλοσοφώτερον γένος
5 *οὐκ ἔστιν οὐδὲν οὐδὲ μᾶλλον ἀνόσιον.*
ἐπεὶ γὰρ αὐτοῖς οὐκέτ' ἔστ' ἐξουσία
φαίνειν (ἀπείρηται δὲ τοῦτο τῷ νόμῳ),
εἴς τις θεοῖσιν ἐχθρὸς ἄνθρωπος πάνυ
ξηραινομένους ὡς εἶδε τοὺς ἰχθῦς, μάχην

10 ἐποίησ' ἐν αὐτοῖς ἐξεπίτηδες εὖ πάνυ·
ἦσαν δὲ πληγαί, καιρίαν δ' εἰληφέναι
δόξας καταπίπτει καὶ λιποψυχεῖν δοκῶν
ἔκειτο μετὰ τῶν ἰχθύων. βοᾷ δέ τις
'ὕδωρ ὕδωρ'. ὁ δ' εὐθὺς ἐξάρας πρόχουν
15 τῶν ὁμοτέχνων τις τοῦ μὲν ἀκαρῆ παντελῶς
κατέχεε, κατὰ τῶν ἰχθύων δ' ἀπαξάπαν.
εἴποις γ' ἂν αὐτοὺς ἀρτίως ἡλωκέναι.

Athenaeus 6, 225c *Ξέναρχος Πορφύρᾳ κτλ.* 3. *ταῦτ'* Dindf.] *ταῦτ'* A. 8. *εἷς τις* G. Herm. ap. Erfurdt. Obs. 445] *εἰτ' εἷς* A. an *εἶθ' εἷς*? 9. *εἶδε* C] *ἴδε* A. 10. *ἐποίησ' ἐν* Schweigh.] *ἐποίησεν* A. 14. *ὕδωρ* iteravit Iacobs. Add. Ath. 127. 15. *ἀκαρεὶ* C. 16. *τῶν ἰχθύων δ'* Dindf.] *δὲ τῶν ἰχθύων* A. *ἀπαξάπαν* Casaub.] *ἀπαξ ἐπάνω* A. 17. *εἴπές* K. '*diceres*', non *dicas* vel *dixeris*. *γ'* C] *τ* A.

7. 'causa legis erat ut piscatores celerius et viliore pretio vendere cogerentur.' Iacobs. 11. cf. Arist. Av. 1014. 12. cf. quae ad Arist. Eq. 1146 adnotavimus.

8

εἶθ' ἁλιεὺς ὢν ἄκρος σοφίαν
ἐπὶ μὲν παγούροις τοῖς θεοῖς ἐχθροῖσι καὶ
ἰχθυδίοις εὕρηκα παντοδαπὰς τέχνας,
γέροντα βούγλωττον δὲ μὴ ταχέως πάνυ
5 συναρπάσομαι; καλόν γ' ἂν εἴη.

Athenaeus 7, 319a *τούτων* (*τῶν παγούρων*) *μέμνηται Τιμοκλῆς ἢ Ξέναρχος ἐν Πορφύρᾳ οὕτως κτλ.* 1. *εἶθ'*] *ἴτ'* A. *οὕτωσί· ἁλιεὺς* Mein. An. Ath. 141. *εἴπερ* Dobr. *ἄκρος σοφίαν*] *ἀκρόσοφος* Mein. an *τί δ'; ὢν ἁλιεὺς σοφίαν ἄκρος*? 2. *ἐπὶ* Herwerd. Mnem nov. VI 72] *ἐν* A. *ad captandos paguros*. *μὲν παγούροις τοῖς* Dobr.] *παγούρους μὲν* A. *θεοισεχθροῖσι* Cobet. 4. *δὲ* Schweigh.] *τὸ* A. 5. in fine haud inepte addideris *νὴ Δία*. — voce *βούγλωττος*, quod est piscis nomen, simul *stolidum senem* designat. *καλόν γ' ἂν εἴη* per ironiam addit. nos *das wäre eine schöne Geschichte*.

9

μὰ τὸν Διόνυσον, ὃν σὺ λάπτεις ἴσον ἴσῳ.

Athenaeus 10, 431a *Ξέναρχος ἢ Τιμοκλῆς ἐν Πορφύρᾳ κτλ.* *ὃν* add. Schweigh. *λάπτεις* K. Mus. Rhen. XXX 398] *κάπτεις*. *Διόνυσος* simul deus est et vinum.

ΠΡΙΑΠΟΣ

Verpum Livii Andronici contulit O. Ribbeck. Com. Rom. fr.[2] 3.

10

σὺ δὲ μηκέτ' ἔγχει, παιδάριον, εἰς ἀργυροῦν·
εἰς τὸ βαθὺ πάλιν ἄγωμεν. εἰς τὸν κάνθαρον,
παιδάριον, ἔγχει. Β. νὴ Δία, νὴ τὸν κάνθαρον.

Athenaeus 11, 473 f *Ξέναρχος ἐν Πριάπῳ φησὶ τάδε κτλ.* 2. *δὲ πάλιν* A. *Α. σὺ δὲ — τἀργυροῦν. Β. εἰς τὸ βαθὺ πάλιν ἄγωμεν. Α. εἰς τὸν κάνθαρον — ἔγχει, νὴ Δία. Γ. ναί, τὸν κάνθαρον.* Dobr. Append. Arist. p. 113 (*Β* est minister, *Α* et *Γ* convivae). *εἰς τὸ βαθὺ δ' ἐπανάγωμεν* Mein. 3. *νὴ Δί' εἰς τὸν κ.* Hanov. Exerc. crit. 151. ac *νὴ Δί'* A. sed poterat eum ridicule per cantharum etiam iurantem facere.

1. nescio quo iure opponatur vas *argenteum profundo.* 2. si vera est Meinekii emendatio, *ἐπανάγωμεν* (vel *ἐπαναγώμεθ'*) petitum est e re nautica.

ΣΚΥΘΑΙ

11

ἑπτὰ δὲ καπάνας ἔτρεφον εἰς Ὀλύμπια.
Β. τί λέγεις; καπάνας; Α. ναί· καπάνας Θετταλοὶ
πάντες καλοῦσι τὰς ἀπήνας. Β. μανθάνω.

Athenaeus 10, 418 e *Θετταλοὶ γὰρ τὰς ἀπήνας καπάνας ἔλεγον. Ξέναρχος Σκύθαις κτλ.* 1. *Ὀλύμπια* Mein. An. Ath. 185] *ὀλυμπίαν* A. 2. *καπάνας; ναί, καπάνας* G. Hermann. ap. Erfurdt. Obs. 465] *καπάνας* A. — *ἔτρεφον*, at non *quadrigas*, sed *equos* alebat. sic tamen etiam *τρέφειν τὰς ναῦς* Thucyd. 8, 44. Xen. Hell. 1, 5, 6. 5, 1, 24.

12

τουτὶ τὸ κακὸν οὐκ ἔστ' ἔτι
κακόν, τὸ θυγάτριόν τέ μου σεσινάπικεν
διὰ τῆς ξένης.

Athenaeus 9, 367 a *Ξέναρχος ὁ κωμῳδιοποιὸς ἐν Σκύθαις ἔφη κτλ.* v. 2. 3 Eustathius 1061, 5 *ἐκ τοῦ σίνηπι καὶ ῥῆμά ἐστι κωμικὸν σιναπῶ, οἷον τὸ θυγάτριον κτλ. ἤγουν ἐδριμύξατο.* 2. *τέ* om. Eust. *σεσινάπικεν* Dalecamp.] *σεσινάπηκεν* A et Eust. etiam in dimetros digeri posse monuit Meinekius. de voce *σίναπι* pro *νᾶπυ* apud sequiores usitato cf. Lobeck. Phryn. Epit. 288. 9. Hehn. Kulturpfl.[2] 183. 4. initium soluto sententiarum nexu non intellego, ne post Meinekium quidem. videtur pater queri, quod filiolam suam nescio quis hospitae ope *deceperit.*

ΣΤΡΑΤΙΩΤΗΣ

13

φιλύρας εἶχε γὰρ
ὁ παῖς ἄφυλλον στέφανον ἀμφικείμενον.

Athenaeus 15, 679 e *Ξέναρχος Στρατιώτῃ κτλ.* 2. *ἀφύλλου* A. cf. Horat. C. 1, 38, 2.

ΤΥΠΝΟΣ

14

εἶτ' εἰσὶν οἱ τέττιγες οὐκ εὐδαίμονες,
ὧν ταῖς γυναιξὶν οὐδ' ὁτιοῦν φωνῆς ἔνι;

Athenaeus 13, 559 a *Ξέναρχος ἐν Ὕπνῳ φησίν κτλ.* Eustathius 1423, 28 *Ξενάρχου τὸ κτλ., ὡς δηλαδὴ τῶν θηλέων τεττίγων ἀφώνων ὄντων.* 1. *εἰ τισιν* A. Aelian. H. an. 1, 20 *καὶ τοῦτο μὲν τὸ φιλόμουσον ἔδωκε τοῖς ἄρρεσιν ἡ φύσις· τέττιξ δὲ θήλεια ἄφωνός ἐστι.* cf. Strab. 6, 260.

ΘΕΟΦΙΛΟΣ

Meinek. I 434. 5.

ΑΠΟΔΗΜΟΙ

1

καί τοι τί φημι καὶ τί δρᾶν βουλεύομαι;
προδοὺς ἀπιέναι τὸν ἀγαπητὸν δεσπότην,
τὸν τροφέα, τὸν σωτῆρα, δι' ὃν εἶδον νόμους
Ἕλληνας, ἔμαθον γράμματ', ἐμνήθην θεοῖς;

Bekker. Anecd. 724, 26 *ὁ γοῦν παρὰ τῷ Θεοφίλῳ τῷ κωμικῷ θεράπων ἐν τοῖς Ἀποδήμοις λέγει κτλ.* 1. *βουλεύομαι* Bast.] *βούλομαι. δρᾶσαι βούλομαι* Mein. 3. *τροφέᾰ.* cf. Philem. 80. *εἶδον cognovi,* ut saepe. cf. Fritzsch. Arist. Ran. 714 p. 270. 4. *ἐμνήθην.* Lobeck. Aglaoph. 16. Meinekio libertus loqui videtur, qui tamen in domo et clientela domini remanserit.

ΒΟΙΩΤΙΣ

Cf. quae ad Antiphanis *Βοιωτίδα* adnotavimus.

2

τετρακότυλον δὲ κύλικα κεραμεᾶν τινα
τῶν Θηρικλείων, πῶς δοκεῖς; κεραννύει

καλῶς, ἀφρῷ ζέουσαν· οὐδ' ἂν Αὐτοκλῆς
οὕτως μὰ τὴν γῆν εὐρύθμως τῇ δεξιᾷ
ἄρας ἐνώμα.

Athenaeus 11, 472 d Θεόφιλος ἐν Βοιωτίᾳ κτλ. 1. κεραμεᾶν H. Iacobi] κεραμέαν. 2. δοκεῖς P] δοκεῖ A. κεραννύει Porson.] κεράννυσιν A. 4. γῆν Schweigh.] τὴν A. ἄρας ἐνώμα Iacobs. Add. Ath. 255] αἴρασαν ὦμον A.

non recte Meinekius An. Ath. 217 aut post κεραννύει aut post ζέουσαν lacunam esse statuendam censet, quia addendum fuerit aliquid, quo pincernae in porrigendo poculo elegantia laudaretur. potuit hoc fieri, necesse non fuit. 3. Αὐτοκλῆς. multi eius nominis et Theophili aetate et ante eum in Attica fuerunt, quorum quis significetur dubium est. cf. Bergk. R. c. Att. 251. 2.

ΕΠΙΔΑΥΡΙΟΣ

3

Ἀτρεστίδας τις Μαντινεὺς λοχαγὸς ἦν,
ἀνδρῶν ἁπάντων πλεῖστα δυνάμενος φαγεῖν.

Athenaeus 10, 417 a Θεόφιλος ἐν Ἐπιδαύρῳ (Ἐπιδαυρίῳ Mein. I 435) κτλ.

ΙΑΤΡΟΣ

4

πᾶς δὲ φιλοτίμως πρὸς αὐτὸν τῶν νεανίσκων . .
. . . . ἐγχέλειον· παρατέθεικε τῷ πατρί.
'τευθὶς ἦν χρηστή, πατρίδιον'· 'πῶς ἔχεις πρὸς κάραβον;'
ψυχρός ἐστιν, ἄπαγε, φησί· ῥητόρων οὐ γεύομαι.

Athenaeus 8, 340 d Θεόφιλος ἐν Ἰατρῷ ἅμα σκώπτων αὐτοῦ (Καλλιμέδοντος) καὶ τὸ ἐν λόγοις ψυχρόν κτλ. 1. in fine addendum ἔχει. 2. ἐγχέλειον Schweigh.] ἐγχέλιον A. τέμαχος ἔλαβεν ἐγχέλειον· παρατέθεικε κτλ i. e. *ubi emit* cet., statim adponit patri. cf. Antiphan. 204, 3 et de protasi paratactica etiam Philem. 4, 11. 3. ἦν] ἢν K. '*ecce*'. — τέμαχος ἐγχέλειον, ut Pherecr. 45. de *Callimedonte* Carabo cf. Antiphan. 26, 7. πῶς ἔχεις πρός, ut Antiphan. 140, 2. ῥητόρων, quia Carabus orator erat.

ΚΙΘΑΡΩΙΔΟΣ

Dubium est, Κιθαρῳδός titulus fuerit an persona fabulae. Meinek. I 435.

5

μέγας
θησαυρός ἐστι καὶ βέβαιος μουσικὴ
ἅπασι τοῖς μαθοῦσι παιδευθεῖσί τε.

Athenaeus 14,623 f *μέγας γὰρ. .κατὰ τὸν Θεοφίλου Κιθαρῳδόν, θησαυρός ἐστι κτλ.* 2. *ἐστιν* et *ἡ μουσικὴ* A.

ΝΕΟΠΤΟΛΕΜΟΣ

6

οὐ συμφέρον νέα 'στὶ πρεσβύτῃ γυνή·
ὥσπερ γὰρ ἄκατος οὐδὲ μικρὸν πείθεται
ἑνὶ πηδαλίῳ, τὸ πεῖσμ' ἀπορρήξασα δὲ
ἐκ νυκτὸς ἕτερον λιμέν' ἔχουσ' ἐξευρέθη.

Athenaeus 13,560 a *Θεόφιλος ἐν Νεοπτολέμῳ ἔφη κτλ.* 1. *σύμφορον* Valcken., conl. Theogn. 457. *νεαστὶ* A. 3. *ἑνὶ*] *τῷ* Herwerd. Obs. crit. 82. contra Mein. 'non uno se regi patitur gubernaculo ut cymba.' An. Ath. 258. at tum negatio ante *ὥσπερ* ponenda erat. *πίσμ'* A. *δὲ* om. A. 4. *λιμένα* A.

Theogn. 457 *οὔ τοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι· οὐ γὰρ πηδαλίῳ πείθεται ὡς ἄκατος, οὐδ' ἄγκυραι ἔχουσιν, ἀπορρήξασα δὲ δεσμὰ πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα.* '*πηδάλιον* ambigue, ut Arist. Pac. 142.' Mein.

7

πονηρὸν υἱὸν καὶ πατέρα καὶ μητέρα
ἔστιν μαγαδίζειν ἐπὶ τροχοῦ καθημένους·
οὐδεὶς γὰρ ἡμῶν ταὐτὸν ᾄσεται μέλος.

Athenaeus 14, 635 a *Θεόφιλος ἐν Νεοπτολέμῳ* (*νεοπτολέμου* A) *τὸ τῇ μαγάδι διαψάλλειν μαγαδίζειν λέγει ἐν τούτοις κτλ.* 3. *ταυτον* A. *ἡμῖν* Mein. An. Ath. 305. 'minanti cuidam tormenta respondet servus: *frustra torquebis: nihil confitebimur.*' Dobr. Adv. II 348. de *μαγάδι* cf. Anaxandr. 35.

ΠΑΓΚΡΑΤΙΑΣΤΗΣ

Cf. Alexidis fabula cognominis.

8

ἑφθῶν μὲν σχεδὸν
τρεῖς μνᾶς. Β. λέγ' ἄλλο. Α. ῥυγχίον, κωλῆν, πόδας
τέτταρας ὑείους. Β. Ἡράκλεις. Α. βοὸς δὲ τρεῖς,
ὄρνιθ'. Β. Ἄπολλον. λέγ' ἕτερον. Α. σύκων δύο
5 *μνᾶς. Β. ἐπέπιες δὲ πόσον; Α. ἀκράτου δώδεκα*
κοτύλας. Β. Ἄπολλον, Ὥρε καὶ Σαβάζιε.

Athenaeus 10,417 b *ἐν Παγκρατιαστῇ παραγαγὼν* (*Θεόφιλος*) *τὸν ἀθλητὴν ὡς πολλὰ ἐσθίοντά φησιν κτλ.* v. 1—3 idem

3, 95a *Θεόφιλος Παγκρατιαστῇ κτλ.* 2. *μνᾶς* A 95] *μνας* A 417. *λέγε* A 95. 3. *ὑοὺς* A 417. *τρεῖς* A 95] *τρις* A 417. 4. *ὄρνιθα* A. 5. *μνας. ἐπιες δὲ ποσον* A. *ἐπέπιες* Iacobs. Add. Ath. 223. cf. Arist. Eq. 354. *πόσον ἀκράτου*; Porson. non credo. 6. *Ἄπολλον, Ὥρε* Lobeck. Aglaoph. 628 d] *ἀπολλόδωρε* A. *σεβάζιε* A. insanum artis athleticae amorem perstringit et quantam ciborum molem consumant athletae ridicule exaggerans demonstrat. idem ante Theophilum fecerant multi, in primis Euripides haud semel. reddit autem athleta apud cauponem ut videtur rationem eorum quae comederat. 3. 4. *avium* carnibus athletae meo iudicio non vescebantur. praeterea *βοὸς δὲ τρεῖς* non habet unde pendeat nisi *πόδας* (v. 2). at *πόδα βόειον οὐδὲ εἷς ὀπτᾷ* Diphilo teste 123. scribendum videtur *βοὸς δὲ τρεῖς* | *χόλικας*. cf. Pherecr. 108, 15. Aristoph. fr. 82. Eubul. 63, 4. de *Horo* Aegyptio Herod. 2, 144. 156. Plut. Is. Os. saepius. de *Sabazio* Aristoph. fr. 566. cf. quae ad Arist. Horas adnotavimus.

9

εἶτ' ἐν χάρακι μὲν ταῦτα καὶ παρεμβολῇ

Pollux 9, 15 *παίζοντι* (?) *τὸ στρατόπεδον ἔξεστι κατὰ τὴν τῶν πολλῶν χρῆσιν καὶ παρεμβολὴν ὀνομάσαι, παρεχόμενόν τινα τῶν νεωτέρων Θεόφιλον ἐν Παγκρατιαστῇ εἰρηκότα κτλ.* at *τινὲς δὲ καὶ τῶν νεωτέρων ποιητῶν ἐχρήσαντο τῇ λέξει, ὥσπερ δίφιλος καὶ κρίτων* ABC. itaque dubia res est. *παρεμβολή* haud raro apud Polybium. cf. Diphil. 57. Criton. 1.

ΠΡΟΙΤΙΔΕΣ

De *Proetidum* fabula cf. Preller. Myth. gr.[2] II 55 sq.

10

καὶ κύλικ' ἀ(κράτου) Θηρίκλειον εἰσφέρει
πλέον ἢ κοτύλας χωροῦσαν ἕπτ'. Β. ἀγαθῇ τύχῃ.

Athenaeus 11, 472 e *Θεόφιλος . . ἐν Προιτίσι κτλ.* 1. *κύλικ' ἀκράτου* K.] *κύλικα* A. cf. Alexid. 5. *μεγάλην* supplet Dindf., *κοίλην, πλήρη, μεστὴν* vel in exitu versus *τινὰ* Mein. 2. *πλεον* A. *ἕπτ'*] Z A. *Β. ἀγαθῇ τύχῃ* K.] *ἀγαθῆς τύχης* A. cf. Nicostr. 19.

ΦΙΛΑΤΛΟΣ

11

τοῦ μή ποτ' αὐτὸν ἐμπεσεῖν εἰς Λαΐδα
φερόμενον ἢ Μηκωνίδ' ἢ Σισύμβριον
ἢ Βάραθρον ἢ Θάλλουσαν, ἢ τούτων τινὰ

ὧν ἐμπλέκουσι τοῖς λίνοις αἱ μαστροποί,
ἢ Νανναρίον ἢ Μαλθάκην.

Athenaeus 13, 587 f Θεόφιλος Φιλαύλῳ κτλ. 2. μηκωνίδα A. 3. θάλλουσα A. 4. λίνοις Dalecamp.] λίθοις A. 5. Νανναρίον Mein.] ναυσιον A. μαλθάκην BP] μαλαθακην A. cf. Antiphanis Μαλθάκη. non recte Meinekius v. 5 aut delendum aut cum lacunae signo post v. 3 (2?) transponendum censet.

1. verbum unde pendebat τοῦ μὴ ἐμπεσεῖν (i. e. ἵνα μη ἐμπέσῃ) in eis quae antecedebant posuerat poeta. 4. obiectum verbi ἐμπλέκουσι quod iam Meinekius desiderabat deesse non potest. ΑΙΘΟΙΣ nihil est nisi ΝΕΟΙΣ. scribendum igitur ὧν ἐμπολῶσι τοῖς νέοις αἱ μ., unam de eis *quas lenae vendunt adulescentulis.* nam ἐμπολᾶν etiam est *vendere.* Arist. Pac. 448. 1201. Thesm. 452.

12

τίς φησι τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν;
ἦ πού τίς ἐστι τοὺς τρόπους ἀβέλτερος·
εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονάς,
καταλείπετ' οὐδὲν ἄλλο πλὴν τεθνηκέναι.
ἐγὼ μὲν οὖν καὐτὸς κιθαριστρίας ἐρῶν,
παιδὸς κόρης, οὐ νοῦν ἔχω πρὸς τῶν θεῶν;
κάλλει καλῆς, μεγέθει μεγάλης, τέχνῃ σοφῆς·
ἣν ἐστ' ἰδεῖν ἥδιον ἢ τὸ θεωρικὸν
ἔχουσιν ὑμῖν διανέμειν ἑκάστοτε.

Athenaeus 13, 563 a Θεόφιλος ἐν τῷ Φιλαύλῳ κτλ. v. 1—4 Antiphanis 324, ubi cf. quae adnotavimus. v. 7 om. fabulae auctorisque nomine Eustathius 1558, 14. v. 6 ante 7 ponendus videtur. 8. ἣν ἐστ' ἰδεῖν ἥδιον Burnei. ap. Gaisf. Eur. Suppl. 1101] ἣν ἰδεῖν ἴδιον ἐστιν A. ἣν εἰσιδεῖν Mein. An. Ath. 261. θεωρικὸν L] θεωρητικὸν A. 9. ἔχουσιν] ἑκοῦσιν Emper. αἰτοῦσιν Dalecamp. ὑμῖν Grotius Excerpt. 707] ἡμῖν A. διαμένειν ἑκὰς πόνων Iacobs. Add. Ath. 297. ἔχουσιν ὑμῖν διαπονεῖν ἑκάστοτε Herwerd. Stud. crit. 88. 'histrio qui agit amatorem ridicule partibus suis excidit. *virginem osculari,* inquit, *aliquanto dulcius est quam mimum actitare coram vobis, qui theatrali pecunia freti a miseris ludiis nihil non soletis exigere.*' διαλαλεῖν K. cf. Eur. Cycl. 175.

6. παιδὸς κόρης, ut Arist. Lys. 595 παῖδα κόρην (Mein.).

ΦΙΛΗΜΩΝ

Meinek. Menandri et Philem. reliquiae XLII sq.
Droysen. Hellenism. II 220. 247.

ΑΓΡΟΙΚΟΣ

Cf. quae ad Antiphanis *Ἄγροικον* et ad Philemonis *Ὑποβολιμαῖον* adnotantur.

1

Athenaeus 3, 81 d *Φιλήμων ἐν Ἀγροίκῳ τὰ κυδώνια μῆλα στρούθεια καλεῖ.* *στρούθεια* VL] *στρουθία* A. cf. Lobeck. Soph. Ai. 116. Euhul. 104 *στρούθιον στέφανον.*

ΑΓΥΡΤΗΣ

Μητραγύρτης est Antiphanis, *Ariolus* Cn. Naevii. O. Ribbeck. Com. Rom. fr.[2] 9.

2. 3

ὦ πῶς πονηρόν ἐστιν ἀνθρώπου φύσις
τὸ σύνολον· οὐ γὰρ ἄν ποτ' ἐδεήθη νόμου.
. . . . . .
οἴει τι τῶν ἄλλων διαφέρειν θηρίων
ἄνθρωπον; οὐδὲ μικρὸν ἀλλ' ἢ σχήματι·
πλάγι' ἐστὶ τἄλλα, τοῦτο δ' ὀρθὸν θηρίον.

Stobaeus Floril. 2, 26 *Φιλήμονος Ἀγύρτου* A et Marc. ap. Morellium Bibl. ms. gr. lat. 319. *Λυκούργου* Gesn. marg. et Schowius. 1. *ὦ πῶς* A, quod ne graecum quidem est. *φεῦ ὡς* 3 cod. Schow. *φεῦ* (extra v.), *ὡς παμπόνηρον* Duebn. *πάντως π.* C. Fr. Herm. Mus. Rhen. V 608. *πῶς οὐ* G. A. Hirschig. Ann. crit. 18. recte Naber. Mnem. nov. VIII 408 *οἴμ' ὡς*, quod frequentissimum est apud comicos. cf. inprimis Arist. Pac. 425. Thesm. 920. 1185. Cratin. 183, 3. Pherecr. 108, 20. quod in Gnomol. Urbin. W. Meyeri 25 est *ἀεὶ πονηρόν*, ab homine Christiano excogitatum esse videtur. 4. *ἄνθρωπον* add. Gesner. *ἀλλ' ἢ* Mein.] *ἀλλὰ*. cf. quae ad Arist. Eq. 780 congessimus exempla. *οὐδὲ μικρόν, ἀλλὰ σχήματα πλάγι' ἐστὶ κτλ.* Duebn.

versus a tertio ultimos a reliquis separandos et incerto poetae adsignandos esse censet Meinekius. cuius rei causam non perspicio. aut alteram personam haec loqui cum Schowio aut inter v. 2 et 3 nonnulla omisisse Stobaeum credo, omnia tamen ex eadem fabula petita. — cum hoc fragmento aliquo modo coniunctum fuisse 133, cuius v. 3 expressus videatur a Cn. Naevio in fr. incertae sedis 1 (106) *patí necessest múlta mortalés mala,* O. Ribbeckii est sententia.

ΑΔΕΛΦΟΙ

4

σὺ δ' εἰς ἅπαντας εὗρες ἀνθρώπους, Σόλων·
σὲ γὰρ λέγουσι τοῦτ' ἰδεῖν πρῶτον νόμον,
δημοτικόν, ὦ Ζεῦ, πρᾶγμα καὶ σωτήριον,
(καί μοι λέγειν τοῦτ' ἐστὶν ἁρμοστόν, Σόλων)
5 μεστὴν ὁρῶντα τὴν πόλιν νεωτέρων,
τούτους τ' ἔχοντας τὴν ἀναγκαίαν φύσιν
ἁμαρτάνοντάς τ' εἰς ὃ μὴ προσῆκον ἦν,
στῆσαι πριάμενόν τοι γυναῖκας κατὰ τόπους
κοινὰς ἅπασι καὶ κατεσκευασμένας.
10 ἑστᾶσι γυμναί· μὴ 'ξαπατηθῇς· πάνθ' ὅρα.
οὐκ εὖ σεαυτοῦ τυγχάνεις ἔχων· ἔχεις
. . . . πως· ἡ θύρα 'στ' ἀνεῳγμένη.
εἷς ὀβολός· εἰσπήδησον· οὐκ ἔστ' οὐδὲ εἷς
ἀκκισμὸς οὐδὲ λῆρος, οὐδ' ὑφήρπασεν·
15 ἀλλ' εὐθύς, ὡς βούλει σὺ χὢν βούλει τρόπον.
ἐξῆλθες· οἰμώζειν λέγ', ἀλλοτρία 'στί σοι.

Athenaeus 13, 569 de *Φιλήμων ἐν Ἀδελφοῖς* (sic Schweigh., *δελφοῖς* A) *προσιστορῶν ὅτι πρῶτος Σόλων διὰ τὴν τῶν νέων ἀκμὴν ἔστησεν ἐπὶ οἰκημάτων γύναια πριάμενος . . . οὕτως φησίν κτλ.* 1. *σὺ*] *εὖ* Grotius Excerpt. 765. *εἷς — ἧσας* (ab *ἥδειν*) Herwerd. Mnem. nov. IIII 318, conl. Epbipp. 6, 5, ubi cf. tamen quae adnotavimus. ac dicendum erat *εἷς ὢν κτλ.* 2. parenthesi includit Dobr. *λέγουσιν* A. *νόμον* A] *βροτῶν* Casaub. mihi transponenda videntur *νόμον* et *Σόλων* (v. 1): *σὺ δ' εἰς — ἀνθρώπους νόμον· σὲ γὰρ λ. — πρῶτον, Σόλων, δημ. κτλ.* 3. *δημωτικὸν* A. 4. *κἀμοὶ* Mein. 5. *ὁρῶντα* Grotius] *ὁρῶντι* A. 8. *τοι*] *τότε* Mein. in Atb. 12. *ἐστυκότως* suppl. Bentl. *ἔχων· ἴσως | σπασμός τις ἔλαβεν* (vel *τέτανος*) Dobr. *'στ'* Bentl.] *ἔσται* A. 15. *σὺ χὢν* Bentl.] *συχνὸν* A. 16. *λέγε* A. *'στί* Grotius] *τί* A.

lenonem loqui conligas ex v. 4. 6. *τὴν ἀναγκαίαν τύχην* Amphid. 20, 6. 11. de hac protasi paratactica (sine *εἰ*) cf. H. Iacobi Mein. V CCXXVIII. C. F. Hermann. Ind. Gott. 1850. Horat. Sat. 1, 2, 33 (Schweigb.). 14. Moer. 190, 1 *ἀκκισμός Ἀττικοί, προσποίησις Ἕλληνες*, ubi cf. Pierson. nos *Zierereі*. *ὑφήρπασεν' non illae se subtrahunt'*. Dalecamp. 15. cf. Xenarcb. 4, 17.

5

οὐκ ἂν λαλῇ τις μικρόν, ἐστὶ κόσμιος,
οὐδ' ἂν πορεύηταί τις εἰς τὴν γῆν βλέπων·

ὁ δ' ἡλίκον μὲν ἡ φύσις φέρει λαλῶν,
μηδὲν ποιῶν δ' ἄσχημον, οὗτος κόσμιος.

Stobaeus Ecl. 2, 15, 10 Wachsm. *Φιλήμονος Ἀδελφοῖς.* *Ἀδελφοῖς· οὐκ ἂν* Gaisf.] *ἀδελφεοῦ κἂν* cod.

ΑΙΤΩΛΟΣ

6

ἐλαφρός

ὁ τὰς φρένας κοῦφος. Φιλήμων Αἰτωλῷ. Bekker. Anecd. 96, 6. cf. fr. 171.

ΑΝΑΚΑΛΥΠΤΩΝ

Rectius fortasse *Ἀνακαλυπτήρια.* cf. Poll. 3, 36. Bekker. Anecd. 390, 26. Hesych. *ἀνακαλυπτήριον.* Harpocr. *ἀνακαλυπτήρια.*

7

οἴμοι· τὸ λυπεῖσθαι γὰρ ἐπὶ τὸ ῥῆμ' ἄγει
τοῦτ' εὐθύς, ὡς ἔοικε, τὸν λυπούμενον.
λυπουμένῳ δ' ὅταν τις ἀκολουθῶν λέγῃ
χαῖρ', ἐξ ἀνάγκης οὗτος οἰμώξειν λέγει.

Stobaeus Floril. 99, 3 *Φιλήμονος* A. v. 3. 4. idem 112, 13 *Φιλήμονος Ἀνακαλύπτοντος* A. Clericus *Ἀνακαλυπτομένη*, Fabricius *Ἀνακαλυπτήρια*, i. e. secundus tertiusve a nuptiis dies vel dona recens nuptae oblata. 1. *τὸ ῥῆμα τοῦτο*, i. e. *οἴμοι.* 4. *οἰμώζω* Trinc. 112.

ΑΝΑΝΕΟΥΜΕΝΗ

'Vetula repuerascens.' Mein. I 473. '*Der Jungbrunnen.*'

8

ψωμοκόλαξ δ' ἔσθ' οὑτοσί.

Athenaeus 6, 262 a *ψωμοκόλακος δὲ μνημονεύει ... Φιλήμων Ἀνανεουμένῃ κτλ.* *οὑτοσί* Bentl.] *οὗτος* A. — cf. Aristoph. fr. 167.

ΑΝΔΡΟΦΟΝΟΣ

Titulum, quo Bato quoque usus est, conl. Euphron. 10, 10 et Amphid. 30, 8 inlustravit Meinekius Men. et Phil. 360. *fraudulentus et rapax.*

9

πιεῖν τις ἡμῖν ἐγχεάτω, καὶ ματτύην
ποιεῖτε θᾶττον.

Athenaeus 14, 663 f *Φιλήμων ... ἐν Ἀνδροφόνῳ κτλ.* cf. 12 et 68.

ΑΠΟΚΑΡΤΕΡΩΝ

Cf. quae adnotantur ad Timocl. 18, 4.

10

νῦν δ' οἶδ' ἀκριβῶς τὴν τύχην ὡς οὐ μία,
οὐδ' ἔστι πρώην, ἀλλὰ μετὰ τῶν σωμάτων
ἡμῶν, ὅταν γινώμεθ', εὐθὺς χἡ τύχη
προσγίνεθ' ἡμῖν συγγενὴς τῷ σώματι·
5 κοὐκ ἔστιν ἕτερον παρ' ἑτέρου λαβεῖν τύχην.

Stobaeus Ecl. 1, 6, 11 Wachsm. *Φιλήμονος Ἀποκαρτεροῦντι.* 2. *ἔτι* Par.[1] *πρώην* Bentl.] *πρώτη.* 3. *γινώμεθ'* Bentl.] *γίνωντ'.* *χἡ* Bentl.] *καὶ ἡ.* 4. *προσγίνεσθ'* Farn. Par.[1] 5. *κοὐκ* Farn.] *οὐκ* Par. *ἑτέρου* et *τύχην* Farn. Par. — Herwerd. Nov. add. crit. 37 v. 3 *ἡμῖν* et v. 4 *οὖσα* pro *ἡμῖν.* mihi scripsisse videtur *ἡμῖν, ὅταν — ἀεὶ συγγενὴς κτλ.*

ΑΠΟΛΙΣ

Fortasse hanc Caecilius Statius in *Exsule* imitatus est. O. Ribbeck. Com. Rom. fr.[2] 42. sed cf. quae ad Alexidis *Φυγάδα* adnotavimus.

11

οὐχὶ μόνον οὗτος εὗρε πῶς λαλήσομεν
αὐτοῖς, ἀπέχοντες πολὺν ἀπ' ἀλλήλων χρόνον,
οὐδ' ὃν τρόπον μηδέποτε μηδὲ εἷς πάλιν
ἐπιλήσεθ' ἡμῶν μηδέν, ἐμβλέψας δέ που
5 τἀκ τοῦ χρόνου τοῦ παντὸς εἴσετ', ἀλλὰ καὶ
ψυχῆς ἰατρὸν κατέλιπεν τὰ γράμματα.

Stobaeus Ecl. 2, 4, 10 Wachsm. *Φιλήμονος ἐξ Ἀπόλλωνος* (*ἀπόλλ*ω S). *Ἀπόλιδος* Clericus. cui emendationi favet sententia eclogae. 1. *εὗρ' ὅπως* Mein. *λαλήσομεν* (corr. ex *λαλήσω*) S] *λαλήσε..* A[1]. *λαλήσετε* A[2]. 2. *αὐτοῖς* (i. e. *ἀλλήλοις*) Mein.] *αὐτοῖς.* perperam *δέλτοις* Iacobs. Animadv. Stob. 206. *πολλοὺς — χρόνους* Trinc. *πολλῶν* (corr. in *πολλύν*) *χρόνων* S. *πολὺν τόπον* G. A. Hirschig. Ann. crit. 18 conl. Alexid. 30, 4. 5, et Cobet. Mnem. nov. II 433. at cf. v. 5. 3. *εἷς* A. 4. *ἐπιλήψεθ'* AST.

1. *οὗτος*, i. e. *ὁ εὑρὼν τὰ γράμματα.* non credo Palamedem Prometheumve nominatum fuisse. Sexti Turpilii fr. inc. 1 (213) *sola res est quae praesentes homines absentes facit* contulit O. Ribbeck. Com. Rom. fr.[2] 111. 4. *ἐμβλέψας*, i. e. *εἰς τὰ γράμματα.* nam *που* est *opinor.*

ΑΡΠΑΖΟΜΕΝΟΣ

Alii *Ἁρπαζομένη.* eadem varietas in Caecilii Statii fabula sic inscripta. O. Ribbeck. Com. Rom. fr.[2] 44.

12

γυμνῷ φυλακὴν ἐπίταττε, καὶ διὰ τριῶν
ποτηρίων με ματτύης εὐφραινέτω.

Athenaeus 14, 663 f *ὅτι καὶ ὁ τρόπος τῆς τοιαύτης εὐωχίας ὁμοίως (ματτύης) ἐλέγετο, Φιλήμων φησὶν ἐν Ἁρπαζομένῳ κτλ.* v. 2 Photius *ματτύης· σκευασία τις περιφορημάτων, χρήσιμος εἰς πότον καὶ κῶμον πλείω. Φιλήμων* (*φιλήβων* cod.). 1. *ἐπιταττέτω* Dindf. *ἐπίταττε, παῖ* Mein. scr. *ἐπιτάττετ'* (mod. indicativ.)· *ἀλλὰ μετὰ κτλ. διατριῶν* A. *ὁ ματτύης ἡ ματτύη* ut *ὁ γύης ἡ γύη* (Mein.). Hesych. *ματτύης·* (*ἡ μὲν φωνὴ Μακεδονική.*) *ὄρνις καὶ τὰ ἐκ τοῦ ζωμοῦ αὐτοῦ λάγανα* (*λάχανα* Athen. 14, 663 e) *περιφερόμενα.* Poll. 6, 70 *ἡ ματύλλη Μακεδονικὸν εὕρημα, δίψους ἐγερτικὸν βρῶμα, ᾧ ἐχρῶντο μεσοῦντος τοῦ πότου.* cf. 9 et Arist. Nub. 451. de *proverbio γ. φ. ἐπιτάττειν* Pherecr. 144.

13

ὁρῶ μαγείρου καὶ κύβηλιν καὶ σκάφην.

Pollux 10, 104 *τυρόκνηστις, ἣν καὶ κύβηλιν καλοῦσιν... ἡ δὲ κύβηλις ἐν Φιλήμονος Ἁρπαζομένῳ κτλ. μαγείρους* Clericus. *μάγειρον* Mein. cf. Cratin. 315.

14

ὁ νακοτίλτης

(*τὸ ὄνομα*), *εἰ καὶ Φιλήμων αὐτῷ κέχρηται ἐν Ἁρπαζομένῃ, ἀλλ' οὐκ ἀνεκτόν.* Pollux 7, 28. cf. Cratin. 41.

ΑΥΛΗΤΗΣ

15

γεγενείακεν

Φιλήμων Αὐλητῇ. (a *γενειάζειν.*) Bekker. Anecd. 87, 27. *φιλίμ* cod.

ΒΑΒΥΛΩΝΙΟΣ

16

βασίλισσ' ἔσει Βαβυλῶνος, ἂν οὕτω τύχῃ.
τὴν Πυθιονίκην οἶσθα καὶ τὸν Ἅρπαλον.

Athenaeus 13, 595 c *μνημονεύει τούτων* (*Πυθιονίκης καὶ Ἁρπάλου*) *καὶ Φιλήμων ἐν Βαβυλωνίῳ κτλ.* 1. *βασίλισσ' ἔσῃ* Bentl.] *βασιλίσσαις ἢ* A. de forma *βασίλισσα* Lobeck. Phryn. 225. — militem audire mihi videor amicae montes auri pollicentem.

Diodor. 17, 108 (*Ἅρπαλος ἐν Βαβυλῶνι*) *τὴν ἐπιφανεστάτην τῶν ἑταιρῶν ὄνομα Πυθονίκην μετεπέμψατο* (Ol. 113, 2) *καὶ ζῶσάν τε αὐτὴν βασιλικαῖς δωρεαῖς ἐτίμησε καὶ μεταλλάξασαν ἔθαψε πολυ-*

τελῶς καὶ τάφον κατὰ τὴν Ἀττικὴν κατεσκεύασε πολυδάπανον. cf. Paus. 1, 37, 5 (4). Theopomp. Athen. 13, 586 c *μετὰ τὸν τῆς Πυθιονίκης θάνατον ὁ Ἅρπαλος μετεπέμψατο τὴν Γλυκέραν Ἀθήνηθεν· ἣν καὶ ἐλθοῦσαν οἰκεῖν ἐν τοῖς βασιλείοις τοῖς ἐν Ταρσῷ καὶ προσκυνεῖσθαι... βασίλισσαν προσαγορευομένην, ἀπειρῆσθαί τε ἐπὶ πᾶσι μὴ στεφανοῦν Ἅρπαλον, ἐὰν μὴ καὶ Γλυκέραν στεφανῶσιν.*

ΓΑΜΟΣ

Vel *Γαμῶν*. cf. fr. 19.

17

ὁλκεῖον εἶδον ἐπὶ τραπέζῃ κείμενον
πυρῶν τι μεστόν.

Pollux 10, 176 *ὁλκεῖον, ἀγγεῖον ὑγρῶν τε καὶ ξηρῶν ὡς ἐπὶ τὸ πολὺ χαλκοῦν, ὡς...ἐν Φιλήμονος Γάμῳ κτλ.*

18

ἐν Καρὶ τὸν κίνδυνον· οἶδα, δέσποτα.

Schol. Platonis 322 Bekk. *ἐν τῷ Καρὶ ὑμῖν ὁ κίνδυνος...: Φιλήμων ἐν Γάμῳ κτλ.* *B. οἶδα* Cobet. N. l. 22. non opus. servus animadvertens fore ut erus ipsum in discrimen committat 'in me' inquit 'periculum facere statuisti; scio, domine'. cf. Cratin. 16.

19

Bekker. Anecd. 92, 16 *ἐμὲ ἀντὶ τοῦ ἐμαυτόν, σὲ ἀντὶ τοῦ σαυτόν. Φιλήμων Γαμοῦντι· σῶζε σαυτόν, ἐγὼ δ' ἐμέ.* fortasse *Γάμῳ· οὐκοῦν σὺ σῷζε σαυτόν, | ἐγὼ δ' ἐμέ*, ut sint tetrametri iambici. ac *σὺ* iam Herwerd. Mnem. nov. VI 73.

20

θρασέα γυνή

Bekker. Anecd. 99, 24 *θρασέα· Φιλήμων Γάμῳ· θρ. γυνή. Γάλλῳ* et *θρασεῖα* cod. — fortasse *Θρασέα*, i. e. Thraseae uxor, quod nomen in titulis haud rarum est. cf. Roehl. Ind. C. I.

ΕΓΧΕΙΡΙΔΙΟΝ

Cf. quae ad cognominem Sophili fabulam adnotantur.

21

κακὴ μὲν ὄψις, ἐν δὲ δείλαιαι φρένες.

Stobaeus Floril. 8, 10 *Φιλήμων ἐν Ἐγχειριδίῳ* A. *δειλαὶ αἱ* Trinc. fortasse *δειλαὶ καὶ φρ.* nam Stobaei liber octavus est *περὶ δειλίας.*

ΕΜΠΟΡΟΣ

Plantus Mercat. prol. 9 *graece haec vocatur Emporos Philemonis, eadem latine Mercator Macci Titi.* cf. fr. 71. etiam Diphili fuit *Ἔμπορος*.

ΕΞΟΙΚΙΖΟΜΕΝΟΣ

Cf. quae de *Εἰσοικιζομένῳ* Alexidis adnotavimus.

22

κἂν δοῦλος ᾖ τις, οὐδὲν ἧττον, δέσποτα,
ἄνθρωπος οὗτός ἐστιν, ἂν ἄνθρωπος ᾖ.

Stobaeus Floril. 62, 28 *Φιλήμονος Ἐξοικιζομένου* A. 1. *ᾖ* B] *ἦν*. *δεσποτίς* A. at semper *δέσποινα* Attici. 2. *ἂν ἄνθρωπος ᾖς* C. F. Hermann. Mus. Rhen. V 609. *ἂν ἀγαθός τις ᾖ* Herwerd. Obs. crit. 83. sed cf. Menand. monost. 562 et Lobeck. Paralip. 556.
Cf. praeterea fr. 124.

ΕΠΙΔΙΚΑΖΟΜΕΝΟΣ

Cf. Meier. Schoem. Att. Proc. 462. Schoemann. Antiq. gr.[2] I 369.

23

ἥδιον οὐδὲν οὐδὲ μουσικώτερον
ἔστ' ἢ δύνασθαι λοιδορούμενον φέρειν·
ὁ λοιδορῶν γάρ, ἂν ὁ λοιδορούμενος
μὴ προσποιῆται, λοιδορεῖται λοιδορῶν.

Stobaeus Floril. 19, 2 *Φιλήμονος ἐκ τοῦ δικαζομένου* A. *ἐκ δικαζομένου* Voss. rectius titulus adfertur ibid. 13, 11 (fr. 24). v. 1. 2 Plutarchus Mor. 35d *φέρειν δὲ πράως καὶ σκώμματα καὶ λοιδορίας καὶ γέλωτας, μάλιστα μὲν τὸ τοῦ Φιλήμονος ἔχοντας πρόχειρον κτλ.* v. 3 Anton. Mel. 53 p. 79. 4. *ὁ λοιδορῶν* m. pr. A Stob. *ἂν μὴ προσποιῆται, cum se laedi dissimulat.*

24

πρόχειρον ἐπὶ τὴν γλῶτταν εὐλόγῳ τρέχειν

Stobaeus Floril. 13, 11 *Φιλήμονος Ἐπιδικαζομένου* A. constructio verborum sententiae non integrae admodum ambigua.

ΕΥΡΙΠΟΣ

Quia in Euripo Euboico fluctus septiens cotidie variabat, homines *inconstantes εὔριποι* ab Atheniensibus vocabantur. cf. Hesych. *εὔριπος*. Thom. mag. 339, 14. Liban. Ep. 533. Aeschin. 3, 90 cum schol.

25

στρῶμα μηλωτήν τ' ἔχει.

Pollux 10, 176 *εἴποις δ' ἂν καὶ μηλωτὴν τὴν τοῦ προβάτου δοράν, Φιλήμονος εἰπόντος ἐν Εὐρίπῳ κτλ.* Photius 265, 26 *μῆλα· πάντα τὰ τετράποδα· ὅθεν καὶ πᾶσα βύρσα μηλωτὴ καλεῖται.* Herodian. I 343, 27 *τὸ μέντοι μηλωτή..ὀξύνεται.*

ΕΦΕΔΡΙΤΑΙ

Ἐφεδρισταί vel *Ἐφεδρίζοντες* (cf. fr. 27) Meinekius IIII 10, i. e. homines *ἐφεδρισμόν* ludentes. cf. Poll. 9, 119. Hesych. *ἐφεδρίζειν* et *ἐφεδριστῆρας· τοὺς ἐπικαθημένους ἐν τῇ εἰρημένῃ παιδιᾷ.*

26

σκιμπόδιον ἓν καὶ κώδιον καὶ ψιάθιον
ἴσως παλαστῆς

Photius *παλαστή· θηλυκῶς ... Φιλήμων Ἐφεδρίταις κτλ.* cf. Cratin. 133.

27

χαλεπὸν τὸ ποιεῖν, τὸ δὲ κελεῦσαι ῥᾴδιον.

Stobaeus Floril. 114, 2 *Φιλήμονος ἐξ Ἐφεδριζόντων* A. *κελεῦσαι*] *καὶ λεῦσαι* A.

ΕΦΗΒΟΣ

28

οὐ τοῖς πλέουσι τὴν θάλατταν γίνεται
μόνοισι χειμών, ὡς ἔοικεν, ἀλλὰ καὶ
τοῖς περιπατοῦσί που, Λάχης, ἐν τῇ στοᾷ,
καὶ τοῖς μένουσιν ἔνδον ἐν ταῖς οἰκίαις.
5 *χοὶ μὲν πλέοντες ἐνίοθ' ἡμέραν μίαν*
ἢ νύκτα χειμασθέντες εἶτ' ἐκ τοῦ κακοῦ
σωτηρίας ἐπέτυχον· ἢ τὸ πνεῦμα γὰρ
αὐτοὺς τὸ σῷζον ἧκεν ἢ 'φάνη λιμήν.
ἐμοὶ δὲ τοῦτ' οὐκ ἔστιν· οὐκ εἰς ἡμέραν
10 *χειμάζομαι μίαν γάρ, εἰς τὸ ζῆν δ' ὅλον,*
ἀεὶ τὸ λυπεῖσθαι δὲ μεῖζον γίνεται.

Stobaeus Floril. 98, 20 *Φιλήμονος Ἐφήβῳ* A. 7. *ἢ τὸ*] *ἤτοι* Nauck. 8. *ἧκεν ἢ 'φάνη* Koen. Greg. Cor. p. 146] *ἢ μένη ἐφάνη. ἡμέρα ἐφάνη* A. *ἦλθεν ἢ ἐφάνη* Salmas. 10. *ὅλον* | *ἀεί, τὸ κτλ.* K.

5. Hor. Sat. 1, 1, 7 *horae momento cita mors venit aut victoria laeta.*

29

Κρομμύων πόλις

πόλις πλησίον Ἀσκάλωνος. Φιλήμων ἐν Ἐφήβῳ. ὁ πολίτης Κρομμυώνιος. Stephanus Byz. alterum *πόλις* add. R. *ἐφήβῳ* AV] *ἐφήβοις* R.

ΗΡΩΕΣ

30

ὑπέρου περιτροπή

ἐπὶ τῶν τὰ αὐτὰ ποιούντων πολλάκις καὶ μηδὲν ἀνυόντων, ἢ ἐπὶ τῶν ταχέως τι πραττόντων. μέμνηται δὲ αὐτῆς Φιλήμων ἐν Ἥρωσι. Schol. Plat. 367 Bekk. cf. Zenobius 6, 25. Plat. com. 1.

ΘΗΒΑΙΟΙ

31

ἐμοῦ γάρ ἐστι κύριος μὲν εἷς ἀνήρ,
τούτων δὲ καὶ σοῦ μυρίων τ' ἄλλων νόμος,
ἑτέρων τύραννος, τῶν τυραννούντων φόβος·
δοῦλοι βασιλέων εἰσίν, ὁ βασιλεὺς θεῶν,
5 *ὁ θεὸς ἀνάγκης. πάντα δ', ἂν σκοπῇς, ὅλως*
ἑτέρων πέφυκεν ἥττον', ὧν δὲ μείζονα.
τούτοις ἀνάγκη ταῦτα δουλεύειν ἀεί.

Stobaeus Floril. 62, 8. *Φιλήμονος Θηβαίων* A. 1. *μὲν* add. B. om. A. 2. *τοῦτον* A. *τούτου* Mein. 3. *ἑτέρων*] *νόμου* Herwerd. Anal. crit. 37, inter v. 3 et 4 nonnulla excidisse censens. 6. *ἥττον' ὧν* Dobr.] *ἡττόνων.* *ἧττον* A. 7. *τούτοις*] *οὕτως* Dobr. *ταῦτα*] *πάντα* Dobr. *ἥττον'· ὧν δὲ μείονα, τούτοις ἀν. ταῦτα κτλ.* Halm. Lect. Stob. 53. — 5. *ἂν σκοπῇς* absolute. cf. 104, 2. 134. Menand. 528 M. alia exempla congessit Iacobs. Lect. Stob. 15.

civi Atheniensi, qui ipsi servitutem exprobraverat, servus respondet per totam rerum naturam nihil esse liberum. recte mea sententia Dobraeus, nisi quod inter v. 3 et 4 haec fere inserenda videntur *χοὶ μὲν ξεναγοὶ τῶν σατραπῶν, οἱ δὲ σατράπαι.* tum *μέν — δέ* posita ut v. 1. 2, deinde asyndeton ut v. 3. 3. *ἑτέρων*, i. e. barbarorum, qui Graecis, inprimis Atheniensibus, soli legi parentibus (v. 2), opponuntur. 6. *ὧν δὲ* pro *τῶν δὲ*, ut 99, 2. 3. — Horat. C. 3, 1, 4. 5 contulit Clericus.

ΘΗΣΑΥΡΟΣ

Plautus Trinumm. prol. 18 *huic graece nomen est Thesauro fabulae: Philemo scripsit, Plautus vertit barbare: nomen Trinummo fecit.* etiam Menander *Thesaurum* scripsit; fortasse altera fuit alterius *διασκευή*. cf. fr. 33.

32

οὐκ ἔστ' ἀληθὲς παραλογίσασθ', οὐδ' ἔχειν
ὀψάρια χρηστά.

Athenaeus 9,385e *Φιλήμων Θησαυρῷ κτλ.* 1. *παραλογίζεσθ'* Bentl. *ἀληθῶς σε παραλογίσασθ'* G. Herm. Plaut. Trin. praef. xxvi. *οὐδ'*] *ὥστ'* G. Herm. *οὐκ ἔστ' ἐναλήθως* (*cum veri specie*) *παραλογίζεσθ'* — *χρηστά*; Fritzsch. Ind. Rost. aest. 1878, 6 conl. Lucian. Ver. hist. 1, 2. *οὐκ ἔστ', ἄλαστε, π.* Mein. fortasse *οὐκ ἔστιν, ὄλεθρε, σὲ παραλογίσασθ' ὧδ' ἔχοντ' ὀψάρι' ἄχρηστα.* atque *ὀψάρι' ἄχρηστα* Mein.

erus servo in ratione reddenda fraudem et fallacias exprobrat.

33

Κανθάρου σοφώτερος

ἡ παροιμία εἴρηται ἐπὶ τῶν πονηρῶν καὶ κακούργων· ἐπειδή τις Ἀθήνησι κάπηλος Κάνθαρος καλούμενος ἐπὶ πονηρίᾳ καὶ προδοσίᾳ θανάτου(ῳ) ἐζημιώθη. Zenob. 4, 65. *μέμνηται ταύτης Φιλήμων ἐν Θησαυρῷ* addit Zenob. Milleri (Mélanges 354). cf. Menand. 231 Mein.

Praeterea ad *Thesaurum* fr. 196. 9. 205 refert G. Hermannus Plaut. Trin. xxvi. vii.

ΘΥΡΩΡΟΣ

34

ἐγὼ γὰρ ὡς τὴν χλαμύδα κατεθέμην ποτὲ
καὶ τὸν πέτασον —

Pollux 10,164 *τὸ δὲ τῶν ἐφήβων φόρημα πέτασος καὶ χλαμύς· Φιλήμων ἐν Θυρωρῷ κτλ.* *ὡς* Cobet. N. l. 122] *ἐς.* 'postquam excessi ex ephebis. opponuntur *λαβεῖν τὴν χλαμύδα* et *καταθέσθαι*, ut *ponere praetextam* et *sumere togam virilem.*' cf. Antidot. 2, 2. *ποτέ*, *tandem aliquando.* deest apodosis.

ΙΑΤΡΟΣ

35

καὶ γύλιόν τιν' ἀργυρωμάτων

Athenaeus 6,231a *Φιλήμων Ἰατρῷ κτλ.* *γύλιόν* Casaub.] *γυλίαν* A. in exitu addo *πλέων.*

36

Κυδώνιον μῆλον

βραχέως (i.e. non *Κυδώνειον*). *Φιλήμων Ἰατρῷ.* Bekker. Anecd. 104, 13.

Praeterea ad *Medicum* fr. 112. 113 referebat Clericus.

ΚΑΤΑΨΕΥΔΟΜΕΝΟΣ

Cf. Alexidis *Τοκιστὴς ἢ Καταψευδόμενος.*

37

πάντ' ἔστιν ἐξευρεῖν, ἐὰν μὴ τὸν πόνον
φεύγῃ τις, ὃς πρόσεστι τοῖς ζητουμένοις.

Stobaeus Floril. 29, 28 *Φιλήμονος Κατἀψευδομένου* A. *ἐξευρεῖν*] *εὑρεῖν* B Trinc. cf. Alexid. 30 et com. anon. 421. 2 Mein. *πάντ' ἔστιν εὑρεῖν, πάντ', ἐὰν* nimia cum gravitate O. Hense Krit. Blätter 86. qui quae de caesura penthemimere apud novae comoediae poetas dicit somnia sunt.

ΚΟΙΝΩΝΟΙ

38

δεδράμηκα

Φιλήμων Κοινωνοῖς. Bekker. Anecd. 88, 25. cf. Menand. 740 Mein. Lobeck. Phryn. 619.

ΚΟΛΑΞ

Cf. fr. 225.

ΚΟΡΙΝΘΙΑ

39

εἰ τὰ παρὰ τοῖς ἄλλοισιν εἰδείης κακά,
ἄσμενος ἔχοις ἄν, Νικοφῶν, ἃ νῦν ἔχεις.

Stobaeus Floril. 108, 7 *Φιλήμονος ἐκ Κορινθίας* A.

40

Athenaeus 3, 123 de *τὸ δὲ χλιαρὸν ὕδωρ Ἀθηναῖοι μετάκερας καλοῦσιν, ὡς...Φιλήμων ἐν Κορινθίᾳ.*

ΜΕΤΙΩΝ Η ΖΩΜΙΟΝ

Ὁ μετιών est amator puellam ambiens. *Ζωμίον* parasitum dici censet Meinekius conl. Anaxandr. 34, 5 et Aristophont. 4, 3.

41

ἰχθὺς τί σοι
ἐφαίνεθ' οὑφθός; Β. μιαρὸς ἦν. ἀκήκοας;
ἅλμη τε λευκὴ καὶ παχεῖ' ὑπερβολῇ,
κοὐχὶ λοπάδος προσῶζεν οὐδ' ἡδυσμάτων·
5 *Α. ἐβόων δ' ἅπαντες 'ὡς ἀγαθὴν ἅλμην ποιεῖς.'*

Athenaeus 4, 133a *ἐχρῶντο γὰρ οἱ παλαιοὶ καὶ τοῖς εἰς ἀναστόμωσιν βρώμασιν . . . Φιλήμων δ' ἐν Μετιόντι ἢ Ζωμίῳ κτλ.* 1. *τί σοι* B] *τισσοι* A. 2. *οὐφθός* Dobr.] *ἑφθός* A. *μιαρὸς* Bentl.] *μικρὸς* A. *χρηστὸς* G. A. Hirschig. Ann. crit. 19. 3. *παχεία* A. 5. *Α.* add. Herwerd. Mnem. nov. VI 73. *δ'* add. Mein. — conloquuntur coquus et erus cenae adparatu minime contentus. *ὑπερβολῇ* (v. 3) etiam ad *λευκή* pertinet.

42

Ἀγύρριος δὲ παρατεθέντος καράβου,
ὡς εἶδεν αὐτόν 'χαῖρε πάππα φίλτατε'
εἴπας — Β. τί ἐποίει; Α. τὸν πατέρα κατήσθιεν.

Athenaeus 8, 340e *Φιλήμονος ἐν Μετιόντι εἰπόντος Ἀγύρριος — κατήσθιεν, Ἡρόδικος ὁ Κρατήτειος ἐν τοῖς συμμίκτοις ὑπομνήμασι τοῦ Καλλιμέδοντος υἱὸν ἀπέδειξεν ὄντα τὸν Ἀγύρριον.* Eustathius 1283, 37 *χρῆσις δὲ αὐτοῦ (πάππα) παρὰ Φιλήμονι ἐν τῷ Ἀγ. κτλ. ἦν γὰρ. . Ἀγύρριος υἱὸς Καράβου τοῦ φιλίχθυος.* 1. *Ἀγύρριος* Eust.] *ἀγύριος* A. 2. *πάππα*] *πα* A. 3. *τονπατέρα* A. — cf. Schaefer. Demosth. III 335. ceterum non necesse est in his duas personas discernere.

ΜΕΤΟΙΚΟΣ

Scripsit *Μέτοικον* etiam Antiphanes, *Μετοίκους* Crates, Pherecrates, Plato.

43

τἀκ τῶν ἁμαξῶν

ἐπὶ τῶν ἀσελγέστερα σκωπτόντων τάττουσι ταύτην. Ἀθήνησι γὰρ ἔνιοι μεθυσθέντες κωμάζουσι μεθ' ἡμέραν ἐφ' ἁμαξῶν καὶ τοὺς ἀπαντῶντας σκώπτουσι. μέμνηται ταύτης Φιλήμων ἐν τῷ Μετοίκῳ. Zenobius Milleri (Mélanges 358). similia, omissa tamen Philemonis mentione, Append. prov. 4, 80. *τἀκ*] *τὰ ἐκ.* *ἁμαξῶν* Append. prov.] *ἁμαξίων.*

ΜΟΙΧΟΣ

44

ἔδει παρεῖναι, Παρμένων, αὐλητρίδ' ἢ
νάβλαν τιν'. ΠΑΡΜ. ὁ δὲ νάβλας τί ἐστιν . . .
Α. . . . οὐκ οἶδας, ἐμβρόντητε σύ;
ΠΑΡΜ. μὰ Δία. Α. τί φῄς; οὐκ οἶσθα νάβλαν; οὐδὲν οὖν
5 *οἶσθ' ἀγαθόν. οὐδὲ σαμβυκίστριαν;*

Athenaeus 4, 175d *Φιλήμων ἐν Μοιχῷ κτλ.* v. 1. 2 (*τινά*) Pollux 4, 61 *ἀλλὰ μὴν καὶ νάβλας μνημονεύει Φιλήμων κτλ.* 2. *νάβλα τινά* A. *εἰπέ μοι* add. Casaub. *ἐστι δέσποτα* Mein. in Ath. 3.

νάβλας ὅ τι ἔστ' οὐκ οἶδας Mein. *οὐκ οἶσθας* Herwerd. Obs. crit. 84. cf. Cratin. 105. 4. *οὐδὲν οὖν* L] *οὐδέουν* A. 5. sic A. *οὐκοῦν οὐδὲ* Mein. in Ath. — varie constituerunt eclogam Iacobs. Add. Ath. 114. 5. Seidler. Vers. dochm. 398. Porson. Adv. 73. atque alia excogitari possunt. — Athen. 14, 633 f *ὀξύφθογγον εἶναι μουσικὸν ὄργανον τὴν σαμβύκην... χρῆσθαι αὐτῷ Πάρθους καὶ Τρωγλοδύτας τετραχόρδῳ ὄντι.* cf. Aristoph. fr. 241.

ΜΥΡΜΙΔΟΝΕΣ

45

Erotianus 73, 11 Klein. *ἔστιν ἐχῖνος χύτρας εἶδος μεγαλοστόμου καὶ μεγάλης. μέμνηται τῆς λέξεως...καὶ Φιλήμων ἐν Μυρμιδόσι.*

ΜΥΣΤΙΣ

Cf. quae ad Antiphanis *Mystin* adnotantur.

46

πολὺ μεῖζόν ἐστι τοῦ κακῶς ἔχειν κακὸν
τὸ καθ' ἕνα πᾶσι τοῖς ἐπισκοπουμένοις
δεῖν τὸν κακῶς ἔχοντα πῶς ἔχει λέγειν.

Stobaeus Floril. 100, 5 *Φιλήμονος Μύστιδος* A. 1. constr. *πολὺ μεῖζον κακόν ἐστι κτλ.* — *ἐπισκοπεῖν* (*-εῖσθαι*) dicitur sive medicus sive amicus, qui aegrotantem visit. Cobet. N. l. 692.

ΝΕΑΙΡΑ

Cf. Timoclis fabula cognominis.

47

ὥσπερ Σέλευκος δεῦρ' ἔπεμψε τὴν τίγριν,
ἣν εἴδομεν ἡμεῖς, τῷ Σελεύκῳ πάλιν ἔδει
ἡμᾶς τι παρ' ἡμῶν ἀντιπέμψαι θηρίον.
Β. τρυγέρανον· οὐ γὰρ γίνεται τοῦτ' αὐτόθι.

Athenaeus 13, 590 a *Φιλήμονα γὰρ οἶδα τοῦτ' εἰρηκότα ἐν Νεαίρᾳ κτλ.* Hesychius et Phavorinus *τρυγέρανος· φάσματι* (*φάσσῃ* Mein.) *ἐοικώς.* 2. *εἴδομεν* Dindf.] *ἴδωμεν* A. 3. *ἡμᾶς τι* Schweigh.] *τι ἡμᾶς* A. *τι* del. Clericus. 4. *τρυγερανον* et *γίγνεται* A. — quid sit *τρυγέρανος* prorsus ignotum. sed fuit fortasse cognomen hominis.

ΝΕΜΟΜΕΝΟΙ

48

ἀπὸ στόματος ἅπαντ', ἐὰν βούλησθ', ἐρῶ.

Bekker. Anecd. 436, 6 et Suidas *ἀποστοματίζειν. ὡς ἡμεῖς, τὸ μὴ διὰ γραμμάτων, ἀλλ' ἀπὸ μνήμης.* (*μὴ* add. Suid.) *Φιλήμων Νεμομένοις κτλ.*

ΝΟΘΟΣ

Nothus Nicasio fabula fuit Caecilii Statii. O. Ribbeck. Com. Rom. fr.[2] 55.

49

Eustathius 880, 30 *Αἴλιος Διονύσιος λέγει ὅτι Φιλήμων ἐπισκώπτει τὸ ὄνομα (βουνὸς) ὡς βάρβαρον· λόφον γὰρ καλοῦσιν. ἕτεροι δὲ ὅτι βουνὸν Φιλήμων ἐν Νόθῳ ὡς σύνηθες τίθησιν, ἄλλοθι δὲ ὡς ξενικὸν ἐπισκώπτει.* cf. 142.

50

πανοικίᾳ

ἀντὶ τοῦ πανοικί. Φιλήμων Νόθῳ. Bekker. Anecd. 112, 15. cf. Lobeck. Phryn. 514.

Praeterea cf. 183.

ΝΥΞ

51

τὸ κανοῦν δ' ὁ παῖς περίεισι τηνάλλως ἔχων.

Photius et Suidas *τηνάλλως· μάτην... ὁ Φιλήμων Νυκτί κτλ.*

52

νησίγδα

ἐν νυκτί. ἀποδιδόασι μασημάτιον ποιόν. Hesychius. ad Philemonis *Νύκτα* referebat Dobr. Adv. II 581. *νησίγδαι* Phavorinus. Oedipum suum exspectat.

ΠΑΓΚΡΑΤΙΑΣΤΗΣ

Cf. *Pancratiastes* Alexidis.

53

καὐτόν τι πράττειν· οὐ μόνον τὰς ἐλπίδας
ἐπὶ τῇ τύχῃ χρή, παιδίον, πάντως ἔχειν
ὧν βούλεταί τις, ἀλλὰ καὐτὸν τῇ τύχῃ
συλλαμβάνεσθαι· ῥᾷον ἡ τύχη πονεῖ,
5 *ἐὰν μεθ' ἑτέρου τοῦτο, μὴ μόνη, ποιῇ.*

Stobaeus Ecl. 2, 8 (7), 6 Wachsm. *Φιλήμονος Παγκρατιαστῇ.* 1. *καὐτόν* Grot.] *καὶ τόν* Par. (*κ*)*αὶ τόν* Farn. *μόνον*] *μὲν οὖν* Mein. 2. *χρή* add. Grot. *πάντων* olim Mein. 3. *τύχῃ* Grotius] *ψυχῇ* Farn. Par. *βούλεταί τις, ἀλλὰ καὐτὸν — συλλαμβάνεσθαι· ῥᾷον* Herwerd. Nov. add. crit. 37. Mnem. nov. VI 73] *βούλεται*

τις. ἀλλὰ καὶ τὸ (sic FP) — *συλλαμβάνεσθαι ῥᾷον.* 4. *συλλαβάνεσθαι* Farn. *πονεῖ* Wachsm.] *ποιεῖ.* 5. *καὶ ἐὰν* Par. *καὶ* in marg. add. Farn., unde *ἂν καὶ* Wachsm.

54

δοῦλος πρὸ δούλου, δεσπότης πρὸ δεσπότου.

Bekker. Anecd. 112, 5, Photius et Suidas *πρό· ἀντὶ τοῦ ἀντί. Φιλήμων Παγκρατιαστῇ κτλ.* Aristot. Polit. 1, 7 *κατὰ τὴν παροιμίαν δοῦλος κτλ. πρὸ*] *πρὸς* bis cod. Bekk. Anecd. — cf. Erasm. Adag. II 3, 445 (Mein.). apud paroemiographos frustra quaesivi.

ΠΑΙΔΑΡΙΟΝ

55

Ἕλλην γυνή

Φιλήμων Παιδαρίῳ. Bekker. Anecd. 97, 3.

ΠΑΙΔΕΣ

56

κακόν ἐστι δούλῳ δεσπότης πράττων κακῶς·
μετέχειν ἀνάγκη τῶν κακῶν γὰρ γίνεται.

Stobaeus Floril. 62, 29 *Φιλήμονος Παίδων* A. 'fortasse *Παιδίῳ* vel *Παιδαρίῳ.*' Mein. 1. *πράττων* Mein.] *πράσσων.*

ΠΑΛΑΜΗΔΗΣ

57

τοῦ γὰρ δικαίου κἂν βροτοῖσι κἂν θεοῖς
ἀθάνατος ἀεὶ δόξα διατελεῖ μόνου.

Stobaeus Floril. 9, 21 *Φιλήμονος ἐν Παλαμήδει. παλαμῆ* A. *Φιλήμονος ἐκ Παλαμήδους* Vind. '*Philiscus Palamede* Grotius, qui in annot. ms. corrigit *Philemon.*' Gaisf. 1. *κἂν θεοῖς* Mein.] *καὶ θεοῖς.* 'videtur ex Euripidis Palamede esse.' Mein. Stob. I xx. cf. Nauck. Tr. fr. 637. cum tot argumenta tragicorum comicorumque communia sint, nullam video causam, cur de *Philemonis* Palamede dubitetur.

ΠΑΝΗΓΥΡΙΣ

58

τὴν πλατεῖαν σοὶ μόνῳ
ταύτην πεποίηκεν ὁ βασιλεύς;

Pollux 9, 38 *τάχα δ' ἂν εὕροις . . εἰρημένην καὶ πλατεῖαν, ὡς οἱ νῦν λέγουσι, Φιλήμονος ἐν Πανηγύρει εἰπόντος κτλ.* 1. *πλατεῖαν*

σοὶ K.] πλατεῖάν σοι. μόνῳ Bentl.] μόνον. uno tetrametro troch. continuavit Bentleius scribens πεποίηχ'. deturbatus aliquis ab altero de via indignabundus interrogat, ipsine soli rex eam fecerit.

59

Αἰγύπτιος θοίμάτιον ἠρδάλωκέ μου.

Etymol. m. 436, 41 ἠρδάλωσε. Φιλήμων κτλ. ἀντὶ τοῦ ἠσβόλησεν, ἐμόλυνεν. Erotianus 56, 10 Klein. τὸ μολῦναι ἢ ῥυπᾶναι ἀρδαλῶσαι λέγεται καὶ ἄρδαλος ἄνθρωπος ὁ μὴ καθαρῶς ζῶν. μέμνηται τῆς λέξεως... Φιλήμων ἐν Πανηγύρει. Eustathius 1761, 29 Ἀριστοφάνης ὁ γραμματικὸς... προφέρων καὶ τὸ Αἰγ. κτλ. ἠρδάλωσε Eust. fortasse tamen non quem exscripsimus versus, sed ἄρδαλος ἄνθρωπος ad *Panegyrin* pertinet.

ΠΑΡΕΙΣΙΩΝ

Tituli rationem inlustrat Philippides 8 ψωμοκολακεύων καὶ παρεισιὼν ἀεί. cf. Mein. Men. Phil. p. 375.

60

τοὺς ἐν τῇ πόλει
μάρτυρας ἔχω γάρ, ὅτι μόνος φύσκην ποιῶ,
κάνδαυλον, ᾠά, θρῖον ἐν στενῷ. τί γὰρ
τούτων διάπτωμ' ἐγένετ' ἢ 'μάρτημα τί;

Athenaeus 12, 516 f μνημονεύει τοῦ κανδαύλου καὶ Φιλήμων ἐν Παρεισιόντι οὕτως κτλ. 2. φυσκην A. 3. ωαθριον A. στενω A. γὰρ add. Mein. 4. ἐγένετο A. τι] μοι K.

3. 'ἐν στενῷ *brevi tempore*' Mein. conl. Menand. 401 στενὸν χρόνον. at ἐν στενῷ pro ἐν βραχεῖ positum nullo exemplo confirmatur, sed ubicumque invenitur, est *in angustiis*. neque vero interest celeriusne an tardius τὸ θρῖον faciat, dummodo bonum sit. scribendum ἐντέχνως, antiquioribus ignotum (quamquam ἔντεχνος apud Platonem philosophum), sed recentioribus non inusitatum. cf. Phryn. Epit. 344 et Lob. 345. conlato schol. Arist. Eq. 954 forsan aliquis praeferat ἐν ζωμῷ.

commendat coquus artem tota urbe notam.

61

περὶ τοὐπτάνιον οὐ γίνεθ' ἡ σκευωρία·
τραπεζοποιός ἐστ' ἐπὶ τοῦ διακονεῖν.

Athenaeus 4, 170 f ἐκάλουν δὲ τραπεζοποιὸν τὸν τραπεζῶν ἐπιμελητὴν καὶ τῆς ἄλλης εὐκοσμίας. Φιλήμων Παρεισιόντι κτλ. 1. γίνεται A. σκευωρία Pursan. ap. Villebr.] σκεπτωρία A. 2. ὁ τραπ. K. ἐστ' Dindf.] ἐστιν A.

cf. Antiphan. 152. negat coquus *τοῦ τραπεζοποιοῦ* in culina ullam esse potestatem, quippe qui administri tantummodo partes agat.

ΠΑΡΟΙΝΟΣ

Cf. Antiphan. 146. *παροινικὸς ἀνὴρ* Arist. Ach. 981.

62

μῦς λευκός

ἐπὶ τῶν ἀκράτων (scr. *ἀκρατῶν*) *περὶ τὰ ἀφροδίσια ἡ παροιμία εἴρηται . . . ταύτης μέμνηται Φιλήμων ἐν Παροίνῳ.* Zenob. Milleri (Mélanges 355). perperam Millerus *ἐν Παρεισιόντι.* — cf. fr. 126, quod fortasse totum huc transferendum est. Cratin. 53. Epicrat. 9.

ΠΙΤΤΟΚΟΠΟΥΜΕΝΟΣ

Homo qui picis ope pilos e corpore evellit, i. e. effeminatus. Pollux 7, 165 *πιττοκόπος . . . πιττοκοπεῖσθαι, παρατίλτρια, παρατίλλεσθαι.* cf. Alexid. 264, 1.

63

ἰδοὺ πάρεστιν, ὡς ὁρᾷς· τριτημόρου
ἕκαστος ὑμῶν ἦλθεν· εἰς τοὺς τέτταρας
εἴληφεν ὑμῖν οὑτοσὶ τριώβολον.

Pollux 9, 66 *ὅτι δὲ τοὺς ἓξ χαλκοῦς τριτημόριον ὠνόμαζον, ἔστιν εὑρεῖν ἐν τῷ Φιλήμονος . . . Πιττοκοπουμένῳ κτλ. τεττάρων γὰρ καὶ εἴκοσι χαλκῶν ὄντων ἐν τῷ τριωβόλῳ, ἓξ ἑκάστῳ γίνονται χαλκοῖ τέτταρσιν οὖσιν, οὓς εἴρηκεν τριτημόριον.* Photius *τριτημόριον . . . ὅτι δὲ τριτημόριόν ἐστιν ἓξ χαλκοῖ, Φιλήμων διδάσκει.* Suid. et Zonar. *τριτημόριον τοὺς ἓξ χαλκοῦς τοῦ ὀβολοῦ εἴρηκε Φιλήμων.* Etym. m. 753, 50 *τριτημόριον τοὺς ἓξ χαλκοῦς εἴρηκε Φιλόξενος* (*Φιλήμων* Mein.). Bekker. Anecd. 306, 26 *τριτημόριόν ἐστιν οἱ ἓξ χαλκοῖ.* 2. *τοὺς* add. Clericus. 3. *ὑμῖν* Hemsterh.] *ἡμῖν. οὑτοσὶ* Salmas.] *οὑτωσί.*

'conductor quattuor mercennariorum debebat singulis sex chalcos: cum tot aenei chalci non essent ei ad manum, dedit uni tres obolos argenteos, aequivalentes quater sex chalcis, quos ipsi postea *κερματίζειν* possent.' Bentl.

64

ὀβολοῦ τὸ πρῶτον ἡμῖν ἐνέχεεν
καὶ τεττάρων χαλκῶν μετὰ ταῦτα. Β. καὶ μάλα·
τρί' ἡμιωβόλι' ἐστί· χαλκοῦ θερμὸν ἦν.

Pollux 9, 67 *ὅτι δὲ οἱ τέτταρες χαλκοῖ ἡμιωβόλιόν εἰσιν, ἐν τῷ αὐτῷ δράματι Φιλήμονος ἔστιν κτλ.* et 9, 70 *τουτὶ μέντοι τὸ*

παρὰ τῷ Φιλήμονι 'χαλκοῦ θερμὸν ἧν'... ἄντικρυς δηλοῖ τὴν τοῦ θερμοῦ πόσιν. 1. *ἐνέχεεν* Mein.] *ἐνεχθὲν.* — cf. fr. 74.

qui conloquuntur 'rationem computant eorum quae in taberna vinaria consumpserunt. *primum,* unus inquit, *obolo nobis caupo infudit, postea quattuor chalcis. recte,* infert alius, *summa rationum tribus constat semiobolis.* quibus dictis singulorum rationem computat: *χαλκοῦ θερμὸν ἧν* etc.' Mein.

Praeterea cf. anon. 478 Mein. et Wilamowitz. Herm. X 326. 7 n. 1.

ΠΤΕΡΥΓΙΟΝ

Tituli significatio obscura est.

65

τὸ τῆς Ἀμαλθείας δοκεῖς εἶναι κέρας
οἷον γράφουσιν οἱ γραφεῖς κέρας βοός;
ἀργύριόν ἐστι· τοῦτ' ἐὰν ἔχῃς, λέγε
πρὸς τοῦτ' εἰ βούλει, πάντα σοι γενήσεται,
5 *φίλοι, βοηθοί, μάρτυρες, συνοικίαι.*

Stobaeus Floril. 91, 13 *Φιλήμονος Πτέρυγες* A. Apostolius 16, 97. 1. *ἀμαλθείας* B] *ἀμαλθαίας.* illud verum esse testatur Herodian. I 273, 31. 3. *τοῦτ'* Vindob. Trinc. Apost.] *τοῦτο δ'. λέγε*] *λέγ' εἰ* A. 4. *τοῦτ' εἰ*] *τοῦθ' ὃ* B. *τοῦθ' ὅ τι* Wakef. scribendum est *τοῦτό γ' ἂν ἔχῃς, λέγειν πάρεσθ' ὅ τι β.* 5. *συνοικίαι*] *συνήγοροι* Mein. III xxx, ante v. 5 alium excidisse statuens, in cuius exitu fuerit *οἰκίαι. συναίτιοι* Gust. Krueger. ap. O. Hensium Lect. Stob. 44.

66

νυνὶ δ' ὅταν λάβῃ τις εἰς τὴν οἰκίαν
τὰς Ἱππονίκας τάσδε καὶ Ναυσιστράτας
καὶ Ναυσινίκας, τὰς Ἀθηναίας λέγω —

Stephanus Byz. *Ἀθῆναι· λέγεται (Ἀθηναία) καὶ ἐπὶ γυναικός, ὡς ἄλλοι μὲν πολλοί, Φιλήμων δὲ οὕτως ἐν Πτερυγίῳ (πτερυγίων* R) *κτλ.* v. 2. 3 Suidas *Ἀθηναία· Φιλήμων ἐν Πτέρυγι.* 2. *Ναυσιστράτας*] *Λυσιστράτας* Suid. 3. *Ἀθηναίας*, ut Pherecr. 34. — deest apodosis.

ΠΤΩΧΗ Η ΡΟΔΙΑ

67

Ἄρτεμι, φίλη δέσποινα, τοῦτόν σοι φέρω,
ὦ πότνι', ἀμφιφῶντα καὶ σπονδήσιμα.

Athenaeus 14, 645 a *ἀμφιφῶν πλακοῦς Ἀρτέμιδι ἀνακείμενος,*

ἔχει δ' ἐν κύκλῳ καόμενα δᾴδια. Φιλήμων ἐν Πτωχῇ ἢ Ῥοδίᾳ (πτωχῶι ηροδιαι A) κτλ. Πτωχῇ Casaub. 2. σπονδὴν ἅμα Mein. σπονδὰς ἅμα Coraes Schneider Suppl. lex. 178.

2. ὦ πότνια producta syllaba prima, ut Arist. Eccl. 369 ὦ πότνι' Εἰλείθυια. fortasse tamen πότνια, τὸν ἀμφ. — in exitu, si crederem Aeschylea voce Philemonem usum esse, scriberem καὶ σπονδῆς λίβα. cf. Choeph. 292. Eum. 54 (Burges). fr. 54. 69 Nauck.

68

ἐξὸν ἀποσάττεσθαι δ' ὅλην τὴν ἡμέραν,
ποιοῦντα καὶ διδόντα ματτύας ἐκεῖ —

Athenaeus 14, 664 d ὅτι δὲ ὕστατον καὶ ἐπὶ πᾶσιν εἰσεφέρετο (ματτύη) . . . Φιλήμων ἐν Πτωχῇ κτλ. ἀποσάττεσθαι *saburrari* Dalecamp. cf. Diphil. 43, 41. saepius sic σάττεσθαι. ceterum ex his quidem nequaquam conficitur mattyam semper ultimo loco adpositam fuisse.

69

εἰ πάντες ἀποθανούμεθ' οἷς μὴ γίνεται
ἃ βουλόμεσθα, πάντες ἀποθανούμεθα.

Stobaeus Floril. 108, 8 Φιλήμονος Πτωχῆς ἢ Ῥοδίας A (ῥωδίας).

70

σπάθην παραφαίνων δηλαδὴ χρυσένδετον

Pollux 10, 145 εἰ δὲ τοῦτο ἀμφίβολον (σπάθη idemne sit ac ξίφος), Φιλήμων ἐν Ῥοδίαις (Ῥοδίᾳ Mein.) σαφέστερον αὐτὸ ποιεῖ λέγων κτλ. cf. *chrysendeta* apud Martialem.

ΠΥΡΡΟΣ

Titulus ambiguae significationis.

71

οἱ φιλόσοφοι ζητοῦσιν, ὡς ἀκήκοα,
περὶ τοῦτό τ' αὐτοῖς πολὺς ἀναλοῦται χρόνος,
τί ἐστιν ἀγαθόν, κοὐδὲ εἷς εὕρηκέ πω
τί ἐστιν. ἀρετὴν καὶ φρόνησίν φασι, καὶ
5 λέγουσι πάντα μᾶλλον ἢ τί τἀγαθόν.
ἐν ἀγρῷ διατρίβων τήν τε γῆν σκάπτων ἐγὼ
νῦν εὗρον· εἰρήνη 'στίν· ὦ Ζεῦ φίλτατε,
τῆς ἐπαφροδίτου καὶ φιλανθρώπου θεοῦ.
γάμους, ἑορτάς, συγγενεῖς, παῖδας, φίλους,

10 πλοῦτον, ὑγίειαν, σῖτον, οἶνον, ἡδονὴν
αὕτη δίδωσι· ταῦτα πάντ' ἂν ἐκλίπῃ,
τέθνηκε κοινῇ πᾶς ὁ τῶν ζώντων βίος.

Stobaeus Floril. 55, 5 *Φιλήμονος ἐκ Πύρρου* A. *Φιλήμονος Ἐμπόρου* Mein. 2. *τ' αὐτοῖς*] *θ' ἑαυτοῖς* A Voss. *ἀναλοῦται πολὺς* A. 3. *τἀγαθόν ἐστιν* Brunck. Arist. Plut. 985. *ἐστι τἀγαθόν, οὐδὲ* Mein. *κοὐδὲ εἷς*] *οὐδεὶς* A. 5. *λέγουσι* Brunck.] *πλέκουσι.* fortasse *βλέπουσι.* 7. *εἰρήνη 'στίν* Grotius] *εἰρήνης τίν'.* 10. *ἡδονὴν* om. Voss. 11. *αὕτη δίδωσι ταῦτα πάνθ', ἂν ἐκλίπῃ* Mein. scr. *αὕτη δίδωσι ταῦτα πάντ'· ἂν δ' ἐκλίπῃ* (sc. *αὕτη, ἡ εἰρήνη*).

ΠΥΡΦΟΡΟΣ

Pollux 8, 116 *πυρφόρος παῖς αἱρετὸς ἐκ καθαρευούσης οἰκίας ὑπὸ χλανίδι καὶ στροφίῳ περιέρχεται, πῦρ ἐπὶ τοὺς βωμοὺς ἐπιτιθείς.* cf. C. F. Herm. Ant. rel. 36, 14.

72

οὐκ ἔστιν οὔτε ζωγράφος, μὰ τοὺς θεούς,
οὔτ' ἀνδριαντοποιός, ὅστις ἂν πλάσαι
κάλλος τοιοῦτον, οἷον ἀλήθει' ἔχει.
οὔτ' ἀνδριάντος γὰρ καλῶς πεπλασμένου,
5 *ἂν μὴ τὸν αἰσθησόμενον ἡ τέχνη λάβῃ.*

Stobaeus Floril. 65, 6 *Φιλήμονος Πυρφόρου* A. 1. *μὰ*] *μετὰ* A. 3. *τοσοῦτον* A. *ἀλήθει'*] *ἡ ἀλήθει'.* post v. 4 versum excidisse talem fere *οὔτ' ὄφελος οὐδὲν εὖ γεγραμμένης γραφῆς* coniecit Porson. Tracts 255.

de sententia v. 4. 5 cf. Alexid. 149, 1—4. conflata sunt duo fragmenta, quorum alterum nusquam tantam esse quantam veritatis venustatem, alterum nihil artem posse, nisi fruens ea animus accedat, docet; atque alterum supplemento eget (*οὔτ' αὖ γραφῆς ὄνησις εὖ γεγραμμένης*).

ΣΑΡΔΙΟΣ

Anulus significatur signatorius, quales saepissime ex sardonyche faciebant. Theophr. Lapid. 8. 23. 30. Plin. N. h. 37, 86 sq. fortasse testamentum sardonyche signatum argumentum fabulae praebuit.

73

εἰ τὰ δάκρυ' ἡμῖν τῶν κακῶν ἦν φάρμακον,
ἀεί θ' ὁ κλαύσας τοῦ πονεῖν ἐπαύετο,
ἠλλαττόμεσθ' ἂν δάκρυα δόντες χρυσίον·
νῦν δ' οὐ προσέχει τὰ πράγματ' οὐδ' ἀποβλέπει
5 *εἰς ταῦτα, δέσποτ', ἀλλὰ τὴν αὐτὴν ὁδόν,*

ἐάν τε κλάῃς ἄν τε μή, πορεύεται.
τί οὖν ποιεῖς πλέον; Α. οὐδέν· ἡ λύπη δ' ἔχει
ὥσπερ τὰ δένδρα τοῦτο καρπὸν τὸ δάκρυον.

Plutarch. Mor. 105 f *ἀπηρτημένως δὲ τούτοις ὁ κωμικὸς ἐπὶ τῶν δυσπαθούντων ἐπὶ ταῖς τοιαύταις συμφοραῖς ταυτὶ λέγει κτλ.* v. 1—4. 6—8 Stobaeus Floril. 108, 1 *Φιλήμονος* A. v. 1—3 idem 124, 18 *Φιλήμονος Σαρδίου* A. v. 7. 8 idem 122, 12 *Φιλήμονος* A. 1. *ἡμῶν* Stob. 108. 2. *αἰεὶ* Plut. 3. *χρυσίω* B Stob. 108. 4. *νυνὶ* A Stob. 5. *αὐτῶν* codices Wyttenb. 6. *πορεύσεται* Plut. 7. *τί οὖν πλέον ποιοῦμεν*; Plut., quod eiecto *οὐδέν* probat Cobet. V. l. 371. *τί οὖν πλέον σοί γ'*; *οὐδέν* Brunck. *ποιεῖς*] *ποεῖς* A Voss. Stob. 122. *λύπη σ'* A Stob. 8. *τὰ δένδρα* Plut.] *τὸ δένδρον* Stob. *τι δένδρον* Cobet. Mnem. VIIII 143. *τοῦτο* om. cod. Wytt. *τὰ δάκρυα* Plut. — verba *οὐδέν* — *τὸ δάκρυον* recte domino tribuit cur lacrimet excusanti Valckenaer. Diatr. 150. an *ἡ λύπη δ' ἀεὶ | ὥσπερ τὰ δένδρα τὸ δάκρυον καρπὸν φέρει*?

74

χαλκοῦς ὀφείλεις πέντε μοι. μέμνησ'; Β. ἐγὼ
σοὶ πέντε χαλκοῦς, σὺ δέ γ' ἐμοὶ τριτήμορον.
τοὺς ἓξ ἀποδοὺς τοὺς πέντε χαλκοῦς ἀπόλαβε.

Pollux 9, 65 *ὅτι δὲ τοὺς ἓξ χαλκοῦς τριτημόριον ὠνόμαζον, ἔστιν εὑρεῖν ἐν τῷ Φιλήμονος Σαρδίῳ κτλ.* Harpocratio 178, 11 *ὅτι τριτημόριόν ἐστιν ἓξ χαλκοῖ Φιλήμων ἐν ἀρχῇ τοῦ Σαρδίου* (*δίου* ABC) *διδάσκει.* cf. fr. 63. 64. 2. *γ'* add. Salmas. De mod. usur. 262. *τριτήμορον* Salmas.] *τριτημόριον.* ac recte Pollux 9, 66 *τὸ δὲ παρὰ Φιλήμονι τριτήμορον* (quamquam *τριτημόριον* A).

ΣΙΚΕΛΙΚΟΣ

Etiam Diphili est *Σικελικός*, fortasse *διασκευή* Philemoneae. cf. fr. 78. — aut *coquus* (Cratin. min. 1. Antiphan. 90. Epicr. 6) aut *medicus* (Epicr. 11, 28) intellegendus videtur.

75

ἄλλῳ πονοῦντι ῥᾴδιον παραινέσαι
ἔστιν, ποιῆσαι δ' αὐτὸν οὐχὶ ῥᾴδιον.
τεκμήριον δὲ τοὺς ἰατροὺς οἶδ' ἐγὼ
ὑπὲρ ἐγκρατείας τοῖς νοσοῦσιν εὖ σφόδρα
5 *πάντας λαλοῦντας, εἶτ' ἐὰν πταίσωσί τι,*
αὐτοὺς ποιοῦντας πάνθ' ὅσ' οὐκ εἴων τότε.
ἕτερον τό τ' ἀλγεῖν καὶ θεωρεῖν ἐστ' ἴσως.

Stobaeus Floril. 102, 4 *Φιλήμονος* A. v. 3 (*τοὺς ἰατρ.*) — 7

idem 114, 1 *Φιλήμονος ἐκ Σικελοῦ.* 1. *ἄλλῳ πονοῦντι* Bentl.] *ἄνθρωπον ὄντα.* 3. *δέ· τοὺς γὰρ* multo ante Cobetum Mnem. VIIII 143 Schaeferus: non recte. 5. *ἐὰν*] *ἐπὰν* 114. *πταίσωσί τι* | *αὐτοί,* Naber. Mnem. nov. VIII 409. 7. *καὶ*] *καὶ τὸ* Brunck. *ἕτερόν τι τἀλγεῖν τοῦ ϑ.* Cobet. Mnem. VIIII 143 et nov. II 444 conl. Philippid. 15, 5. — 6. *τότε,* 'cum ipsi aliorum morbos curarent.' Mein. *ἴσως* per ironiam dicit pro *certissime.*

76

ἐγὼ πρότερον μὲν ᾠόμην τῇ Σικελίᾳ
ἓν τοῦτ' ἀπότακτον αὐτὸ τοὺς τυροὺς ποιεῖν
καλούς· ἔτι ταῦτα προσετίθην ἀκηκοώς,
ἱμάτια ποικίλ' εἰ λέγοι τις Σικελικά.
5 *Β. σκεύη μὲν οὖν καὶ κτήματ' ᾠόμην φέρειν.*

Athenaeus 14, 658 a *Φιλήμων ἐν τῷ ἐπιγραφομένῳ Σικελικῷ κτλ.* 1. *ᾠόμην* Bentl.] *ᾤμην* A. *τῇ Σικελίᾳ* (suspensum ab *ἀπότακτον*) Dobr. Adv. II 288] *τὴν Σικελίαν* A. 2. sic VL. *εντουταποτακτοναυτὸν* A. 3. *ἔτι* Bentl.] *ἔτι τε.* post v. 3 A *τυρὸς Σικελικὸς ὅτι κράτιστος ἦν αἵ τε περιστεραὶ Σικελικαί,* eiecit Bentl. 4. *ποικίλα* A. 5. *Β.* add. K. *ᾠόμην* L] *ᾤμην* A. non recte Meinekius nec *σκεύη* nec *κτήματα* defendit Anal. Ath. 319. scrib. *ζεύγη μὲν οὖν κὠχήματ'.* cf. Critias Ath. 1, 28 b *εἶτα δ' ὄχος Σικελὸς κάλλει δαπάνῃ τε κράτιστος.* *ὄχημα* est Arist. Pac. 866.

77

τὸ δὴ λεγόμενον τοῦτο Μυσῶν ἔσχατον
ἐνόμιζ' ὁρᾶν τὸν υἱὸν ἐκπλέονθ' ὁρῶν.

Schol. Eurip. Rhes. 248 *τῆς 'ἔσχατος* (sic L. Dindf. pro *ἐσχάτης*) *Μυσῶν' παροιμίας μέμνηται Φιλήμων ἐν σκελετῷ* (*Σικελικῷ* L. Dindf.) *κτλ.* 2. *ἐνόμιζ'* Cobet.] *ἐνόμιζεν* A. — de proverbio cf. Magnet. 5. — dicitur nescio quis filio in mare evehente non magis perturbatus fuisse, quam si ignotus aliquis proficisceretur.

78

Pollux 4, 175 *ἔνιοι δὲ καὶ τῶν Ἀθήνησι κωμῳδούντων τῶν νέων, οἷον Φιλήμων ἐν Σικελικῷ ... λίτρας μνημονεύουσι.* idem 9, 81 *ὅτι δὲ καὶ τῶν κωμῳδῶν τινες τῆς λίτρας μνημονεύουσιν ... προείρηται. οὐ γὰρ οἱ Δωριεῖς μόνον ἀλλὰ καὶ τῶν Ἀττικῶν τινες, ὡς Δίφιλος ἐν Σικελικῷ* (fr. 71). Photius 227, 17 *λίτρα ἦν μὲν καὶ νόμισμά τι, ὡς Δίφιλος.* his testimoniis comparatis constat utrumque poetam id nummi genus commemoravisse. ac commemoravit etiam Posidippus 6 Mein.

ΣΤΡΑΤΙΩΤΗΣ

79

ὡς ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ
λέξαι μολόντι τοὔψον ὡς ἐσκεύασα.
νὴ τὴν Ἀθηνᾶν ἡδύ γ' ἔστ' εὐημερεῖν
ἐν ἅπασιν· ἰχθὺς ἁπαλὸς οἷος γέγονέ μοι,
5 οἷον παρατέθεικ', οὐ πεφαρμακευμένον
τυροῖσιν, οὐδ' ἄνωθεν ἐξανθισμένον,
ἀλλ' οἷος ἦν ζῶν, κὠπτὸς ὢν τοιοῦτος ἦν·
οὕτως ἁπαλὸν ἔδωκα καὶ πρᾷον τὸ πῦρ
ὀπτῶν τὸν ἰχθύν, οὐδὲ πιστευθήσομαι.
10 ὅμοιον ἐγένετ', ὄρνις ὁπόταν ἁρπάσῃ
τοῦ καταπιεῖν μεῖζόν τι· περιτρέχει κύκλῳ
τηροῦσα τοῦτο, καταπιεῖν δ' ἐσπούδακεν,
ἕτεραι διώκουσιν δὲ ταύτην. ταὐτὸν ἦν.
τὴν ἡδονὴν ὁ πρῶτος αὐτῶν καταμαθὼν
15 τῆς λοπάδος, ἀνεπήδησε κἄφευγεν κύκλῳ
τὴν λοπάδ' ἔχων, ἄλλοι δ' ἐδίωκον κατὰ πόδας.
ἐξῆν ὀλολύζειν· οἱ μὲν ἥρπασάν τι γάρ,
οἱ δ' οὐδέν, οἱ δὲ πάντα. καίτοι παρέλαβον
ἰχθῦς ποταμίους ἐσθίοντας βόρβορον·
20 εἰ δ' ἔλαβον ἄρτι σκάρον, ἢ 'κ τῆς Ἀττικῆς
γλαυκίσκον, ὦ Ζεῦ σῶτερ, ἢ 'ξ Ἄργους κάπρον,
ἢ 'κ τῆς Σικυῶνος τῆς φίλης ὃν τοῖς θεοῖς
φέρει Ποσειδῶν γόγγρον εἰς τὸν οὐρανόν,
ἅπαντες οἱ φαγόντες ἐγένοντ' ἂν θεοί.
25 ἀθανασίαν εὕρηκα· τοὺς ἤδη νεκρούς,
ὅταν ὀσφρανθῶσι, ποιῶ ζῆν πάλιν.

Athenaeus 7, 288 d *Φιλήμων δέ, τῆς κωμῳδίας ὁ ποιητής, καὶ αὐτὸς μνημονεύων τῶν ἐν Σικυῶνι διαφόρων γόγγρων, ποιεῖ τινα μάγειρον ἐπὶ τέχνῃ τῇ ἑαυτοῦ σεμνυνόμενον καὶ λέγοντα ἐν τῷ ἐπιγραφομένῳ Στρατιώτῃ τάδε κτλ.* v. 20. 1 Eustathius 853, 39 *ἱστορεῖται δὲ καὶ εἶδος ἰχθύος εὐδοκιμοῦντος ἐν Ἄργει εἶναι, ὡς δηλοῖ καὶ 'ἐξ Ἀττικῆς γλαυκίσκον, ἐξ Ἄργους κάπρον.'* v. 25. 6 Athenaeus 290 a *ὁ προειρημένος μάγειρος κτλ.* 1. *ὥσθ'* ex Eurip. Med. 57 Koenius. *καὶ οὐρανῷ* A. 5. *οἷον*] *τοῦτον* C. *τοῖον* Toup.: quod non est comicorum. scr. *ὀπτὸν παρατέθεικ', οὐ πεφ.* cf. 7. 'qualis mihi ementi obtigit, tener et molliculus (*ἁπαλός*), (talem) assum adposui.' 6. *ἐξανθισμένον* Naber. Mnem. nov. VIII 410] *ἐξηνθισμένον.* cf. Epicrat. 6, 5. Pherecr. 108, 16. 7. *κὠπτὸς* Dindf.] *καὶ ὀπτὸς* A.

τοιοῦτος ιο in ras. m.[1] A. 8. *πρᾶον* A. 9. *ὀπτῶν τὸν* C] *τὸν ὀπτὸν* A. in medio v. 9 non nihil videtur excidisse. 10. *ὁπόταν ὄρνις ἁρπάσῃ* Mein. An. Ath. 127. cf. quae adnotavimus ad Arist. Av. 167. 12. *καταπιεῖν* Mein.] *καταπιεῖν μεῖζον τι περι δ'* A, male repetitis litteris ex v. 11. 13. *διώκουσιν* Dindf.] *διώκουσι* A. 15. *ἀνεπήδησεν* A. 17. *ἐξῆλθ' ὀλολύζων* Dobr. Adv. II 288. quod non sufficit. 18. *οἶδ'* et *οἶδε* A. absurdum est quod cum alii iam aliquid adripuerint, alii dicuntur *omnia* rapuisse. scr. *οἱ δ' οὐδέν, οἱ δ' ἐδέοντο, orabant* illos ut sibi partem darent. 20. *εἰ δ' ἔλαβον* L] *εἰ δὲ λαβὼν* A. deinde *ἄρτι σαργόν* vel *σαυρόν* Mein. ed. mai. etiam *ἄρτι* admodum languidum. scr. *ἄρκτον, σκόμβρον*. Archestr. Ath. 3, 92d *τὰς ἄρκτους Πάριον*. Aristot. H. an. 5, 17 extr. *αἱ καλούμεναι ἄρκτοι . . . τοῦ χειμῶνος καὶ πρὶν ἐκτεκεῖν τοῦ ἔαρος ἅρισταί εἰσιν, ὅταν δ' ἐκτέκωσι, χείρισται*. 23. *Ποσειδῶν* Casaub.] *ὁ ποσειδων* A. 26. *ὅταν μόνον* Casaub. *ὅτανπερ* Porson.

1. inridet Medeam Euripidis 57. cf. Theognet. 1, 9 (Mein.). 2. *μολόντι*. confert Porson. Iph. Aul. 492 *ἄλλως τέ μ' ἔλεος εἰσῆλθε . . ἐννοουμένῳ*. 5. Hesych. *φαρμάσσων· βάπτων*. Hipponax 35, 2 Bergk. *οὐ τηγανίτας σησάμοισι φαρμάσσων*. 8. *ἁπαλόν*, *modicum* et *lenem* ignem. 18. tam ingens erat plausus et acclamatio, quamquam pisces erant vilissimi quos adparaveram. *atqui* (*καίτοι*) si bonos emere potuissem, quantus fuisset. 21. Archestr. Ath. 7, 305e *ἐς Ἀμβρακίαν ἐλθὼν . . τὸν κάπρον ἢν ἐσίδῃς, ὠνοῦ . . . κἂν ἰσόχρυσος ἔῃ . . . τὸ γάρ ἐστιν νέκταρος ἄνθος*. unde efficitur *Argos* esse *Amphilochicum*. 25. Plaut Pseud. 3, 2, 40 *ducenos annos poterunt vivere, meas qui esitabunt escas quas condivero*. (Mein.). — totam eclogam ac fortasse fabulam Philemonis minoris esse suspicatur Schweighaeuser. cf. infra Philem. min. fr. 1.

ΣΥΝΑΠΟΘΝΗΙΣΚΟΝΤΕΣ

80

ἠγόρασα νῆστιν κεστρέ' ὀπτὸν οὐ μέγαν.

Athenaeus 7, 307e *Φιλήμων Συναποθνῄσκουσιν* (*ι* adscr. A) *κτλ. κεστρέ'*] *κεστρέονα* A. de elisa *ᾰ* cf. Dobr. Auct. Pors. Miscell. 384. Theophil. 1, 3. Machon. Athen. 577d *τὸν βασιλέ' εὐμελῶς*. pisces etiam *ὀπτούς* emptos commemorat Alexis quoque 15, 16. cf. 27, 7.

ΣΥΝΕΦΗΒΟΣ

81

ἱμάτια διαφαίνοντα καὶ πέδην τινὰ
χρυσῆν

Clemens Alex. Paed. 2, 12, 122 *πέδας δὲ περισφυρίους τὴν*

περὶ τοὺς πόδας ἀκοσμίαν τῶν γυναικῶν Φιλήμων ἐν Συνεφήβῳ προσεῖπεν κτλ. Plin. H. n. 33, 151 *luxu feminarum plebis compedes sibi ex eo* (argento) *facientium.* fort. addendum *περισφύριον.*

ΥΠΟΒΟΛΙΜΑΙΟΣ

Clemens Alex. Strom. 6, 2, 26 *τὸν Κώκαλον τὸν ποιηθέντα Ἀραρότι τῷ Ἀριστοφάνους υἱῷ Φιλήμων ὁ κωμικὸς ὑπαλλάξας ἐν Ὑποβολιμαίῳ ἐκωμῴδησεν.* unde primam fuisse hanc Philemonis fabulam Meinekius coniecit Men. Phil. XLV. cf. Bergk. Mein. II 1091 et quae ad Aristophanis *Cocalum* adnotavimus I 482. 3. Menandri est *Ὑποβολιμαῖος ἢ Ἄγροικος.* atque *Ἄγροικος* est etiam Philemonis.

82

ἀεὶ γεωργὸς εἷς νέωτα πλούσιος.

Stobaeus Floril. 57, 8 *Φιλήμων ἐν Ὑποβολιμαίῳ* A. sine poetae nomine Etym. m. 600, 56. Zonar. *νέωτα.* Zenob. 2, 43. Apostol. 1, 39. Gregor. Cypr. Leid. 1, 28 (*γεωμόρος*). App. prov. 1, 6 (*γεωμόρος*). Macar. 1, 34.

83

στοιχεῖον

ἡ σκιά. Φιλήμων Ὑποβολιμαίῳ. Photius.

ΦΑΣΜΑ

Cognomines fabulae sunt Menandri et Theogneti (*Φ. ἢ Φιλάργυρος*). ex Philemonis comoedia expressa est Plauti *Mostellaria,* quae etiam *Phasma* dicebatur. Fest. 162. 305 Müll. et *Phasma* mimum inscripsit Catullus. O. Ribbeck. Com. Rom. fr.[2] 392. — Herod. 6, 69 *ἦλθέ μοι φάσμα εἰδόμενον Ἀρίστωνι.*

84

ἔπιεν ἡ Ῥόδη
κυμβίον ἀκράτου· κατασέσειχ' ὑμᾶς ἄνω.

Athenaeus 11, 481 d *κυμβία, τὰ κοῖλα ποτήρια καὶ μικρά . . . Φιλήμων Φάσματι κτλ.* Macrobius Saturn. 5, 21 (— *ἀκράτου*). 1. *ἔπιεν* Paris. Macr.] *ἐπεὶ δ'* A Ath. 2. *κατασέσειχ'* Dindf.] *κατασέσεικεν* A. *ἡμᾶς* Mein. *ἄφνω* K.

contulit Meinekius Menand. 11. nos '*unter den Tisch trinken*'. Horat. Epod. 12, 7 sq. (Plaut. Most. 274 sq.) et C. 2, 13, 5 sq. (Plaut. Most. 479 sq.) aliquo modo ex Philemonis Phasmate ducta esse existimat Fr. Leo Herm. XVIII 563.

ΦΙΛΟΣΟΦΟΙ

85

φιλοσοφίαν καινὴν γὰρ οὗτος φιλοσοφεῖ·

πεινῆν διδάσκει καὶ μαθητὰς λαμβάνει.
εἷς ἄρτος, ὄψον ἰσχάς, ἐπιπιεῖν ὕδωρ.

Diog. Laert. 7, 24 *Φιλήμων φησὶν οὕτως ἐν δράματι Φιλοσόφοις κτλ.* Clemens Alex. Strom. 2, 20, 121 *Ζήνωνι τῷ Στωικῷ τὴν διδασκαλίαν μαρτυροῦσι καίτοι διασύροντες οἱ κωμικοὶ ὧδέ πως κτλ.* Suidas *Ζήνων Μνασέου ... οὗτος γὰρ ἄκραν εἶχε δίαιταν καὶ λιτήν, ὥστε καὶ εἰς παροιμίαν χωρῆσαι (Ζήνωνος ἐγκρατέστερος). φιλοσοφίαν καινὴν γὰρ οὗτος ἐφιλοσόφει.* 1. *καινὴν* Diog.] *κενὴν* Clem. cf. Cobet. N. l. 330.

Cf. praeterea fr. 91 et 146.

ΦΥΛΑΚΗ

86

βοῦς ἕβδομος

ἐπὶ τῶν ἄγαν ἀναισθήτων εἴρηται ἡ παροιμία ... μέμνηται τῆς παροιμίας Φιλήμων ἐν Φυλακῇ. Zenobius Milleri (Mélanges 357). cf. Euthycl. 2. Posidipp. *Ἀρσινόῃ* (fr. 6).

ΧΑΡΙΤΕΣ

Cf. fr. 226.

ΧΗΡΑ

87

Athenaeus 11, 497 ef *σαννάκρα. Κράτης ... ἔκπωμά φησιν εἶναι οὕτω καλούμενον. ἔστι δὲ Περσικόν. Φιλήμων δ' ἐν Χήρᾳ βατιακῶν μνησθεὶς καὶ τῇ γελοιότητι τοῦ ὀνόματος προσπαίξας φησί· σαννάκρα, ἱπποτραγέλαφοι, βατιάκια, σαννάκια.* verba prorsus obscura, ut non opus sit hominum doctorum opiniones referre. offendit non solum idem vocabulum repetitum, quod vitare possis, si alterum *σαννάκια* alteri personae cum interrogatione tribuas, sed etiam quod *βατιάκια* post *σαννάκρας* inferuntur contra Athenaei ipsius fidem (*βατιακῶν μνησθείς*).

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

88

πολύ γ' ἐστὶ πάντων ζῷον ἀθλιώτατον
ἄνθρωπος, εἴ τις ἐξετάζοι κατὰ τρόπον·
τὸν γὰρ βίον περίεργον εἰς τὰ πάντ' ἔχων
ἀπορεῖ τὰ πλεῖστα διὰ τέλους πονεῖ τ' ἀεί.
5 *καὶ τοῖς μὲν ἄλλοις πᾶσιν ἡ γῆ θηρίοις*
ἑκοῦσα παρέχει τὴν καθ' ἡμέραν τροφήν,
αὐτὴ πορίζουσ', οὐ λαβοῦσα . . .
. . . . . πάνυ μόλις

ὥσπερ τὸ κατὰ χρέος κεφάλαιον ἐκτίνει
10 τὸ σπέρμα, τοὺς τόκους δ' ἀνευρίσκουσ' ἀεὶ
πρόφασίν τιν' αὐχμὸν ἢ πάχνην ἀποστερεῖ.
καὶ δὴ τυχὸν μὲν διὰ τὸ παρέχειν πράγματα
μόνους ἑαυτῇ καὶ ποιεῖν τἄνω κάτω
ταύτην παρ' ἡμῶν λαμβάνει τιμωρίαν.

Stobaeus Floril. 98, 17 *Φιλήμονος* A. 7. lacunam indicavit Mein. 9. *ὥσπερ*] *ὅπερ* B. *τι κατάχρεων* Mein. Stob. III xxxix. 10. *ἀνευρίσκουσ'* Gesner] *εὑρίσκουσ'*. 11. *ἀποστερεῖ*] *ἀποστέλλει* AB. 12. *δὴ* om. AB. 13. *ἑαυτῇ* Grotius] *ἐν αὐτῇ*. *ταύτῃ* A.
5 sq. 'sententia haec est: et reliquis quidem animalibus terra cotidianum victum suppeditat nullo semine creatum; nobis autem, etiamsi multum seminis acceperit, aegerrime id ipsum rependit.' Mein. itaque quae exciderunt sic fere expleas *οὐ λαβοῦσα σπέρματος | οὐδέν, βροτοῖς δὲ πολὺ λαβοῦσα πάνυ μόλις κτλ.*, unde etiam causa cur exciderint cognoscitur. 10. confert Meinekius Horat. C. 3, 1, 30 sq.

89

τί ποτε Προμηθεύς, ὃν λέγουσ' ἡμᾶς πλάσαι
καὶ τἄλλα πάντα ζῷα, τοῖς μὲν θηρίοις
ἔδωχ' ἑκάστῳ κατὰ γένος μίαν φύσιν;
ἅπαντες οἱ λέοντές εἰσιν ἄλκιμοι,
5 δειλοὶ πάλιν ἑξῆς πάντες εἰσὶν οἱ λαγῴ.
οὐκ ἔστ' ἀλώπηξ ἡ μὲν εἴρων τῇ φύσει
ἡ δ' αὐθέκαστος, ἀλλ' ἐὰν τρισμυρίας
ἀλώπεκάς τις συναγάγῃ, μίαν φύσιν
ἁπαξαπασῶν ὄψεται τρόπον θ' ἕνα.
10 ἡμῶν δ' ὅσα καὶ τὰ σώματ' ἐστὶ τὸν ἀριθμὸν
καθ' ἑνός, τοσούτους ἔστι καὶ τρόπους ἰδεῖν.

Stobaeus Floril. 2, 27 *Φιλήμονος* A. 1. *ποθ' ὁ* A. 5. *λαγῴ* Mein.] *λαγοί*. *λαγωοί* A. 9. *ἁπαξαπασῶν* cod. Marc. ap. Mein.] *ἁπαξάπασιν*. 11. *καθ' ἕνα τοσούτους* Mein.
5. Iph. A. 341 *διδοὺς πρόσρησιν ἑξῆς πᾶσιν*. Arist. Eccl. 638 *ἑξῆς τὸν* (scr. *τότε*) *πάντα γέροντα*. Eurip. fr. 658 N. *πάσας ... γυναῖκας ἑξῆς*. Plat. Theaet. 152e 193b *πάντες ἑξῆς*. attuli haec propter G. A. Hirschig. Ann. crit. 19. 7. *αὐθέκαστος*, '*simplex, candida*' Mein. cf. Wyttenbach. Plut. Mor. 11e.

90

μείζω τὰ κακὰ ποιοῦσι πολλοί, δέσποτα,
αὐτοὶ δι' αὑτοὺς ἢ πέφυκε τῇ φύσει.

οἷον τέθνηκεν υἱὸς ἢ μήτηρ τινί,
ἢ νὴ Δί' ἄλλων τῶν ἀναγκαίων γέ τις·
5 ἂν μὲν λάβῃ τοῦτ' 'ἀπέθαν', ἄνθρωπος γὰρ ἦν,'
τοσοῦτο γέγονε τὸ κακὸν ἡλίκον περ ἦν.
ἐὰν δ' 'ἀβίωτος ὁ βίος, οὐκ ἔτ' ὄψομαι,
ἀπόλωλ',' ἐν ἑαυτῷ τοῦτ' ἐὰν σκοπῇ, κακὰ
πρὸς τοῖς κακοῖς οὗτος ἕτερα συλλέγει.
10 ὁ δὲ τῷ λογισμῷ πάντα παρ' ἑαυτῷ σκοπῶν
τὸ κακὸν ἀφαιρεῖ, τἀγαθὸν δὲ λαμβάνει.

Stobaeus Floril. 108,33 *Φιλήμονος* A. 5. *ἂν* Mein.] *εἰ.* ὁ A. *λάβῃ*] *λαλῇ* Bentl., quod 'nonnumquam est *dictitare*' Mein. *τοῦτ'*] *τότ'* K. 6. *τοσοῦτο* Bentl.] *τοσοῦτον.* 7. *δ'* om. A. 8. *ἀπόλωλ'* (*ἀπόλωλα*) Iacobs. Add. Ath. 57] *ἀπόλωλεν.* *κακὰ* in v. 8 ex fine v. 9 transtulit Iacobs. 9. *κακοῖσιν* Iacobs. 8 et 9 concidens *ἀπόλωλ', ἕτερα κακοῖσιν οὗτος συλλέγει* O. Hense Lect. Stob. 10. 11. neutrum verum est, sed *πρὸς τοῖς κακοῖς τοῖς οὖσιν ἕτερα συλλ.*
2. contulit Meinekius Soph. Phil. 79. Eur. Bacch. 896. Alexid. 156, 7. Baton. 2, 8.

91

ὃν οὐδὲ εἷς λέληθεν οὐδὲ ἓν ποιῶν,
οὐδ' αὖ ποιήσων, οὐδὲ πεποιηκὼς πάλαι,
οὔτε θεὸς οὔτ' ἄνθρωπος, οὗτός εἰμ' ἐγώ,
Ἀήρ, ὃν ἄν τις ὀνομάσειε καὶ Δία.
5 ἐγὼ δ', ὃ θεοῦ 'στιν ἔργον, εἰμὶ πανταχοῦ,
ἐνταῦθ' ἐν Ἀθήναις, ἐν Πάτραις, ἐν Σικελίᾳ,
ἐν ταῖς πόλεσι πάσαισιν, ἐν ταῖς οἰκίαις
πάσαις, ἐν ὑμῖν πᾶσιν· οὐκ ἔστιν τόπος,
οὗ μή 'στιν Ἀήρ· ὁ δὲ παρὼν ἀπανταχοῦ
10 πάντ' ἐξ ἀνάγκης οἶδε πανταχοῦ παρών.

Stobaeus Eclog. 1, 1 (2), 32 et 1, 10, 10 Wachsm. *Φιλήμονος.* v. 1—4 Vita Arati II 438 *οἱ δὲ Δία τὸν ἀέρα ἀκούσαντες φέρουσι μάρτυν Φιλήμονα τὸν κωμικόν· φησὶ γὰρ κτλ.* Schol. lat. Arati II 37 Buhl. *Iovem dictum aera: et Crates quidem eiusdem est opinionis, testemque esse Philonem* (*Philemonem*) *comicum ὃν οὐδὲ εἷς λέληθεν οὐδὲ ἓν ποιῶν, OYTσ κακu OYTe rρec ΘΑΝΟΙceΥΜειειω.* ita ms. Dietz. v. 4 Etym. m. 389, 38 *φησὶ Πλάτων ὁ κωμικός κτλ.* 1. *ὃν* om. Farn. Par. 1, 10. *ἐνποιῶν* Par. 2. fortasse Christiani interpolatoris est. *αὖ* Wakefield.] *ἂν.* 3. *οὔτε κακὸν οὔτ' ἄρ' ἐσθλὸν* Mein. *εἰμι* FP 1, 10, *εἰ μὴ* 1, 1. 5. *ὃ* Farn. 1, 10] *ὁ* FP 1, 1. *θεοῦ 'στιν* om. FP 1, 1 spatio relicto. 6. om. FP 1, 1. *εἰ ταῦθ'* F 1, 10. 8. *πᾶσιν* F] *πᾶσα* P 1, 1. 9. *οὗ* P 1, 1 et

P² 1, 10] οἷς FP¹ 1, 10. μή στιν FP 1, 10. μὴ ἔστιν FP 1, 1. deinde ὅδε FP 1, 1. 10. οἶδε F 1, 10] ὁ δὲ FP 1, 1. οἳ δὲ P 1, 10. πάντ' ἐξ ἀνάγκης οἶδε, πάντα πανταχοῦ iteratione usus qua mirum in modum delectatur O. Hense Lect. Stob. 15. πανταχοῦ παρών del. Wachsmuth.

cum Etymologico Platoni comico hanc eclogam tribuunt Porson. Adv. 299 et Cobet. Obs. crit. Plat. 180 sq., Euripidis inrisionem Platoni magis quam Philemoni convenire iudicantes. sed quamquam Euripidis cavillatio ne novae quidem comoediae poetis inusitata est, non Aera Iovem esse dixit Euripides, sed Aethera. cf. Mein. IIII 875 et Plat. com. 260. neque omnino haec ad Euripidem, sed ad veterum philosophorum, Ionicorum potissimum, placita pertinent, inter quos iam Anaximenes aera omnium rerum principium esse statuerat. cf. etiam Diogen. Apollon. ap. Simplic. Aristot. Phys. fol. 32 b. 33 ab. quod Aera *deum* adpellat Philemon, idem Anaximenem fecisse, falso sane, narrat Cicero Ndeor. 1, 10. — his igitur placitis ita usus est Philemon, ut Aera, in *Philosophis* opinor, prologi partes agentem faceret.

92

ἀεὶ τὸ πλουτεῖν συμφορὰς πολλὰς ἔχει,
φθόνον τ' ἐπήρειάν τε καὶ μῖσος πολύ,
πράγματά τε πολλὰ κἀνοχλήσεις μυρίας,
πράξεις τε πολλὰς συλλογάς τε τοῦ βίου.
5 ἔπειτα μετὰ ταῦτ' εὐθὺς εὑρέθη θανών,
ἄλλοις καταλείψας εἰς τρυφὴν τὴν οὐσίαν.
ὅθεν πένεσθαι μᾶλλον ἡδέως ἔχω,
ἔχειν τε μέτρια κἀμέριμνον ζῆν βίον,
καὶ μήτ' ἔχειν πλοῦτόν με μήτε πράγματα·
10 πᾶς γὰρ πένης ὢν μεγάλα κερδαίνει κακά.

Stobaeus Floril. 97, 19 Φιλήτου A. Philemoni tribuit Grotius. Comparatio Men. et Phil. 358. 1. τὸ πλουτεῖν] ὁ πλοῦτος Compar. 2. τ' ἐπήρειάν τε Salmas.] τε κἀπήρειαν. τ' ἐπήριαν καὶ Compar. 3. κἀνοχλήσεις Bentl.] καὶ ὀχλήσεις. 4. delendum censet Mein. συμπλοκάς τε τοῦ βίου Nauck. scribo μυρίας | θράξεις τε φαύλας ἀλλαγάς τε. θράττειν Cratin. 363. Pherecr. 39, 3. Mnesim. 4, 57. cf. Ruhnk. Tim. 93. 4. 5. ἔπειτα Bentl.] εἶτα. εἶτα μετὰ ταῦτ' εὐθύς τις Mein. in Stob. 6. καταλείψας] καταλιπὼν Mein. Stob. III xxxvi. καταλείπων Cobet. Mnem. VIIII 141. fortasse καταγράψας. cf. Plut. Mor. 482 c. 7. ἔχω] ἔχει Mein. θέλω Nauck. 9. delendum censet Mein. πλοῦτόν με Bentl.] με πλοῦτον. ἡδέως ἔχω — ἔχειν με certe dici non poterat.

1. cf. Tr. gr. fr. adesp. 465 Nauck. 10. '*pauperes multa mala compendifaciunt.*' Grotius. cf. Trag. gr. fr. adesp. 98 Nauck. Lucian.

Asin. 16 *ἔγνων σιγῇ προϊέναι καὶ κερδαίνειν τὸ μὴ παίεσθαι.* Xen. Apol. Socr. 9 *αἱρήσομαι τελευτᾶν μᾶλλον ἢ ἀνελευθέρως τὸ ζῆν ἔτι προσαιτῶν κερδᾶναι τὸν πολὺ χείρω βίον.* Palladas Anthol. Pal. 10, 59 *τοῦτο δὲ (θανάτου προσδοκίαν) κερδαίνει θνητὸς ἀπολλύμενος.* Cobet. V. l.[2] 261. 379.

93

ὦ τρισμακάρια πάντα καὶ τρισόλβια
τὰ θηρί', οἷς οὐκ ἔστι περὶ τούτων λόγος·
οὔτ' εἰς ἔλεγχον οὐδὲν αὐτῶν ἔρχεται,
οὔτ' ἄλλο τοιοῦτ' οὐδέν ἐστ' αὐτοῖς κακὸν
5 *ἐπακτόν, ἢν δ' ἂν εἰσενέγκηται φύσιν*
ἕκαστον, εὐθὺς καὶ νόμον ταύτην ἔχει.
ἡμεῖς δ' ἀβίωτον ζῶμεν ἄνθρωποι βίον·
δουλεύομεν δόξαισιν, εὑρόντες νόμους,
προγόνοισιν, ἐγγόνοισιν. οὐκ ἔστ' ἀποτυχεῖν
10 *κακοῦ, πρόφασιν δ' ἀεί τιν' ἐξευρίσκομεν.*

Stobaeus Floril. 98, 14 *Φιλήμονος* A. 2. *ἔνεστι* A. 3. *οὐδὲν αὐτῶν* Grotius] *αὐτῶν οὐδὲν.* 7. *ἄνθρωποι* Cobet. N. l. 577] *ἄνθρωποι.* 9. *ἐκγόνοισιν* Mein. cf. Menand. 520 Mein. *ἐκγόνοισι. κοὐκ* K.

2. *τούτων*, i. e. *νόμων.* cf. 6. 8. 5. *εἰσφέρεσθαι*, i. e. *aliquid de suo conferre* (sicuti *dotem*), *σπουδήν, προθυμίαν, φιλονεικίαν*, alia eiusmodi haud rara apud posteriores; sed *εἰσφέρεσθαι φύσιν* sic dici posse non credo. fortasse *ἢν δ' ἂν εἴς τι κεκτῆται φύσιν.* cf. fr. 89. 8. '*servimus opinionibus, maioribus, posteris*: ut rem, potentiam, gloriam ab illis acceptam his tradamus.' Bentl.

94

ἀνὴρ δίκαιός ἐστιν οὐχ ὁ μὴ ἀδικῶν,
ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος μὴ βούλεται·
οὐδ' ὃς τὰ μικρὰ λαμβάνειν ἀπέσχετο,
ἀλλ' ὃς τὰ μεγάλα καρτερεῖ μὴ λαμβάνων,
5 *ἔχειν δυνάμενος καὶ κρατεῖν ἀζημίως·*
οὐδ' ὅς γε ταῦτα πάντα διατηρεῖ μόνον,
ἀλλ' ὅστις ἄδολον γνησίαν τ' ἔχων φύσιν
εἶναι δίκαιος κοὐ δοκεῖν εἶναι θέλει.

Stobaeus Floril. 9, 22 *Φιλήμονος* A. v. 1. 2 Menand. monost. 638. 9 Anton. Mel. 40 p. 61. 2. *μὴ*] *οὐ* A B[2] Mel. monost. 6. *διατηρεῖ μόνον* Grotius] *διαθηρώμενος. διατηρεῖ μόνως* A marg. B[2].

8. Aesch. Sept. 592 *οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει* (Mein.).

95

κἂν δοῦλος ᾖ τις, σάρκα τὴν αὐτὴν ἔχει·
φύσει γὰρ οὐδεὶς δοῦλος ἐγενήθη ποτέ
[ἀπὸ τοῦ πάλαι πλάσαντος ἀνθρώπων γένος.
ἴσην δὲ πάντων διάθεσιν τοῦ σώματος
5 *ἐποίησεν οὗτος ὡς ἐλευθέρου γένους.*
ἐλευθέρους ἐποίησε πάντας τῇ φύσει,
δοῦλον δὲ μετεποίησεν ἡ πλεονεξία].
ἡ δ' αὖ τύχη τὸ σῶμα κατεδουλώσατο.

v. 1. 2. 8 Compar. Men. Phil. 361. v. 3—7 accesserunt ex cod. Paris. 1773 (Revue de philologie II 238). cf. H. Iacobi Mein. ed. min. XIX.

1. *ᾖ τις* Mein.] *ἐστω.* 'Eur. Or. 1523 *κἂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς ὁρῶν.*' 3. *ἀνθρώπων* H. Iacobi] *ἀνθρώπινον* cod. 4. *διάθεσιν* Iac.] *διάθεσεν.* 5. *οὗτος — ἐλευθέρου γένους* Iac.] *ὄντως — ἐλεύθερον γένος* cod. 6. *ἐποίησε πάντας* Iac.] *οὖν ἅπαντας ἐποίησε* cod. — versus recens additos ut suspectos uncis inclusit H. Iacobi. de aoristo *ἐγενήθη* v. 2 cf. Lobeck. Phryn. 109.

96

νὴ τὸν Δία τὸν μέγιστον ὤμην, Σωσία,
ἐγὼ πρότερον μὲν τοὺς πένητας ζῆν μόνους
ὀδυνωμένους, τῶν πλουσίων δὲ τὸν βίον
ἵλαρόν τιν' εἶναι καὶ φέρειν εὐθυμίαν·
5 *νυνὶ δὲ διαφέροντα τοῖς καθ' ἡμέραν*
δαπανήμασιν δὴ τὸν βίον ὁρῶ μόνον,
λύπας δ' ἔχοντας μείζονας τοὺς μείζονας.

Stobaeus Floril. 97,18 *Φιλήμονος* A. 2. *μὲν τοὺς* Mein.] *τοὺς. τοὺς μὲν* A. *μόνους* B] *μόνον.* 5. *νυνὶ* Bentl.] *νῦν.* 6. *δὴ τὸν βίον ὁρῶ*] *νὴ τὸν Δία, διορῶ* Bentl. *νὴ τὸν Δί' εἰσορῶ* Mein. *δῆτ' αὐτὸν εἰσορῶ* K. non credo bis in tam brevi ecloga positum esse *νὴ τὸν Δία.* 7. *τοὺς μείζονας*] *τοὺς πλείονας* (*τῶν πλουσίων*) K.

97

τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἓν
μακρὸν νόμιζε, κἂν δύ' εἴπῃ συλλαβάς,
τὸν δ' εὖ λέγοντα μὴ νόμιζ' εἶναι μακρόν,
μηδ' ἂν σφόδρ' εἴπῃ πολλὰ καὶ πολὺν χρόνον.
5 *τεκμήριον δὲ τοῦδε τὸν Ὅμηρον λαβέ·*
οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει,
ἀλλ' οὐδὲ εἷς Ὅμηρον εἴρηκεν μακρόν.

Stobaeus Floril. 36, 18 *Φιλήμονος* A. 7. *εἴρηκεν* Grotius] *εἴρηκε.*

Martial. 2, 77. Plin. Epist. 5, 6 contulit Grotius, Plut. Mor. 504 d Gaisford.

98

ἐγὼ τὸν ἀγρὸν ἰατρὸν ἐλελήθειν ἔχων·
τρέφει γὰρ οὗτος ὥσπερ ἀρρωστοῦντά με,
σιτάρια μικρὰ προσφέρων οἶνου θ' ὅσον
ὀσμήν, λαχάνου τ' ἀεί τι καὶ νὴ τὸν Δία
5 *τὰ πετραῖα ταῦτ' ὀψάρια, κάππαριν, θύμον,*
ἀσπάραγον, αὐτὰ ταῦτα· καὶ δέδοικα μὴ
λίαν ἀπισχναίνων με ποιήσῃ νεκρόν.

Stobaeus Floril. 57, 6 *Φιλήμονος* A. 3. *σμικρὰ* A. 4. *λαχάνου* A] *λαχάνων.* *τ' ἀεί* Dobr. Adv. II 289] *ἄγει*, quod non recte retinent Bentleius et Meinekius (in Stob.): nam ager *φέρει*, non *ἄγει* (ut navis). 5. *πετραῖα* Salmas. ap. Grot.] *πετραγεῖα* (*πετράγεια* B). 6. *ἀσπάραττον* A.

3. *ὅσον ὀσμήν*, ut *ὅσον στίλην* Arist. Vesp. 213 (Bentl.). 6. *αὐτὰ ταῦτα*, *haec sola*, praeterea nihil. Heind. Plat. Gorg. 488 d. 7. *ποιήσῃ νεκρόν*, quod ut vulgus opinatur medici faciunt (v. 1).

99

ἂν οἷς ἔχομεν τούτοισι μηδὲ χρώμεθα,
ἃ δ' οὐκ ἔχομεν ζητῶμεν, ὧν μὲν διὰ τύχην,
ὧν δὲ δι' ἑαυτοὺς ἐσόμεθ' ἐστερημένοι·
[εἰ δ' εὐτυχῶν τις καὶ βίον κεκτημένος
5 *μηδὲν δόμοισι τῶν καλῶν πειράσεται,*
ἐγὼ μὲν αὐτὸν οὔποτ' ὄλβιον καλῶ,
φύλακα δὲ μᾶλλον χρημάτων εὐδαίμονα.]

Maximus Conf. 22 p. 602. Floril. Vat. Mai. Coll. script. vet. II XXVII. v. 1—3 Stobaeus Flor. 16, 1 *Φιλήμονος* A. Anton. Mel. 42, 64. at v. 4 sq. sunt Euripidis ex Antiopa (198 N.) teste Stob. Floril. 16, 4.

1. *ἔχομεν, τούτοισι* Mein.] *ἔχωμεν, τοῖς γε* Stob. *ἔχωμεν τούτοις* Ant. Mel. *ἔχομεν τούτοις* Flor. Vat. *οἷς μὲν ἔχομεν, τοῖσδε* Porson. Miscell. 255. 2. *ζητῶμεν* Flor. Vat.] *ζητοῦμεν* Stob. 5. *δόμοισι* Stob.] *δ' ὅμως τι.* *πειράσεται*] *θηράσεται* K. 7. *εὐδαιμόνων* G. Hermann.

2. *ὧν μέν, ὧν δέ* pro *τῶν μὲν* cet., ut 31, 6. 3. *δι' ἑαυτούς*, i. e. *ἡμᾶς αὐτούς*. cf. quae adnotavimus ad Arist. Nub. 960.

100

ὅταν δὲ παρατηροῦντ' ἴδω τίς ἔπταρεν,
ἢ τίς ἐλάλησεν, ἢ τίς ἐστιν ὁ προϊὼν
σκοποῦντα, πωλῶ τοῦτον εὐθὺς ἐν ἀγορᾷ.
αὐτῷ βαδίζει καὶ λαλεῖ καὶ πτάρνυται
5 ἕκαστος ἡμῶν, οὐχὶ τοῖς ἐν τῇ πόλει.
τὰ πράγμαθ' ὡς πέφυκεν οὕτω γίνεται.

Clemens Alex. Strom. 7, 4, 25 ὁ κωμικὸς δὲ Φιλήμων καὶ τὰ τοιαῦτα κωμῳδεῖ κτλ. Theodoretus Aff. gr. cur. 87, 50. v. 1—3 (εὐθὺς) Cramer. Anecd. Ox. IIII 250, 27. 1. δὲ παρατηροῦντ' ἴδω Grotius Excerpt. 777] ἴδω παρατηροῦντα. 2. προσιὼν Theod. Cram. An. 3. πωλῶ Sylh.] πώλῳ L. ἀπολῶ Theod. Cram. An. 4. αὐτῷ Theod.] ἑαυτῷ. 6. πράγμαθ' — γίγνεται Theod.] πράγματα — γίγνεσθαι L. οὕτω Theod.] οὕτως.

3. πωλῶ 'ut servum vendo', pro servo aestimo.

101

ἐγὼ λίθον μὲν τὴν Νιόβην, μὰ τοὺς θεούς,
οὐδέποτ' ἐπείσθην, οὐδὲ νῦν πεισθήσομαι
ὡς τοῦτ' ἐγένετ' ἄνθρωπος· ὑπὸ δὲ τῶν κακῶν
[τῶν συμπεσόντων τοῦ τε συμβάντος πάθους]
5 οὐδὲν λαλῆσαι δυναμένη πρὸς οὐδένα,
προσηγορεύθη διὰ τὸ μὴ φωνεῖν λίθος.

Schol. Ven. Hom. Il. 24, 617 Φιλήμων δὲ ὁ κωμικός φησιν κτλ. Eustath. 1368, 5 ὁ κωμικὸς Φιλήμων λέγει, ὅτι λίθον κτλ. 1. μὲν non habet quo referatur, et deest infinitivus qui pendeat ab ἐπείσθην. scrib. aut ἐγὼ λίθον εἶναι aut λίθον γενέσθαι τὴν N. 2. πεισθήσομαι Eust.] πείθομαι. νυνὶ πείθομαι Nauck. 3. ἐγένετ' ἄνθρωπος· ὑπὸ δὲ τῶν — τοῦ τε cod. Townl. cf. Porson. Eur. Med. 139 IX] ἐγένετο καὶ κήδεα πέσσει, ἀλλ' ὑπὸ τῶν — καὶ τοῦ. ὡς ἐγένετ' οὐσ' ἄνθρ. Herwerd. Nov. add. crit. 37. v. 4 mihi videtur subditivus esse.

102

πρόσεστι δὲ τῷ πένητι ἀπιστία·
κἂν σοφὸς ὑπάρχῃ κἂν λέγῃ τι συμφέρον,
δοκεῖ τι φράζειν τοῖς ἀκούουσιν κακῶς.
τῶν γὰρ πενήτων πίστιν οὐκ ἔχει λόγος.
5 ἀνὴρ δὲ πλουτῶν, κἂν ἄγαν ψευδηγορῇ,
δοκεῖ τι φράζειν τοῖς ἀκούουσιν ἀσφαλές.

Compar. Men. Phil. 357. 1. 'fortasse τῷ γὰρ πένητι μὲν πρόσεστ' ἀπιστία.' Mein. multa alia excogitari possunt: sed illa

Menandri et Philemonis Comparatio eiusmodi est, ut rarissime certa ratione quae corrupta sunt sanari possint. 6. *ἀκούουσιν*] *κλύουσιν* Mein., si sit tragici poetae ecloga, quales plures in Comparationem inlatae sint. fortasse *παροῦσιν*. *ἀσφαλές*] *σαφές* Dobr. cf. Nauck. Trag. gr. fr. adesp. 92.

aut unum fragmentum est aut duo. si unum, delendi v. 3 (cum Dobraeo Arist. Plut. 689) et 4 cum Meinekio. si duo, alterum cum D. Heinsio a v. 4 incohandum est. — sententiam optime Bentleius indicavit: '*adhaeret pauperi non credi.*'

103

ἥκουσα τούτων αὐτός, οὐδὲ φύεται
αὐτόματον ἀνθρώποισιν, ὦ βέλτιστε, νοῦς
ὥσπερ ἐν ἀγρῷ θύμος· ἐκ δὲ τοῦ λέγειν τε καὶ
ἑτέρων ἀκούειν καὶ θεωρῆσαι . .
κατὰ μικρὸν ἀεί, φασί, φύονται φρένες.

Stobaeus Eclog. 2, 31, 17 Wachsm. *Φιλήμονος*. 1. (*ἥ*)*κουσα* Laur. *τοῦτο καὐτός* Mein. Stob. IIII xxxiiii. si *τούτων* poeta scripsit, 'philosophos dicere videtur'. Mein. 2. *αὐτόματος* Mein. 3. *θύμος*] *θύμ'* Mein. *λέγειν*] *παθεῖν* Usener. *βλέπειν* Wachsm. '*κλέγειν* K. 4. *τί που* supplet Mein. *λόγους* C. F. Hermann. et quidni *μόλις*?

104

τί ζῆν ὄφελος ᾧ μή 'στι τὸ ζῆν εἰδέναι;
Β. ἀλλ' οἶνος ἦν· οὐδεὶς δὲ μεθύων, ἂν σκοπῇς,
ὃς οὐχὶ δοῦλός ἐστι τοῦ πεπωκέναι·
ὅσα μ' οὗτος ἠνάγκαζεν, ἐποίουν ταῦτ' ἐγώ.
ὁ πονηρὸς οἶνος οὗτός ἐστι, Νικοφῶν.

Stobaeus Floril. 18, 6. 7 *Φιλήμονος* A. Stobaei ecl. 6 et 7 coniungit Trinc., sequitur 8 *τοῦ αὐτοῦ* A. (*Φιλήμονος*) *ἅπας πονηρὸς · οἶνος ὁ πολύς ἐστ' ἀεί*. cf. fr. 193. A. Nauckius (Mein. V ccxxxv) *A. πονηρὸς οἶνος οὗτός ἐστι, Νικοφῶν. B. ἅπας* (vel *ἁπλῶς*) *πονηρὸς οἶνος ὁ πολύς ἐστ' ἀεί*. 5. *ὁ πονηρὸς οἶνος αἴτιός ἐστι, Νικοφῶν* F. W. Schmidt. Fleckeis. annal. CVIIII 376, conl. Anaxandr. 53, 3. in Stobaeo Meinekius v. 1 et v. 5 a reliquis separavit.

1. inutilem esse vitam ei qui quid vita sit nesciat non est sententia Philemone digna; sin autem *τὸ ζῆν* cum Cobeto Mnem. VIIII 114 interpreteris *ἡδέως ζῆν*, *luxuriose vivere*, abhorret ab eis quae sequuntur. scr. *ᾧ μή 'στ' ἔτι ζῶντ' εἰδέναι*, i. e. *qui*, utpote ebrius, *se vivere non amplius intellegit.*

105

δικαιότατον κτῆμ' ἐστὶν ἀνθρώποις ἀγρός·
ὧν ἡ φύσις δεῖται γὰρ ἐπιμελῶς φέρει,
πυρούς, ἔλαιον, οἶνον, ἰσχάδας, μέλι·
τὰ δ' ἀργυρώματ' ἐστὶν ἥ τε πορφύρα
εἰς τοὺς τραγῳδοὺς εὔθετ', οὐκ εἰς τὸν βίον.

Stobaeus Floril. 56, 15 *Φιλήμονος* A. v. 4. 5 Diogenes Laert. 2, 25 *καὶ συνεχὲς (Σωκράτης) ἐκεῖνα ἀνεφθέγγετο τὰ ἰαμβεῖα τὰ δ' ἀργ. κτλ.* Clemens Alex. Paed. 2, 10, 108 *πρὸς δὲ καὶ ἡ πορφύρα καὶ τὰ ἀργυρώματα, ὥς φησιν ὁ κωμικός, εἰς τοὺς τραγῳδοὺς χρήσιμα, καὶ οὐκ εἰς τὸν βίον.* 3. *τὰ δ' ἀργυρώματ'* Grotius] *τἀργυρώματα δ'.* 5. *τραγῳδοὺς*] *στρατηγοὺς* B Stob. *εὔθετ'*] *χρήσιμ'* Diog. et Clemens.

106

πολλῶν φύσει τοῖς πᾶσιν αἰτία κακῶν
λύπη· διὰ λύπην καὶ μανία γὰρ γίνεται
πολλοῖσι καὶ νοσήματ' οὐκ ἰάσιμα·
αὐτούς τ' ἀνῃρήκασι διὰ λύπην τινές,
ἐπὰν τὸ λυποῦν πλεῖον ἢ τὸ σῷζον ᾖ.

Stobaeus Floril. 99, 1 *Φιλήμονος* A. *Μενάνδρου* Trinc. Cler. p. 354. v. 2—4 omisso auctoris nomine Plutarchus Mor. 102 c *πολλῶν γὰρ ὄντων ψυχικῶν παθῶν ἡ λύπη τὸ χαλεπώτατον πέφυκεν εἶναι πάντων· 'διὰ λύπην γὰρ' φησὶ κτλ.*

2. *λύπην* AB Gesn. marg.] *λύπης.* 5. *πλεῖον*] *πλέον* Voss. Trinc.

107

ἂν γνῷς τί ἐστ' ἄνθρωπος, εὐδαίμων ἔσει.
τέθνηκέ τις, μὴ δεινὸν ἔστω τοῦτό σοι.
κεκύηκέ τις, οὐ κεκύηκέ τις· ἠτύχηκέ τις·
βήττει τις· οἰμώζει τις· ἡ φύσις φέρει
ἅπαντα ταῦτα. φεῦγε τὰς λύπας.

Stobaeus Floril. 108, 39 *Φιλήμονος* A. 1. *ἂν γνῷς τί* Grotius] *ἀγνώς τις.* 2. 3. *τέθνηκέ τις, κεκύηκέ τις, ἠτύχηκέ τις* C. F. Hermann. *τέθνηκέ τις, οὐ κέκληκέ τις, ἠδίκηκέ τις* Nauck. Ztschr. f. d. Alt. 1855, 117, omissis uterque ceteris. 3. *κεκύηκέ τις* Grot.] *κεκύηκέ τις μὴ δεινόν. κεκύηκεν, οὐ κεκύηκεν, ἠτύχηκέ τις* Mein. *κέκμηκέ τις, τέτηκέ τις, ἠψύχηκέ τις* (*ἀψυχεῖν* Hippocr. De morb. II 141, 4) Herwerd. Mnem. nov. VI 74, eiciens simul *φεῦγε τὰς λύπας. κέκμηκε, προσκέκρουκεν, ἠτύχηκέ τις* K. 4. *φέρει* Grot.] *φέρει δ'.* 5. *μόνον* in fine add. Grotius, non ut ipse ait ex A. — ceterum cf. Diphil. 113.

108

τί ποτ' ἐστὶν ἆρα διότι βούλεταί μ' ἰδεῖν;
ἢ καθάπερ οἱ νοσοῦντες ἀλγοῦντες σφόδρα,
τὸν ἰατρὸν ἂν ἴδωσιν, οὐκ ἀλγοῦσ' ἔτι,
οὕτως, ἐπάν τις τυγχάνῃ λυπούμενος,
ἧττον ὀδυνᾶται, φίλον ἐὰν παρόντ' ἴδῃ;

Stobaeus Floril. 113, 10 Φιλήμονος A. 1. ἆρα Mein.] ἄρα. 5. παρόντ' ἴδῃ] παρόντα δεῖ A.

109

ὅταν ξενισθῇς ἐν πόλει πρὸς τὸν φίλον,
ἐν ταῖς περισσαῖς καὶ πυκναῖς ὁμιλίαις,
ἐὰν μεγίστην ὁ φίλος λέγῃ πόλιν,
σὺ τὴν ἑαυτοῦ πατρίδα μὴ συγκρίνῃς·
ἐχθροὺς ποιοῦσι τοὺς φίλους αἱ συγκρίσεις.

Compar. Men. et Phil. p. 363. 1. ὦ 'τάν, ξενισθεὶς Mein. τὸν φίλον] τοῦ φίλου Mein. fortasse τῶν φίλων. 2. περισσαῖς] περιτταῖς, si est comici.. 3. ἣν (*suam*) post φίλος add. Grotius. λέγῃ Mein.] λέγει. 4. σεαυτοῦ Grotius, nulla necessitate. μὴ σύγκριν', ἐπεὶ Bentl. πατρίδ' ὅπως μὴ συγκρινεῖς Pflugk. πατρίδα μήπω (?) συγκρινεῖς Duebner. — talia emendare nihil aliud est quam laterem lavare. 'videntur versus esse politici.' Mein.

110. 111

μὴ
λύπει σεαυτόν, τοῦτο γινώσκων ὅτι,
ὅταν ποτ' ἀνθρώποισιν ἡ τύχη γελᾷ,
πάντων ἀφορμὴ τῶν καλῶν εὑρίσκεται·
ὅταν δὲ δυστυχῇ τις, οὐδ' εὐφραίνεται.
. . . . . .
ἅπαντα νικᾷ καὶ μεταστρέφει τύχη.

Compar. Men. et Phil. p. 357. v. 6 Stobaeus Ecl. phys. 1, 6, 15 Χαιρήμονος A ἅπαντα — τύχη, οὐδεὶς δὲ νικᾷ μὴ θελούσης τῆς τύχης. itaque v. 6 certe a reliquis segregandus est; qui autem apud Stobaeum cum eo coniungitur, eum comici poetae esse suspicatur Nauckius Tr. gr. fr. p. 611 (Chaerem. fr. 19).

2. λύπει Mein.] λυπῇς. 5. δυστυχῇ Mein.] δυστυχεῖ. 6. νικᾷ] κινεῖ Heimsoeth. Ind. Bonn. 1867 XV, IIII.

112. 113

ἆρ' ἐστὶ τοῖς νοσοῦσι χρήσιμος λόγος.
. . . . . .

ὡς σπληνίον πρὸς ἕλκος οἰκείως τεθὲν
τὴν φλεγμονὴν ἔπαυσεν, οὕτω καὶ λόγος
εὔκαιρος εἰς τὰ σπλάγχνα κολληθεὶς φίλων
5 εὐψυχίαν παρέσχε τῷ λυπουμένῳ.

Compar. Men. et Phil. p. 362. v. 1—3 Stobaeus Ecl. 2, 4, 3 Wachsm. (φ)ιλήτα A. φιλητ S. Φιλήμονος Trinc. 1. ἄρ' ἐστι S, ρ' ἐστι A¹, ἄρα ἐστι A². τοῖς ν. χρ. λ. A²B Stob.] λ. τοῖς ν. χρ. — πάρεστιν ὁ λόγος Compar. ἄρ' ἐστὶν ὁ λόγος Grotius. 4. φίλου Dobr. Adv. II 287. primum versum a reliquis separavit Grotius. sed videtur potius argumenti indicium esse. in Comparatione adicitur fr. 207, quod Meinekius a reliquis seiunxit. Herodian. I 360, 33 παροξύνεται ἡνίον, σπληνίον. cf. II 583, 16.

114

ὡς εὐφυὲς ζῷον κοχλίας, νὴ τὸν θεόν.
ὅταν πονηρῷ περιπέσῃ τῷ γείτονι,
τὸν οἶκον ἅρας εἰς ἕτερον πορεύεται,
νέμεται δ' ἀμέριμνος τοὺς κακοὺς φεύγων ἀεί.

Compar. Men. et Phil. p. 361. 1. κοχλίας Bentl.] ὁ κοχλίας. 2. τῷ] τῳ G. A. Hirschig. Ann. crit. 20. που K. 3. εἰς] ὡς K. — Anaxil. 34 contulit Meinekius.

115

ὃ δεῖ παθεῖν σε μηδαμοῦ σκέψῃ φυγεῖν·
οὐ γὰρ δυνήσῃ φεύγειν ὅ σε δεῖ παθεῖν·
τὸ πεπρωμένον γὰρ οὐ μόνον βροτοῖς
ἄφευκτόν ἐστιν, ἀλλὰ καὶ τὸν οὐρανόν.

Compar. Men. et Phil. p. 361. 2. δύναι' ἂν vel δυνήσει Mein. διαφυγεῖν Mein., ἐκφυγεῖν Duebner. fortasse totus versus eiciendus est. 3. τοῖσιν βροτοῖς Mein. 4. καὶ κατ' οὐρανόν Grot. καὶ τοῖς οὐρανὸν | ἔχουσι (vel οἰκοῦσι) Mein. fortasse οὐ μόνον βροτοῖς ἀεὶ | ἄφευκτον, ἀλλὰ καὶ κατ' οὐρανὸν θεοῖς.

116

εἴ ποτέ τις ἡμῶν εἰς τὸν ἀγρὸν ἐξιὼν
μνήματα παρελθὼν καὶ τάφους ἀνθρωπίνους·
τούτων ἕκαστος ἔλεγεν 'εἰς ὥρας ἐγὼ
πλεύσω, φυτεύσω, τοῖχον ἅρας κτήσομαι —'

Compar. Men. et Phil. p. 362. 2. παρέλθοι Heinsius, quod probat Meinekius, si versum excidisse statuas hac sententia: *rerum humanarum fragilitatis admonitus dicet.* 4. τοῖχον ἅρας κτήσομαι

Grot.] *κτήσομαι τοῖχον ἄρας. στήσομαι* | *ἕτερον* Mein. *κτήσομαι τυχὼν ἀγρούς* C. F. Hermann. Mus. Rhen. V 609.

1. cf. Menand. 525 Mein. Gnomolog. Vindob. Ritsch. Opusc. I 566, 85 *Πλάτων* (?)· *εἰ λύπης ἐθελήσεις κρατεῖν, περιπόλει τοὺς τάφους· καὶ τοῦ πάθους ἕξεις τὸ φάρμακον.* unde suspicor v. 1 scribendum esse *πενθεῖ τις ἡμῶν, εἰς ἀγρὸν οὗτος ἐξιὼν* | *μνήματα παρελθέτω τάφους τ' ἀνθρωπίνους.* 3. *τούτων, τῶν τεθαμμένων.* 4. de *πλεύσω* cf. Mein. Anal. Alex. 267. fortasse scrib. *ποάσω, φυτεύσω, μόσχον, ἄρνας κτήσομαι.* — oratio incohata est, non finita.

117

ἄνθρωπος εἶ δήπουθεν, ὧν ἐστ' οὐδὲ εἷς
ᾧ μὴ κακόν τι γέγονεν ἢ γενήσεται,
ὁ ποιῶν δ' ἐλάχιστον τὸ γεγενημένον . .
ἀμφότερον οὗτος εὐτυχεῖ τε καὶ φρονεῖ.

Stobaeus Floril. 108, 50 *Φιλήμονος* A. 1. *ὧν* Bentl.] *οὐκ.* 3. *ἐλαχίστου* Bentl. at non dicitur *ἐλαχίστου τι ποιεῖν*, sed *ποιεῖσθαι. ποιῶν ἐλάχιστον* '*quam maxime minuens*' Mein. *τὸ γεγενημένον κακὸν* Bentl. fortasse *ὁ πόνῳ δ' ἐλαχίστῳ τὸ γεγενημένον φέρων.*

118ab

θεὸν νόμιζε καὶ σέβου, ζήτει δὲ μή·
πλεῖον γὰρ οὐδὲν ἄλλο τοῦ ζητεῖν ἔχεις.
εἴτ' ἔστιν εἴτ' οὐκ ἔστι μὴ βούλου μαθεῖν,
ὡς ὄντα τοῦτον καὶ παρόντ' ἀεὶ σέβου.

Stobaeus Ecl. 2, 1, 5ab Wachsm. *Φιλήτα* Farn. Par. *Μιλήτ* L. Philemoni tribuit Clericus. Compar. Men. et Phil. p. 359. v. 1. 3. 4 omisso auctoris nomine Boissonad. Anecd. I 120, 3. 1. *θεὸν*] *ἓν* L. 2. *πόνον γάρ, οὐδ. κτλ.* K. *οὐδὲν* om. FP.[1] Stob. *τῷ ζητεῖν* Herwerd. Nov. add. crit. 37. 8 '*nihil enim proficis investigando.*' 3. *μὴ* om. FP[1]. *βούλου*] *βόλου* L. *πειρῶ* cod. Boisson. 4. *ὡς δ'* Wachsm. melius *ὡς ὄντα δ' αὐτόν.* — quintum versum addit Stobaeus *τί ἐστιν ὁ θεὸς οὐ θέλει σε μανθάνειν* (*τί δ'* Heeren.), quem a reliquis seclusit Grotius. cf. 166. — comoedia alieni hi versus esse videntur Herwerdeno.

119

σοὶ γάρ τίς ἐστιν, εἰπέ μοι, παρρησία;
σὺ λαλεῖς ἐν ἀνθρώποισιν ὡς ἄνθρωπος ὤν;
τὸ δ' ὅλον περιπατεῖς, ἢ τὸν αὐτὸν ἀέρα
ἑτέροισιν ἕλκεις, εἰπέ μοι, τοιοῦτος ὤν;

Stobaeus Floril. 6, 18 *Φιλήμονος* A. 1. *σοὶ γάρ τίς* Damasc.]

σὺ γάρ τι. 2. σὺ om. Damasc. 4. ἑτέροισιν ἕλκεις Mein.] ἑτέροις συνέλκεις.

Eurip. Androm. 590 σὺ γὰρ μετ' ἀνδρῶν εἶ, κάκιστε κἀκ κακῶν; σοί που μέτεστιν ὡς ἐν ἀνδράσιν λόγου; (Gaisf.) — ignavum aliquem nescio quis compellat: tibine ulla est loquendi licentia? 'tune loqueris inter homines tamquam homo sis? tune omnino ambulas aut eundem cum aliis aera spiras, cum sis huiusmodi?' Bentl.

120

ἂν μὲν πλέωμεν ἡμερῶν πλοῦν τεττάρων,
σκεπτόμεθα τἀναγκαῖ' ἑκάστης ἡμέρας·
ἂν δέῃ δὲ φείσασθαί τι τοῦ γήρως χάριν,
οὐ φειδόμεσθ' ἐφόδια περιποιούμενοι;

Stobaeus Floril. 15, 5 Φιλήμονος B. deest in A. Μενάνδρου Trinc. sed v. 2 sq. Philemoni tribuit etiam Trinc. recepit Meinekius inter Menandrea (546), sed in Stobaeo 'ex codd.' Philemoni dedit. 1. πλοῦν Cobet. N. l. 91] που. 2. σκεψόμεθα Herwerd. Mnem. nov. VI 77. fortasse φερόμεθα. 3. δέῃ B m. sec.] ᾖ. δέῃ cum synizesi: alii δῇ. cf. Arist. Ran. 265 ibique Fritzsch. p. 154. an δ' ἑτοιμάσαι τι? 4. φειδόμεσθ' codices Schowii] φειδόμεθ' B m. sec. fortasse οὐκ οἰσόμεσθ'.

121

πολλάκις ἔχων τις οὐδὲ τἀναγκαῖα νῦν
αὔριον ἐπλούτησ', ὥστε χἀτέρους τρέφειν.
Β. θησαυρὸν εὑρὼν τήμερόν τις αὔριον
ἅπαντα τἀκ τῆς οἰκίας ἀπώλεσεν.

Stobaeus Floril. 105, 50 Φιλήμονος A. 1. οὐδὲ Porson. Eur. Hec. append. 1169] οὔτε. 3. τήμερόν Mein. Stob. IIII VIII] σήμερόν. τις Tyrwhitt.] τῆς. duo fragmenta esse arbitratur Meinekius. at duae potius personae discernendae sunt, quarum altera (dominus) ab altera (servo opinor) inridetur.

122

τὸν βολβόν, εἰ βούλει, σκόπει
ὅσα δαπανήσας εὐδοκιμεῖ, τυρόν, μέλι,
σήσαμον, ἔλαιον, κρόμμυον, ὄξος, σίλφιον·
αὐτὸς δ' ἐφ' αὑτοῦ 'στιν πονηρὸς καὶ πικρός.

Athenaeus 2, 64e περὶ δὲ τῆς τῶν βολβῶν σκευασίας Φιλήμων φησί κτλ. Apostolius 9, 28 (p. 470). 3. κρόμμυον Schweigh.] κρόμυον. 4. 'στιν Brunck.] ἐστι. 'στι B. αὐτὸς ἐφ' αὑτοῦ, i. e. 'seorsum, nullis adsciticiis condimentis adparatus.' Mein.

123

Σφίγγ' ἄρρεν', οὐ μάγειρον εἰς τὴν οἰκίαν
εἴληφ'· ἁπλῶς γὰρ οὐδὲ ἕν, μὰ τοὺς θεούς,
ὧν ἂν λέγῃ συνίημι· καινὰ ῥήματα
πεπορισμένος γάρ ἐστι.

Athenaeus 14, 659 b *μάλιστα γὰρ εἰσάγονται οἱ μάγειροι σκωπτικοί τινες, ὡς . . . καὶ Φιλήμων πού φησι κτλ.* pluribus versibus auctam hanc eclogam e Stratonis Phoenicide idem adfert 9, 382 c. videtur alteruter ab altero haec mutuatus esse. 1. *σφίγγα ἄρρενα* A utrubique. 2. *εἴληφα* A utrubique. 3. *ὧν* A 659] *ὅσ'* o ex *ω* corr. A 382. *ἂν* om. A 659. *λέγῃ* A 382] *λέγει* A 659. deinde *κενὰ* A 382. 4. *γάρ ἐστι* A 659] *πάρεστιν* A 382.

Σφὶγξ ἄρρην vocatur coquus, quia magniloquus supra modum istorum hominum more nihil nisi aenigmata fundit.

124

γυναικὸς ἐξόπισθ' ἐλευθέρας βλέπω
μόνην θεράπαιναν κατόπιν ἀκολουθεῖν καλὴν
ἐκ τοῦ Πλαταιικοῦ τε παρακολουθοῦντά τινα
ταύτῃ κατιλλώπτειν.

Clemens Alex. Paed. 3, 11, 73 *ἐγὼ μὲν οὐδὲ τὰς θεραπαίνας ἀξιῶ ταῖς ἀρίσταις γυναιξὶ τὰς ἑπομένας αἰσχρολογεῖν ἢ αἰσχροεργεῖν, σωφρονίζεσθαι δὲ αὐτὰς πρὸς τῶν δεσποινῶν· σφόδρα γοῦν ἐπιτιμητικώτατα ὁ κωμικὸς Φιλήμων φησὶν ἐξὸν κτλ. ἀναστρέφει γὰρ ἐπὶ τὴν δέσποιναν ἡ τῆς θεραπαίνης ἀκολασία.* 1. 2. *βλέπω* | *μόνην* Markland.] *βλεπομένην.* 3. *ἐκ τοῦ Πλαταιικοῦ παρακολουθοῦντά τε* | *ταύτῃ κατιλλώπτειν τινά* Bentl. *ἐκ τοῦ πλαγίου τε παρακολουθοῦντ' ἄν τινα* C. F. Hermann. *παρακολουθοῦντάς τινας* H. Iacobi (Mein. V ccxxxiv). 4. *μέγ' ἐγκατιλλώπτειν* Dobr. *ταύτῃ 'γκατιλλώπτειν* Mein. Aesch. Eum. 113 *ἐκ μέσων ἀρκυστάτων ὤρουσεν ὑμῖν ἐγκατιλλώψας μέγα.* cf. fr. 222 N. *ἐξὸν*] *ἐξιὼν* Markl., id verbum ut ad Philemonis versus pertineret (*ἐξιὼν*) *γυναικὸς κτλ.* at potius *ἐξελθὼν* dicendum erat. mihi *ἐξὸν* ex compendio nominis comoediae ortum videtur: *Ἐξοικιζομένῳ.*

Clemens Paed. 3, 11, 70 *τὸ ἐνιλλώπτειν* interpretatur *διὰ τῶν ὀφθαλμῶν μοιχεύειν.* Pollux 2, 52 *ἰλλώπτειν ἐν τῇ κωμῳδίᾳ τὸ παραβλέπειν, καὶ κατιλλώπτειν τὸ καταβλέπειν ἐπὶ χλευασμῷ.* Hesych. *ἐγκατιλλῶψαι· ἐγκαταμυκτηρίσαι. ἐνιλλώπτειν· κεκλεισμένῳ τῷ ὀφθαλμῷ ἐμβλέπειν, καταμωκᾶσθαι. ἐνιλλώψας· καταμωκησάμενος. παριλλαίνουσα· παρεμβλέπουσα.* Phot. *παριλλαίνουσαν· παραβλέπουσαν.* Etym. m. 342, 38 *ἰλλός· στρεβλός, στραβός, διεστραμμένος* (Arist. Thesm. 846). *ἰλλώπτειν· στραβίζειν.* cf. Eustath. 206, 13—32.

in emendandis poetae verbis tria tenenda sunt: Philemonem

Clemente teste de *famularum* licentia loqui; verbum *βλέπειν* coniungi non posse cum infinitivo; voces *κατόπιν* (post *ἐξόπισθε*) et *ἐκ τοῦ Πλαταικοῦ* corruptas esse. itaque fortasse scribendum est *μόνην θεράπαιναν καθ' ὁδὸν* (Arist. Thesm. 1173) *ἀκόλουθον καλὴν | ἐκ τοῦ πλαγίου τῶν παρακολουθούντων τινὶ | κρυφῇ γκατιλλώπτουσαν.*

125

Σύρα, Σύρα. Β. τί ἐστι; Α. πῶς ἡμῖν ἔχεις;
Β. μηδέποτ' ἐρώτα τοῦτ', ἐπὰν γέροντ' ἴδῃς
ἢ γραῦν τιν'· ἴσθι δ' εὐθὺς ὅτι κακῶς ἔχει.

Stobaeus Floril. 116, 17 *Φιλήμονος* A. Antonius Mel. 240, 48. 2. *μηδ.* — *τοῦτ'* om. Trinc. — cf. 128.

126

μῦς λευκός, ὅταν αὐτήν τις (ἀλλ' αἰσχύνομαι
λέγειν), κέκραγε τηλικοῦτον εὐθὺς ἡ
κατάρατος, ὥστ' οὐκ ἔστι πολλάκις λαθεῖν.

Aelianus Nat. anim. 12, 10 *ἔτι μᾶλλον τὸν θῆλυν (μῦν) ἔλεγον εἰς τὰ ἀφροδίσια εἶναι λυττητικόν. . .Φιλήμων κτλ.* cf. Apostol. 9, 28. 1. *ὅταν τις αὐτὴν* Apost. 3. *κατάρατος* Bentl.] *κατάρατος μαστροπός*, quae vox inlata est ex proximo apud Aelianum fragmento (Epicrat. 9). Photius *μῦς λευκός· οἱ κατοικίδιοι μύες ἄγαν πρὸς τὴν ὀχείαν κεκίνηνται, μάλιστα οἱ λευκοί· οὗτοι δέ εἰσι θήλεις. ἐπὶ τῶν ἀκρατῶν περὶ τὰ ἀφροδίσια ἡ παροιμία εἴρηται.* cf. Cratin. 53. — 1. *ὅταν* sc. '*σποδῇ*'. Bentl.

referenda haec ecloga est ad *Πάροινον* (62), nisi forte idem proverbium in duabus fabulis commemoravit.

127

ἐὰν γέρων γένηται πλούσιος γεγώς,
καλὸν τὸ γῆρᾶς ἐστιν ἐπὶ τούτῳ μόνον,
ἔχει γὰρ χειραγωγὸν τὸν πλοῦτον ὁ γέρων.

Compar. Men. et Phil. p. 358. 3. *πλοῦτον γὰρ οὗτος χειραγωγήσοντ' ἔχει* Bentl. v. 1 delet et v. 3 *τὸν πλοῦτον ἤν τις χειραγωγήσοντ' ἔχῃ* scribit Dobraeus Adv. II 291. v. 1 et 2 transponit Meinekius. ego *ἐπέχω*, nisi quod v. 1, si Philemonis est, scribo *ἐὰν γέν. πλ. γεγ. γέρων.* cf. 213, 4.

128

ὦ γέρον, ἐπὰν ἴδῃς γέροντα καὶ μόνον,
μηδὲν ἐπερώτα· πάντα γὰρ κακῶς ἔχει.
καλὸν τὸ θνῄσκειν ἔστιν ἐπὶ τούτῳ λέγειν.

Compar. Men. et Phil. p. 358. cf. 125, ubi quod aptum est

μηδέποτ' ἐρώτα, hic non aptum est. neque opus est Dobraei emendatione *μηδὲν ἔτ' ἐρώτα*. '*nihil amplius quaere.*' Mein. 3. delet Dobr. *ἔστιν* Mein.] *ἐστὶν*. '*de hoc usurpare licet lucrum est mori.*'

129

ἐπὰν ἐγγὺς θάνατος ἔλθῃ,
οὐδεὶς ἑαυτῷ ὃ θέλει βουλεύεται·
θνῄσκει δ' ὁ θνῄσκων κατ' ἰδίαν εἱμαρμένην.

Compar. Men. et Phil. p. 365. *ἐπὰν γὰρ ἐγγὺς θάνατος ἔλθῃ, τηνίκα | οὐδεὶς ἔθ' αὐτός, οὐδὲ θανεῖν βουλεύεται, | θνῄσκει δὲ θνῄσκων* Herwerd. Mnem. nov. VI 74, conl. Eurip. Alcest. 669 sq. *ἢν ἐγγὺς ἔλθῃ θάνατος, οὐδεὶς βούλεται | θνῄσκειν ἑαυτῷ κατ' ἰδίαν εἱμαρμένην* Toeppel. Progr. Neobr. 1857, 10. '*locus adhuc frustra tentatus.*' Mein.

130

εἰ ταῖς ἀληθείαισιν οἱ τεθνηκότες
αἴσθησιν εἶχον, ἄνδρες, ὥς φασίν τινες,
ἀπηγξάμην ἂν ὥστ' ἰδεῖν Εὐριπίδην.

Compar. Men. et Phil. p. 316. Vita Eurip. in Dindorfii Schol. Eurip. 7. 10. 13. 1. *ἀληθείησιν* Vat. Dindf. 10. 2. *φασί* B Dindf. 13. 3. *εἰδεῖν* B Dindf. 13. — de plurali *ἀληθείαισιν* cf. Menand. 87. 657 Mein.

131

ὁ φθόνος ἐν αὑτῷ τοῦθ' ἓν ἐπιεικῶς ποιεῖ·
τὸν αἱρετιστὴν ὄντα τῶν αὑτοῦ τρόπων
λυμαίνεται μάλιστα διὰ παντὸς συνών.

Stobaeus Floril. 38, 1 *Φιλήμονος* A. 1. *αὑτῷ* Bentl.] *ἑαυτῷ*. *ἐπιεικῶν* Trinc. *ποιεῖ*] *ἔχει* Bentl. *ποιεῖ* deleto *ἐν* retinet Mein. fortasse *ἐν αὑτῷ — φορεῖ*. cf. Ephipp. 23, 2. 2. *αἱρετιστὴν* Gesn.] *ἐρεθιστὴν*. Bekker. Anecd. 77, 23 *αἱρετίζειν· ἀντὶ τοῦ αἱρεῖσθαι*. 363, 14 *αἰρεθίζειν* (scr. *αἱρετίζειν*) *οἱ περί τι σπουδάζοντες*. Hesych. *αἱρετίζειν· αἱρεῖσθαι, ἀρέσκεσθαι*: quam glossam cum M. Schmidtius insitivam ut ex sacra scriptura excerptam censet, immemor est Philemonis.

132

ἀγαθῆς γυναικός ἐσιν, ὦ Νικοστράτη,
μὴ κρείττον' εἶναι τἀνδρός, ἀλλ' ὑπήκοον·
γυνὴ δὲ νικῶσ' ἄνδρα κακόν ἐστιν μέγα.

Stobaeus Floril. 74, 20 *Φιλήμονος* A. 1. *ἀγαθῆς δὲ* B. 3. *νεικῶσ'* A.

133

οὐκ ἂν δύναιο μὴ γενέσθαι, δέσποτα,
ἄνθρωπος ὢν ἄνθρωπος· ἄλλως οὖν βοᾷς.
τὸν ζῶντ' ἀνάγκη πόλλ' ἔχειν ἐστὶν κακά.

Stobaeus Floril. 98, 5 *Φιλήμονος* Trinc. deest in A. 2. *ἄλλως* Trinc.] *ἄλλος*. — *cum homo sis, fieri non potest ut non sis homo.*

134

οὔτε γὰρ ἰατρὸς οὐδὲ εἷς, ἂν εὖ σκοπῇς,
τοὺς αὐτὸς αὑτοῦ βούλεθ' ὑγιαίνειν φίλους,
οὔτε στρατιώτης πόλιν ὁρᾶν ἄνευ κακοῦ.

Stobaeus Floril. 102, 5 *Φιλήμονος* A. 1. *ἂν σκοπῇς* Voss. *ἂν κοπεῖς* A. itaque *ἐὰν σκοπῇς* Mein. cf. 31, 5. *ἄνευ κόπου* B. 2. *αὑτοῦ αὐτὸς* A Voss. de conlocatione verborum cf. Timocl. 6, 19 et M. Haupt. Opusc. II 185.

135

ἐγὼ δὲ λυποῦμαι μὲν εἰς ὑπερβολὴν
ἐπὶ τοῖς παροῦσιν, ἐν δὲ τῇ λύπῃ φρονῶ.
τοῦτό με τὸ τηροῦν ἐστι κἄνθρωπον ποιοῦν.

Stobaeus Floril. 108, 2 *τοῦ αὐτοῦ* (*Φιλήμονος*, ut 1) A. 3. *με τὸ* Gaisf.] *με. τό με* Grot. *καὶ τοῦτό με* ex infelici coniectura B.

136

οὕτως ἄνανδρος γέγονας; οὐκ εὐψυχία
τοῦτ' ἔσθ' ὃ ποιεῖς νῦν γάρ, ἀλλ' ἀνανδρία,
τὸ μὴ δύνασθαι καρτερεῖν λυπούμενον.

Stobaeus Floril. 108, 34 *Φιλήμονος* A. *Διφίλου* Trinc. 1. *ἀψυχία*? nam *εὐψυχίαν* quidem non esse posse quae est *ἀνανδρία* non opus erat dicere. 2. *ἔσθ'*] *ἐστὶν*.

137

οὐκ ἔστιν ἡμῖν οὐδεμία τύχη θεός,
οὐκ ἔστιν, ἀλλὰ ταὐτόματον, ὃ γίνεται
ὡς ἔτυχ' ἑκάστῳ, προσαγορεύεται τύχη.

Clemens Alex. Strom. 5, 14, 128 *καλῶς οὖν καὶ Φιλήμων ὁ κωμικὸς τὴν εἰδωλολατρίαν ἐκκόπτει διὰ τούτων κτλ.* Euseb. P. E. 13, 402. Theodoret. Aff. gr. cur. p. 87, 45.

138

ὁρῶσι πάντες πρῶτον, εἶτ' ἐθαύμασαν,

ἔπειτ' ἐπεθεώρησαν, εἶτ' εἰς ἐλπίδα
ἐνέπεσον· οὕτω γίνετ' ἐκ τούτων ἔρως.

Clemens Alex. Strom. 6, 2, 23 *Φιλήμων ὁ κωμικὸς γράφει κτλ.* 2. *ἔπειτ'* Bentl.] *εἶτ'*. 3. *ἐνέπεσον* Sylb.] *ἐνέπεσαν*. cf. Lobeck. Phryn. 724 et de sententia anon. 182 Mein.

139

ἀλλ' ἐν Σάμῳ μὲν τοῦ λιθίνου ζῴου ποτὲ
ἄνθρωπος ἠράσθη τις, εἶτ' εἰς τὸν νεὼν
κατέκλεισεν αὐτόν.

Athenaeus 13, 605. 6 *Κλείσοφος...τοῦ ἐν Σάμῳ Παρίου ἀγάλματος ἐρασθεὶς κατέκλεισεν αὐτὸν ἐν τῷ ναῷ, ὡς πλησιάσαι δυνησόμενος... καὶ Φιλήμων τοῦ αὐτοῦ μνημονεύων φησίν κτλ.* 1. *μὲν τοῦ*] *μέντοι* Naber. Mnem. nov. VIII 412. *ζῴου* A. *ξοάνου* recte Bentl. erat enim puella. *ξόανα* autem saepe etiam sunt aenea, aurea vel lapidea. — cf. Alexid. 40.

140. 141

καλῶς ποιήσας καλῶς ὠνείδισας
ἔργον καθεῖλες πλουσίου πτωχὸς λόγῳ.
καυχώμενος τὸ δῶρον ὃ δέδωκας φίλῳ
ἔργῳ στρατηγὸς γέγονας ἐν λόγῳ φονεύς.

Compar. Men. et Phil. p. 360. 1. *ποιήσας* Grot.] *πονήσας*. *καλῶς*] *οὐ καλῶς* Grot. *εἰ κακῶς* Mein. *οὐ καλῶς ὀνειδίσας* Dobr. Adv. II 290. 2. *πλουσίου πτωχὸς* D. Heinsius] *πλούσιον πτωχῶν*. 4. *λόγῳ στρ. γ. ὢν ἔργῳ φ.* Dobr. *ἔργῳ 'παρωγὸς* vel *χορηγὸς* Herwerd. Mnem. nov. VI 73. scrib. *ἔργου κρατίστου γέγονας ἐν λ. φ.* cf. 176.

non videntur Attici poetae esse Meinekio. non recte meo quidem iudicio, dummodo recte emendentur. — 2. *ἔργον ἀγαθὸν καθελεῖν* dicuntur ei qui liberalitatem re exercent, voce et exprobrando beneficia rescindunt. a v. 3 alterum incipere fragmentum monuit Dobraeus.

142

βουνὸν ἐπὶ ταύτῃ καταλαβὼν ἄνω τινά —
Β. τίς ἔσθ' ὁ βουνός; ἵνα σαφῶς σου μανθάνω.

Phrynichus Epit. 355 *βουνός· ὀθνεία ἡ φωνὴ τῆς Ἀττικῆς· καὶ γὰρ αὐτὸς ὁ χρησάμενος τῷ ὀνόματι, συνεὶς ξένως (ξένῳ?) κεχρημένος, σημαίνεται ὡς ἀσαφῶς διαλεγόμενος· εἰπόντος γάρ τινος* (v. 1) *ὁ προσδιαλεγόμενος, οὐ συνεὶς τὸ ξένον τοῦ ὀνόματός φησι* (v. 2) *...ὁ δ' οὖν κεχρημένος τῷ βουνὸς ὀνόματι Φιλήμων ἐστίν, εἷς*

τῶν τῆς νέας κωμῳδίας. cf. 49. Herodian. I 178, 7. II 940, 4. — persona prior orationem non finivit: deest enim verbum finitum. simillimum est diverbium Soph. OCol. 473—482, ubi maxime cf. 473, cui signum interruptae orationis addendum est, 475. 9.

143

χαλεπόν γ' ἀκροατὴς ἀσύνετος καθήμενος·
ὑπὸ γὰρ ἀνοίας οὐχ ἑαυτὸν μέμφεται.

Theophil. Autol. 3, 385d *καθάπερ καὶ ὁ Φιλήμων κτλ.* 1. *γ'* add. Dobraeus, ne esset proceleusmaticus. cf. Hanov. Exerc. crit. 151. 2. *οὐχ ἑαυτὸν μέμφεται, ἀλλὰ τὸν ποιητήν.*

144

παρὰ τοῦ βασιλέως γράμμαθ' ἥκει σοι, Μάγα.
Β. Μάγα κακόδαιμον, γράμματ' οὐκ ἐπίστασαι.

Plutarchus Mor. 458a *καλὰ δὲ καὶ... Μάγα τὰ πρὸς Φιλήμονα. δημοσίᾳ γὰρ ὑπ' αὐτοῦ (Φιλήμονος) κωμῳδηθεὶς ἐν θεάτρῳ κτλ. λαβὼν ὑπὸ χειμῶνος εἰς Παραιτόνιον ἐξενεχθέντα στρατιώτῃ μὲν ἐκέλευσε γυμνῇ τῇ μαχαίρᾳ θιγεῖν τοῦ τραχήλου μόνον, εἶτα κοσμίως ἀπελθεῖν. ἀστραγάλους δὲ καὶ σφαῖραν ὡς παιδαρίῳ νοῦν οὐκ ἔχοντι προσέπεμψεν.* idem 449e *ὁ δὲ (Μάγας) τῷ Φιλήμονι τὸν δήμιον ἐκέλευσεν ἐπὶ τὸν τράχηλον ἐπιθεῖναι γυμνὴν τὴν μάχαιραν, εἶτ' ἀφεῖναι.* 2. *Μάγας, κακόδαιμον,* — *ἐπίσταται* Clericus, nulla necessitate. *Β. Μάγα; κακόδαιμον,* — *ἐπίσταται* Haupt. Opusc. III 554.

duo Magas constat fuisse. a Philemone significatur natu maior, Philippi, ducis Macedonici, et Berenices, postea Ptolemaei uxoris, filius, Cyrenes praefectus, qui contra Ptolemaeum Philadelphum duo bella gessit, a. 258 a. Chr. corporis crassitudine suffocatus. Paus. 1, 6, 8 *Κυρήνης ἀποστάσης Μάγας Βερενίκης υἱὸς Πτολεμαίῳ τότε συνοικούσης ἔτει πέμπτῳ μετὰ τὴν ἀπόστασιν εἷλε Κυρήνην.* 7, 1 sq. *Μάγας δὲ ἀδελφὸς ὁμομήτριος Πτολεμαίου παρὰ Βερενίκης τῆς μητρὸς ἀξιωθεὶς ἐπιτροπεύειν Κυρήνην ... ἀποστήσας Πτολεμαίου Κυρηναίους ἤλαυνεν ἐπ' Αἴγυπτον.* Agatharchid. Athen. 12, 550bc. Polyaen 2, 28. Droysen. Hellenism. I 417. 8. II 242—248.

145

οὐ τοὺς ἀώρους εἰπά σοι, μαστιγία,
πόδας πρίασθαι; σὺ δὲ φέρεις ὀπισθίους.

Bekker. Anecd. 476, 14 *ἄωροι πόδες, οἱ ἐμπρόσθιοι ... Φιλήμων κτλ.* Eustathius 1715, 23 *εἰσὶ δὲ οἱ τοὺς ἐμπροσθίους πόδας ἀώρους φασί, φέροντες καὶ χρῆσιν τοῦ κωμικοῦ εἰπόντος κτλ.* Schol. Odyss. 12, 89. 1. *εἰπά σοι*] *εἶπας* Eust. om. *μαστιγία.* 2. *πρίασθαι*] *κομίζειν* Eust. Schol.

146

καὶ τοῦ θέρους μὲν εἶχεν ἱμάτιον δασύ,
ἵν' ἐγκρατὴς ᾖ, τοῦ δὲ χειμῶνος ῥάκος.

Diogenes Laert. 6, 87 αὐτὸν δὲ (Κράτητα) καρτερῶς οὕτω φιλοσοφεῖν, ὥστε καὶ Φιλήμονα τὸν κωμικὸν αὐτοῦ μεμνῆσθαι· φησὶ γοῦν κτλ. 2. ἵν' ἐγκρατὴς] ἵνα Κράτης Kuehn. ἵν' ὡς Κράτης Cobet. fortasse ἵνα δὴ Κράτης ᾖ. ad *Philosophos* fortasse pertinere arbitratur Meinekius.

147

μὴ νουθέτει γέρονθ' ἁμαρτάνοντά τι·
δένδρον παλαιὸν μεταφυτεύειν δύσκολον.

Compar. Men. et Phil. p. 358. Anton. Mel. 64. 1. τι Grot.] ποτε. om. Ant. fortasse που. 2. δένδρον γὰρ et μεταφυτεῦσαι Anton. Zenob. 2, 1 γεράνδρυον μεταφυτεύειν· ἐπὶ τοῦ ἀδυνάτου. παρεγγυᾷ δὲ ὅτι μὴ δεῖ τοὺς παρηβηκότας προάγειν ἐπὶ τὰ τῶν ἀκμαζόντων ἔργα. cf. Diogenian. 3, 77. Greg. Cypr. Mosq. 2, 76. Apostol. 6, 5. Suid. γεράνδρυον. Toeppel. Progr. Neobr. 1867, 18.

148

ὦ Πάμφιλ', ὁ χρόνος οὐ μόνον τὰ σώματα
αὔξει βαδίζων, ἀλλὰ καὶ τὰ πράγματα.

Stobaeus Ecl. 1, 8, 3 Wachsm. Φιλήμονος Farn. Par. marg. 2. τὰ πράγματα sunt *molestiae*.

149

ὅσαι τέχναι γεγόνασι, ταύτας, ὦ Λάχης,
πάσας ἐδίδαξεν ὁ χρόνος, οὐχ ὁ διδάσκαλος.

Stobaens Ecl. 1, 8, 34 Wachsm. Φιλήμονος Par. marg., ad v. 2 Farn. marg. 1. Λάχης Grot.] λάτης F. λάγης P. 2. ἐδίδαξεν] fortasse ἔδειξεν.

150

ὅσα διὰ τοὺς πράττοντας αὐτοὺς γίνεται,
οὐδενὶ πρόσεστιν οὐδὲ κοινωνεῖ τύχη.

Stobaeus Ecl. 2, 8 (7), 1 Wachsm. Φιλήμονος. 2. κοινωνεῖν P. τύχη Grot.] ψυχή. in eis quae homines suis consiliis viribusque perficiant fortunae partes esse negat. caput 8 inscriptum est περὶ τῶν ἐφ' ἡμῖν.

151

ἐπὰν ὁ νοῦς ᾖ μὴ καθεστηκώς τινι,
οὐκ ἔστ' ἀκούειν οὐδὲν αὐτὸν οὐδ' ὁρᾶν.

Stobaeus Floril. 4, 41 *Φιλήμονος* Trinc. deest in A. 2. *οὐδὲν* Mein.] *οὐθὲν*. *αὐτὸν* Scalig. ap. Grot.] *αὐτῷ*. *τούτων* Trinc.

152

τὸ γνῶθι σαυτόν· οὐ μάτην εὖ ἴσθ' ὅτι
τὸ ῥῆμα τοῦτο δόξαν ἐν Δελφοῖς ἔχει.

Stobaeus Floril. 22, 4 *Φιλήμονος* A. plenius interpunxi post *σαυτόν*.

153

ὡς ἡδέως μοι γέγονε τὰ πρότερον κακά·
εἰ μὴ τότ' ἐπόνουν, νῦν ἂν οὐκ εὐφραινόμην.

Stobaeus Floril. 29, 30 *Φιλήμονος* A. 1. *πρότερον* AB m. sec.] *πρότερα*.

154

πολλά με διδάσκεις ἀφθόνως διὰ φθόνον,
ὅπως ἀκούων πολλὰ μηδὲ ἓν μάθω.

Stobaeus Floril. 38, 24 *Φιλήμονος* A. Mantiss. prov. 2, 63 *Φιλήμονος ἐπὶ τῶν φθόνων* (scr. *φθόνῳ*) *διδασκόντων*. 1. *φθόνον*] *φθόνων* Mant. prov. 2. *τὰ πολλὰ* A. *κλύων τὰ πολλὰ* Nauck. *ἀπορῶν τὰ πολλὰ* K.

155

στρατιῶτα, κοὐκ ἄνθρωπε, καὶ σιτούμενε
ὥσπερ ἱερεῖον, ἵν' ὅταν ᾖ καιρὸς τυθῇς.

Stobaeus Floril. 53, 8 *Φιλήμονος* A. 2. *ὥσπερ ἱερεῖον* Porson. Adv. 296] *ὡς τὰ ἱερεῖα*. cf. fr. 214. desunt quae adpellationem aut sequebantur aut antecedebant.

156

ἔτεκές με, μῆτερ, καὶ γένοιτό σοι τέκνων
ὄνησις, ὥσπερ καὶ δίκαιόν ἐστί σοι.

Stobaeus Floril. 79, 8 *Φιλήμονος* Trinc.

157

ὅστις πένης ὢν ζῆν παρ' ὃ ζῆν βούλεται·
ἡ γὰρ σπάνις πρόχειρος εἰς τὸ δρᾶν κακά.

Stobaeus Floril. 96, 6. 7 *Φιλήμονος* A. utrumque versum coniunxit Grotius. 1. *ζῇ παρ' ὃ ζῆν* ed. Gaisf. *ζῇ παραζῆν* Gesn. *ζῆν παρ' ὃ ζῇ* Salmas. *πᾶς τις — ζῇ παρ' ὃ ζῆν* Bentl. '*vivit aliter quam vivere cupit*, h. e. cupit paupertatem effugere, etiam per

nefas et scelera.' *ὅστις πένης ὢν ζῆν ἐν ἄστει βούλεται*, ut Menand. 397, 1 Volkmar. Philol. VIIII 586. *ὅστις πένης ὢν ζῆν παραζῆν β.*, i. e. *ὅστις π. ὢν ζῆν β., παραζ. β.* Herwerd. Mnem. VI 74.

158

τοιοῦτος ὁ βίος ἐστὶν ἀνθρώπου, γύναι·
εὐφραινόμεσθ' ἐλάττον' ἢ λυπούμεθα.

Stobaeus Floril. 98, 3 *Φιλήμονος* A. 2. *εὐφραινόμεσθ'* A] *εὐφραινόμεθ'*. *ἐλάττον'* Cobet. Mnem. VIIII 142] *ἔλαττον*.

159

οὕτως, ὅταν ἐμπέσῃ τις εἰς τὸν νοῦν φόβος,
κἀκ τοῦ καθεύδειν οὗτος οὐκ ἐξέρχεται.

Stobaeus Floril. 99, 5 *Φιλήμονος* A. 2. *κἂν τῷ* Bentl. '*ne in somnis quidem pavor e mente excedit.*'

160

ἀγαθὴ γὰρ ἡ λύπη καθ' αὑτῆς ἀναπλάσαι
ἀτεχνῶς διπλάσια τῆς ἀληθείας κακά.

Stobaeus Floril. 99, 22 *Φιλήμονος* A. 1. *ἀγαθὴ*] *δεινὴ* Cobet. Mnem. nov. II 440.

161

πόλλ' ἔστιν ἐν πολλαῖσιν οἰκίαις κακά,
ἃ καλῶς ὅταν ἐνέγκῃς ἀγαθὰ γενήσεται.

Stobaeus Floril. 108, 35 *τοῦ αὐτοῦ* (*Φιλήμονος*) A. 2. *ὅταν* G. Hermann. Opusc. IIII 374] *ἐὰν*. *ἃ καλῶς ὅταν φέρῃ τις, ἀγαθὰ γίνεται* Cobet. Mnem. nov. II 443.

162

ἐνταῦθ' ἀνὴρ γάρ ἐστιν ἀνδρὸς διάφορος,
ἐν τῷ τό τε κακὸν εὖ φέρειν καὶ τἀγαθόν.

Stobaeus Floril. 108, 37 *Φιλήμονος* A. 1. *γὰρ* om. AB. 2. *εὖ φέρειν*] *εὐφραίνειν* A.

163

αἰτῶ δ' ὑγίειαν πρῶτον, εἶτ' εὐπραξίαν,
τρίτον δὲ χαίρειν, εἶτ' ὀφείλειν μηδενί.

Lucianus Pro lapsu 6 *πολὺ δ' ἂν εὕροις τὸ ὑγιαίνειν πρῶτον εὐθὺς λεγόμενον. καὶ ὁ Φιλήμων κτλ.* cf. Anaxandr. 17. 1. *αἰτῶ*] *αἰνῶ* K.

164

μὴ λέγ' ὅτι δώσεις· οὐ δίδωσι γὰρ ὁ λέγων,
καὶ τὴν ἀπ' ἄλλων ἐμποδίζεται δόσιν.

Compar. Men. et Phil. p. 316. 1. *λέγ' ὅτι — γὰρ ὁ* Mein.] *λέγε τί — γὰρ. οὐ δίδωσι*] *οὐκ ὀνίνησι?* 2. *ὑπ' ἄλλων* sine ulla necessitate Herwerd. Obs. crit. 85.

165

μηδέποτε μέμφου τὴν τύχην, εἰδὼς ὅτι
καιρῷ πονηρῷ καὶ τὰ θεῖα δυστυχεῖ.

Compar. Men. et Phil. p. 357.

166

τί ἐστιν ὁ θεὸς οὐ θέλει σε μανθάνειν·
ἀσεβεῖς τὸν οὐ θέλοντα μανθάνειν θέλων.

Compar. Men. et Phil. p. 359. v. 1 Stobaeus Ecl. 2, 1, 5c Wachsm. cf. 118. 1. sic Stob. *τίς — οὐ θέλῃς σὺ* Compar. — Philistion Boissonad. Anecd. I 148 *οὐ γὰρ θέλω σε μανθάνειν τί δὴ θεός.*

167

πονηρὸς ἂν ᾖ δοῦλος, εὑρήσει δίκην·
σὺ μὴ γενηθῇς τῆς δίκης προηγέτης.

Compar. Men. et Phil. p. 360. 1. *ᾖ — εὑρήσει* Grot.] *εἰ — εὑρήσῃ. πονηρὸς ἂν ᾖ δοῦλος εὑρίσκῃ* C. Fr. Hermann. Mus. Rhen. V 609. 2. *σὺ δὲ μὴ* Grot. confirmari criticorum coniecturas libro Parisino dicit H. Iacobi Mein. ed. min. xix.

168

ἅπαν διδόμενον δῶρον, εἰ καὶ μικρὸν ᾖ,
μέγιστόν ἐστι μετ' εὐνοίας διδόμενον.

Compar. Men. et Phil. p. 360. 1. *εἰ*] *ἂν* Mein.. 2. *ἐστιν, ἂν μετ' εὐνοίας διδῷς* Grotius. *μέγιστον, ἂν διδῷς μετ' εὐνοίας μόνον* O. Hense Lect. Stob. 16.

169

ἐὰν γυνὴ γυναικὶ κατ' ἰδίαν ὁμιλεῖ,
μεγάλων κακῶν θησαυρὸς ἐξορύσσεται.

Compar. Men. et Phil. p. 360. 1. *ὁμιλεῖ*] *συνῇ* Mein. *λαλῇ* G. Herm. Mus. Rhen. V 611. 2. *μέγας — ἐξορύττεται* K.

170

σαπρὰν γυναῖκα δ' ὁ τρόπος εὔμορφον ποιεῖ·
πολὺ γὰρ διαφέρει σεμνότης εὐμορφίας.

Compar. Men. et Phil. p. 363. 1. δ' add. Mein. *σαπρὰς γυναῖκας — εὐμόρφους* Lobeck. Phryn. 378. 2. *γὰρ* add. Grot. *γε* Mein., duo fragmenta esse coniciens.

171

γνώμην πονηρὰν τῇ γυναικὶ μὴ δίδου·
ἐλαφρὸν τὸ γένος γάρ ἐστι καὶ λίαν κακόν.

Compar. Men. et Phil. p. 364. 1. *δίδου* corruptum videtur. 2. sic Mein. pro *ἐλαφρὸν γάρ ἐστι τὸ γένος*. ad *Aetolum* (fr. 6) refert Mein.

172

ὅταν τινὰ τάφον στεφανοῖς κόσμῳ ποικίλῳ,
τὸ ζῆν τὸ σαυτοῦ στεφάνοις παρηγόρει.

Compar. Men. et Phil. p. 364. 1. *ὦ 'τάν, τάφον στεφάνῳ τί κοσμεῖς* Grot. *μάτην τάφον στεφάνοισι κοσμεῖς ποικίλοις* Dobr. Adv. II 292. 2. *στεφάνοις*] *στέμμασιν* Heinsius. *τὸν ζῶντα σαυτὸν τοῖς στ.* Dobr. an *ὅταν τάφον στεφάνῳ σὺ κοσμῇς π.*, | *τὸ ζῆν σεαυτὸν τοῖς στεφ. παρηγορεῖς*?

173

ζῶν γὰρ ἀσκοῦ σαυτῷ στεφάνων καὶ μύρα·
χρήσῃ γὰρ αὐτοῖς αἰσθόμενος μεθ' ἡδονῆς.

Compar. Men. et Phil. p. 364. 1. *γὰρ ἀσκοῦ*] *παράσχου* Mein. *στεφάνους* cod. Paris. itaque *στεφάνους σεαυτῷ ζῶν παράσχου καὶ μύρα* H. Iacobi Mein. ed. min. XIX. 2. sic Heinsius pro *μεθ' ἡδονῆς αἰσθόμενος*. offendit aoristus. fortasse *αἰσθανόμενος χρήσει γὰρ αὐτοῖς ἡδέως*.

174

κἂν μέχρι νεφέων τὴν ὀφρὺν ἀνασπάσῃς,
ὁ θάνατος αὐτὴν πᾶσαν ἑλκύσει κάτω.

Compar. Men. et Phil. p. 364. 1. *κἂν τὴν ὀφρὺν μέχρι τῶν νεφέων* Dobr. Adv. II 292. *ἐὰν γὰρ μέχρι νεφῶν* cod. Par. *ἂν γὰρ μέχρι νεφῶν* H. Iacobi. 2. *πᾶσαν*] *αὖθις* Herwerd. Nov. add. crit. 38. at Philemon dicit 'eum *totum* laborem mors inritum faciet.' neque *ἑλκύσω*, Hippocrati Lucianoque non ignotum, cum aoristus antiquitus fuerit *εἵλκυσα*, Philemonis aetati abiudicandum videtur. — Poll. 2, 49 *τὰς ὀφρῦς αἴρων ὁ ὑπερήφανος, καὶ τὰς ὀφρύας ἀνασπῶν ἢ αἰωρῶν ἢ ἀνέλκων ἢ ἀνατείνων ὑπὲρ τὰ νέφη.*

175

μὴ λέγε ἐκφυγὼν θάνατον ὅτι [καὶ] φεύξομαι πάλιν·
ὡς γὰρ πέφευγας, προσδόκα καὶ μὴ φυγεῖν.

Compar. Men. et Phil. p. 364. 1. *φυγὼν θάνατον μὴ λέγ' ὅτι φ. π.* Heinsius. *θάνατον φυγὼν κτλ.* Duebner. ac *καὶ* om. cod. Par. *μὴ λέγε φυγὼν τὸν θάνατον, ὅτι φεύξει π.* H. Iacobi.

176

ἐὰν ὁρῶν πένητα γυμνὸν ἐνδύσῃς,
μᾶλλον ἀπέδυσας αὐτόν, ἂν ὀνειδίσῃς.

Compar. Men. et Phil. p. 365. 1. *ἐὰν πένητα γυμνὸν ἐνδύσῃς ὁρῶν* Seidler. De v. dochm. 396. 2. *ἂν* Mein.] *ἐὰν.* — cf. 140.

177

ἀνὴρ γυναικὸς λαμβάνων συμβουλίαν
πεσεῖν δεδοικώς, βούλεται πάλιν πεσεῖν.

Compar. Men. et Phil. p. 365. 2. *πεσεῖν — πεσεῖν*] *πεζεῖν — πιδεῖν.* *πάλιν*] *πάντως* Mein. at *πάλιν* pertinet ad *βούλεται.* 'ut cadere metuit, ita rursus (*hinwiederum*) ipse cadere vult.'

178

ὁ γῆρας αἰτῶν παρὰ θεῶν ἁμαρτάνει·
τὸ γὰρ πολὺ γῆρας ἐσχάτων πόνων γέμει.

Compar. Men. et Phil. p. 366. 2. *πόνων* Herwerd. Nov. add. crit. 38] *πολλῶν.*

179

γέρων γενόμενος μὴ φρόνει νεώτερα,
μηδ' εἰς ὄνειδος ἕλκε τὴν σεμνὴν πολιάν.

Compar. Men. et Phil. p. 366. 2. *ἕλκε τὴν* Grot. Excerpt. 917] *ἕλκυε τὴν.* fortasse *ἑλκύσῃς.* *πολιάν*] *τρίχα* Mein. an *κόμην*?

180

οὐχ ἡ πόλις σου τὸ γένος εὐγενὲς ποιεῖ,
σὺ δ' εὐγενίζεις τὴν πόλιν πράττων καλῶς.

Compar. Men. et Phil. p. 366. 1. *εὐγενὲς* Heins.] *εὐγενῆ.* *ποιεῖ* add. Heins. 2. *πράττων*] *πράσσων.* — *εὐγενίζειν*, quod alibi me legere non memini, Philemon videtur consulto finxisse. O. Ribbeck. Com. Rom. fr.[2] 128 (inc. 77) *homo locum ornat, non hominem locus.*

181

οἱ γὰρ θεὸν σέβοντες ἐλπίδας καλὰς
ἔχουσιν εἰς σωτηρίαν.

Theophilus Autol. 3, 385 *τίνι οὖν αὐτῶν πιστεύσωμεν; Φιλήμονι τῷ κωμικῷ λέγοντι κτλ.* Epiphanius in Ancyr. 512, 30 *ὁ δ' ἐφ' ἡμῶν* (Casaub. *ὁ δὲ Φιλήμων*) *ἕτερος κωμικός φησιν, οἱ ἕνα θεὸν σέβοντες ἐλπίδας ἔχουσι καλὰς εἰς σωτηρίαν.* 2. scr. *σωτηρίας ἔχουσιν.* haec cur spuriis adnumeranda censeat Meinekius non video. talia enim dicta apud omnes Graecorum poetas multa inveniuntur.

182

δύ' εἰ λάβοι
τάλαντα, χρυσοῦς ἓξ ἔχων ἀποίσεται.

Etymol. m. 744, 38 *τὸ τάλαντον κατὰ τοὺς παλαιοὺς χρυσοῦς εἶχε τρεῖς· διὸ καὶ Φιλήμων ὁ κωμικός φησι κτλ.* 2. *ἓξ ἔχων* Petitus] *ἔχων ἓξ.*

183

νόμῳ τεθαύμακ', οὐκ ἐπεὶ
πέπλευκεν, ἀλλ' εἰ δὶς πέπλευκεν.

Diodorus Sic. 12, 14 *Φιλήμονος τοῦ κωμῳδιογράφου γράφοντος τοὺς πολλάκις ναυτιλλομένους καὶ εἰπόντος κτλ. τὸ παραπλήσιον ἄν τις ἀποφαίνοιτο μὴ θαυμάζειν εἴ τις γεγάμηκεν, ἀλλ' εἰ δὶς γεγάμηκε.* Nicephorus Greg. Hist. Byz. XII 6 p. 297 *καὶ ταῦτα τῶν πάλαι σοφῶν θαυμάζοντος ἀκούων τινός, οὐχ ὅτι πέπλευκέ τις ἀλλ' ὅτι πέπλευκε δίς.* 1. *νόμῳ*] *οἴμοι* Wesseling. *ὅμως* Mein. scribendum utique *καὶ εἰπόντος Νόθῳ* (cf. fr. 49. 50)· *τεθαύμακ' οὐκέτ' εἰ* (id enim et Philemon et Diodorus flagitant) *πέπλευκεν κτλ.* cf. etiam Diodor. 18, 59 *παράδοξόν ἐστιν οὐκ εἰ γέγονέ τι παράλογον, ἀλλ' εἰ μὴ πᾶν ἐστι τὸ γινόμενον ἀνέλπιστον.*

184. 185

μαινόμεθα πάντες, ὁπόταν ὀργιζώμεθα.
τὸ γὰρ κατασχεῖν ἐστι τὴν ὀργὴν πόνος.

Stobaeus Floril. 20, 4 *Φιλήμονος* A. Anton. Mel. 77 p. 133, 20. 2. *τὴν ὀργὴν* Gesn.] *τῆς ὀργῆς*, quod retinuit in Stobaeo Mein., cf. Vind. Strab. 211. *τῆς ὀργῆς πόνος μέγας* Ant. Mel. — Menand. 811 Mein. *ὅσος τὸ κατέχειν ἐστὶ τὴν ὀργὴν πόνος.* duo fragmenta esse vidit H. Stephanus.

186. 187

μὴ λέγε τίς ἦσθα πρότερον, ἀλλὰ νῦν τίς εἶ.
πρὸς τὴν παροῦσαν πάντοθ' ἁρμόζου τύχην.

Compar. Men. et Phil. p. 365. 1. sic Mein. pro *μὴ λέγε πρότερον τίς ἦς, ἀλλὰ νῦν τίς ᾖ.* 2. *ἁρμόζου* Rutgers.] *ὁρμάζου.* scr. *ἁρμόττου.* duo fragmenta esse monuit Buttmannus.

188

ὄνος βαδίζεις εἰς ἄχυρα τραγημάτων.

φησί που Φιλήμων. Athenaeus 2, 52e. de syntaxi cf. Cratin. 52 et de proverbio Eupol. 299. Apostol. 12, 78 *ὄνος εἰς ἄχυρα ἐπὶ τῶν παρ' ἐλπίδας εἰς ἀγαθὰ ἐμπιπτόντων καὶ τούτοις ἀπολαυστικῶς χρωμένων.* Diogenian. 6, 91. Greg. Cypr. Mosq. 4, 61. Suid. *ὄνος.*

189

Κροίσῳ λαλῶ σοι καὶ Μίδᾳ καὶ Ταντάλῳ.

Eustathius 1701, 6 *Ταντάλου τάλαντα, ἐπεὶ πλούσιός ποτε ἦν, ὡς δηλοῖ, φασί, Φιλήμων εἰπών κτλ.* fortasse praecedebat *ὥσπερ οὖν.* an *Κροίσῳ γέλως εἶ?*

190

σαυτὴν ἐπαινεῖς ὥσπερ Ἀστυδάμας ποτέ.

Photius *σαυτὴν — ποτέ. Ἀστυδάμᾳ τῷ Μορσίμου εὐημερήσαντι ἐπὶ τραγῳδίας διδασκαλίᾳ Παρθενοπαίου δοθῆναι ὑπ' Ἀθηναίων εἰκόνος ἀνάθεσιν ἐν θεάτρῳ. τὸν δὲ εἰς αὐτὸν ἐπίγραμμα ποιῆσαι ἀλαζονικὸν . . . καὶ παροιμία παρὰ τοῖς κωμικοῖς ἐγένετο, ὡς παρὰ Φιλήμονι.* Zenob. 5, 100, ubi cf. quae Leutschius adnotavit. *ποτέ*] *γύναι* Zenob. Diodor. 14, 43 *Ἀστυδάμας δὲ ὁ τραγῳδιογράφος τότε* (Ol. 95, 2) *πρῶτον ἐδίδαξεν, ἔζησε δὲ ἔτη ἑξήκοντα.*

191

ἄλλος κατ' ἄλλην δαιμονίζεται τύχην.

Stobaeus Ecl. 1, 6, 8 Wachsm. *Φιλήμονος* (falso adscriptum ad 7). Plut. Mor. 706e *οἱ μάγοι τοὺς δαιμονιζομένους κελεύουσι τὰ γράμματα* (Anaxil. 18) *πρὸς αὐτοὺς καταλέγειν.* aliter *δεδαιμονισμένον* Soph. Ἴr. 174 N.

192

χρόνος τὰ κρυπτὰ πάντα εἰς φάος ἄγει.

Stobaeus Ecl. 1, 8, 26 *Φιλήμονος.* 'tragici incerti' Wachsm., lemma falso hic adscriptum censens (?). *πρὸς* (*τὸ* add. Mein.) *φῶς ἄγει* Menand. monost. 592. cf. monost. 459. hic fortasse scribendum *πάντ' ἀεὶ πρὸς φῶς ἄγει.*

193. 194

ἅπας πονηρὸς οἶνος ὁ πολύς ἐστ' ἀεί.
ἐμέθυον· ἱκανὴ πρόφασις εἰς θἁμαρτάνειν.

Stobaeus Floril. 18, 8. 9 *τοῦ αὐτοῦ* (*Φιλήμονος*) A utrubique. 1. *ἅπας*] *ὦ παῖ* Mein. — cf. 104.

195

ἄνθρωπος ὢν τοῦτ' ἴσθι καὶ μέμνησ' ἀεί.

Stobaeus Floril. 21, 1 *Φιλήμων* A. *Φιλήμονος* Trinc. Anton. Mel. 138. *τοῦτ'*] *εὖ* K. *μέμνησ'*] *μένεις* Ant. Mel.

196

ἀθάνατόν ἐστι κακὸν ἀναγκαῖον γυνή.

Stobaeus Floril. 68, 3 *Φιλήμονος* A. ad *Thesaurum* rettulit G. Hermannus propter Plautum Trin. 1, 2, 17 *eho, tua uxor quid agit? inmortalis est.*

197

τὸν δὲ μόνον ὄντα καὶ κακὴ τύχη τρέφει.

Stobaeus Floril. 68, 16 *Φιλήμονος* A. Boissonad. Anecd. I 115. *δὲ* add. Gesn. *κἂν μόνον* Boisson. *ἕνα μόνον* multo deterius Gesnero Mein. Stob. III VII. cum Stobaei libro 68 inscriptum sit *ὅτι οὐκ ἀγαθὸν τὸ γαμεῖν*, non dubito quin Philemonis sit *μόνον μένοντα παγκάλη τύχη τρέφει.*

198

γαμεῖν ὃς ἐθέλει εἰς μετάνοιαν ἔρχεται.

Stobaeus Floril. 68, 23 *Φιλήμονος* A. *γαμεῖν ὁ μέλλων* Menand. monost. 91.

199

βούλου γονεῖς πρώτιστον ἐν τιμαῖς ἔχειν.

Stobaeus Floril. 79, 30 *Φιλήμονος* A. *πρώτιστον* Stob.] *πρὸ παντὸς* Menand. monost. 72. ad *Thesaurum* refert G. Hermann. Plaut. Trin. praef. XXVII. Chaeremonis esse censet A. Nauck (fr. 35). cf. infra 237.

200

ἡδύ γε πατὴρ τέκνοισιν εἰ στοργὴν ἔχοι.

Stobaeus Floril. 83, 9 *Φιλήμονος* A. fort. *ἂν* — *ἔχῃ.*

201

πλοῦτον μεταλήψεθ' ἕτερον, οὐχὶ τὸν τρόπον.

Teles Stobaei Flor. 97, 31 p. 237 Lips. *οὐκ ἀηδῶς γὰρ ὁ Φιλήμων κτλ.* *μεταλήψεσθε* AB. *φιλήμονε* A.

202

νόσον πολὺ κρεῖττόν ἐστιν ἢ λύπην φέρειν.

Stobaeus Floril. 99, 6 sine nomine auctoris. Apostol. (Ars.) 12, 14 h *Φιλήμονος.* cf. Menand. monost. 383.

203

θανεῖν κράτιστόν ἐστιν ἢ ζῆν ἀθλίως.

Stobaeus Floril. 121, 8 *Φιλήμονος* A Voss. *κράτιστον* A Voss.] *ἄριστον.* deinde *ἢν ζῆς ἀθλίως* Mein.

204

χρόνῳ τὰ πάντα γίνεται καὶ κρίνεται.

Stobaeus Ecl. 1, 8, 29 Wachsm. *Φιλήμονος.* cf. quae adnotavit Wachsm. Menand. monost. 368. *χρόνῳ*] *νόμῳ* monost. *κραίνεται* vel *φθείρεται* Mein.

205. 206

κρίσει δικαίᾳ καὶ δίδου καὶ λάμβανε.
εἰς χεῖρα δοῦλον δεσπότῃ μὴ συμβάλῃς.

Compar. Men. et Phil. p. 360. v. 1 ad *Thesaurum* refert G. Hermannus Plaut. Trin. praef. XXVII.

207

ψυχῆς πόνος γὰρ ὑπὸ λόγου κουφίζεται.

Compar. Men. et Phil. p. 362. *πόνος γὰρ* Rutgers.] *γὰρ πόνος.* a fr. 112. 113, quibus subicitur, separavit Meinekius (cf. Dobr. Adv. II 287).

208

ἡ μὲν χελιδὼν τὸ θέρος, ὦ γύναι, λαλεῖ.

Schol. Aristoph. Av. 39 *Φιλήμων κτλ.* *τὸ* Bentl.] *αὐτὸ* V Ald. *αὖ τὸ* K. om. *ὦ.* Cobetus N. l. 33. 4 sententiam fere huiuscemodi fuisse censet: *ἡ μὲν χελιδὼν τὸ θέρος, ὦ γ., λαλεῖ, σὺ δὲ δι' ἔτους.* Meinek. Mosch. p. 440 *ἡ μὲν χελιδὼν αὐτὸ τὸ θέρος, ὦ γύναι,* | *λαλεῖ, σὺ δὲ καὶ χειμῶν' ὅλον προσλαμβάνεις.* at *λαλεῖ* meo iudicio est '*nuntiat*'.

209

μεθύει, διαγραμμίζει, κυβεύει _ ⏑ _.

Eustathius 633 extr. *διαγραμμισμὸς ἐγίνετο . . . κυβείας εἶδος διὰ τῶν ἐν πλινθίοις ψήφων ἑξήκοντα, λευκῶν τε ἅμα καὶ μελαινῶν. χρῆσις τοῦ παιγνίου τοῦδε (τοῦ διαγραμμισμοῦ) παρὰ Φιλήμονι ἐν τῷ κτλ.* Pollux 9, 99 *ἐγγὺς δέ ἐστι ταύτῃ τῇ παιδιᾷ* (Cratin. 56) *καὶ ὁ διαγραμμισμὸς καὶ τὸ διαγραμμίζειν, ἥν τινα παιδιὰν καὶ γραμμὰς ὠνόμαζον.* Hesych. *διαγραμμισμός· παιδιά τις ἑξήκοντα ψήφων λευκῶν καὶ μελαινῶν ἐν χώραις ἑλκομένων.* — in exitu fort. supplendum *θρύπτεται.*

210

μεμίσθωνταί με δείλης πρωίας.

Schol. Vict. Hom. Il. 18, 277 *Φιλήμων φησίν κτλ. ἀντὶ τοῦ ἀρχομένης δείλης.* Eustathius 1142, 52 *πρωὶ λέγεται καὶ τὸ ἕως ἕκτης ὥρας· Φιλήμων οὖν φησι κτλ. ἤτοι περὶ τοιαύτην πρωίαν, ἀφ' ἧς ἡ δείλη ἄρχεται. μεμίσθωταί* Eust. — cf. Tim. Lex. Plat. *δείλης πρωίας· τῇ πρὸ ἀρίστου ὥρᾳ. δείλης ὀψίας· τῇ πρὸ δείπνου,* ubi cf. Ruhnken.

211

ἀλλ' ἀπόλλυμαι
κατὰ μυὸς ὄλεθρον.

Append. Vatic. II 93 (Bast. Epist. cr. p. 90) *μυὸς ὄλεθρος· οἱ μύες ἀπορρεόντων αὐτοῖς τῶν μελῶν κατὰ βραχὺ φθείρονται. ὅθεν καὶ Φιλήμων φησίν κτλ.* 2. *κατὰ* delet Herwerden. Obs. crit. 85. at Aelianus quoque H. an. 12, 10 *ἡ παροιμία λέγει κατὰ μυὸς ὄλεθρον* (Menand. 212 Mein.) et Apostol. 9, 28. cf. Diogenian. 6, 66. Mant. prov. 2, 25 (*μυόλεθρος*).

212

Photius *ὀκτώπηχυς καὶ ὀκτώπους· Φιλήμων. ὀκτώπαν ποταμόν· Αἰσχύλος διαπέπλευκε Νεανίσκοις. ὀκτώπας· ἤτοι ὁ σκορπίος. ὀκτώπους· ἢ ὁ μακρὸς ὀκτὼ ποδῶν.* G. Hermannus Opusc. V 27 *ὀκτώπηχυς καὶ ὀκτώπους. Αἰσχύλος Νεανίσκοις. Φιλήμων ὀκτάπουν· 'ποταμὸν διαπέπλευκεν ὀκτάπους'· ἤτοι ὁ σκορπίος ὁ ὀκτώπους, ἢ ὁ μακρὸς ὀκτὼ ποδῶν.*

213

ὦ Κλέων, παῦσαι φλυαρῶν· ἂν ὀκνῇς τὸ μανθάνειν,
ἀνεπικούρητον σεαυτοῦ τὸν βίον λήσεις ποιῶν.
οὔτε γὰρ ναυαγός, ἂν μὴ γῆς λάβηται φερόμενος,
οὔποτ' ἂν σώσειεν αὐτόν, οὔτ' ἀνὴρ πένης γεγὼς
5 *μὴ οὐ τέχνην μαθὼν δύναιτ' ἂν ἀσφαλῶς ζῆν τὸν βίον.*
9 *κἂν μὲν ὁρμισθῇ τις ἡμῶν εἰς λιμένα τὸν τῆς τέχνης,*
10 *ἐβάλετ' ἄγκυραν καθάψας ἀσφαλείας εἵνεκα·*

ἂν δ' ἀπαιδεύτου μετάσχῃ πνεύματος φορούμενος,
12 τῆς ἀπορίας εἰς τὸ γῆρας οὐκ ἔχει σωτηρίαν.
6 'ἀλλὰ χρήματ' ἔστιν ἡμῖν.' ἅ γε τάχιστ' ἀπόλλυται.
'κτήματ', οἰκίαι.' τύχης δὲ μεταβολὰς οὐκ ἀγνοεῖς,
8 ὅτι τὸν εὔπορον τίθησι πτωχὸν εἰς τὴν αὔριον.
13 'ἀλλ' ἑταῖροι καὶ φίλοι σοι καὶ συνήθεις, νὴ Δία,
ἔρανον εἰσοίσουσιν.' εὖχου μὴ λαβεῖν πεῖραν φίλων·
15 εἰ δὲ μή, γνώσει σεαυτὸν ἄλλο μηδὲν πλὴν σκιάν.

Stobaeus Floril. 30, 4 *Φιλήμονος* A. v. 6. 7. 8 post v. 12 transposuit Kiddius. 1. *τὸ*] *γὰρ* Cobet. Mnem. IIII 258. *τε* K. 2. *λήσεις* Mnem. VIIII 120] *λήσῃ*. *ποιῶν*] *πονῶν* B m. 1. 7. *ἀγνοεῖς*] *ἐννοεῖς* cum interrogatione post *αὔριον* K. 9. *τέχνης* Bentl.] *τύχης*. 10. *εἵνεκα* A] *πείσματα* K. (bis apud Plat. philos.). 11. *ἀπαιδεύτου*] *ἀπαίδευτον* K. perperam Bentl. *ἀπαίδευτος*. *μετάσχῃ*] *κατάσχῃ* K. *φορούμενος*] *σφοδροῦ μένος* K. (Arist. Ach. 665. Vesp. 424. anon. 20 Mein.). 13. *σοι*] fort. *μοι*. — alterum *καὶ* om. A. 14. *φίλων πεῖραν* A. 15. *γνώσῃ* libri. deinde fort. *σεαυτὸν οὐδὲν* (*μηδὲν*) *ὄντ' ἀλλ' ἢ σκιάν*.

214

Pseudo-Plutarchus V 617 Wytt. ed. mai. *τῶν εὐγενῶν οἰκεῖον, ὁ Φιλήμων λέγει, πρὸς τὸν πόλεμον καὶ θάνατον ὀρούειν, ὡς ἱερεῖα*. cf. 155.

215

Athenaeus 13, 594 d *Φιλήμονος ἑταίρας ἐρασθέντος, καὶ χρηστὴν ταύτην ὀνομάσαντος διὰ τοῦ δράματος, ἀντέγραψε Μένανδρος ὡς οὐδεμιᾶς οὔσης χρηστῆς*.

216

Plinius N. h. 37, 106 de sardonyche: *hac certe apud Menandrum et Philemonem fabulae superbiunt.*

217

Schol. Soph. Oed. Col. 42 *Φιλήμων δὲ ὁ κωμικὸς ἑτέρας φησὶ τὰς σεμνὰς θεὰς τῶν Εὐμενίδων*. eadem Suidas.

218

Steph. Byz. *Κραστός. ἔχει δὲ ἡ πόλις εὐπρεπεστάτας γυναῖκας, ὡς Φιλήμων*.

219

τὸν αὐλητὴν αὐλεῖν

ταύτης μέμνηται Φιλήμων ὁ κωμικός. Miller. Mélanges 368.

Append. prov. 4, 94 *τὸν αὐλητὴν αὐλεῖν· αὐλητὴς ἐγένετο μὴ πάνυ τοῖς αὐλητικοῖς ἐμμένων νόμοις, ἀλλὰ παρακινῶν. ὅθεν ἡ παροιμία.* sententia potius eadem videtur esse atque in notissimo illo proverbio quod est de sutore.

220

ἀσχολεῖ

Φιλήμων. Suidas *ἄσχολος.* Bekker. Anecd. 457, 20.

221

Harpocrat. DE *βολεῶνες* et Cramer. An. Ox. II 492, 4 *βολεῶνες· οἱ δεχόμενοι τόποι τὴν κόπρον οὕτω καλοῦνται. οὕτω Δείναρχος καὶ Φιλήμων.* Poll. 7, 134 *οἱ βολεῶνες.* scribendum ubique *βολιτῶνες.* cf. Arist. Ach. 1026. Eq. 658. Ran. 295. Cratin. 39.

222

οἱ εὔνους

σεσημείωται παρὰ Φιλήμονι τῷ κωμικῷ. Bekker. Anecd. 1196 (ad 983, 24). Etymol. m. 606, 25.

223

κυρίαν

Φιλήμων. Bekker. Anecd. 102, 22. pro *κεκτημένην.* cf. Phryn. com. 48. Sannyr. 11.

224

σαυτό

Io. Alex. De acc. p. 25, 4 *συνεκλείπει τῇ εὐθείᾳ ἡ αἰτιατική. εἰ δὲ ἅπαξ που παρ' Εὐριπίδῃ εὕρηται τὸ σεαυτό . . . καὶ παρὰ Φιλήμονι τὸ σαυτό.*

ΑΜΦΙΣΒΗΤΗΣΙΜΑ ΚΑΙ ΨΕΥΔΕΠΙΓΡΑΦΑ

ΚΟΛΑΞ

225

ἀλλ' οὐδὲ γεννήτην δύναμ' εὑρεῖν οὐδένα
ὄντων τοσούτων, ἀλλ' ἀπείλημμαι μόνος.

Erotian. 24. 5 Klein. *γενέτησιν· οἱ μὲν τοῖς γονεῦσιν, οἱ δὲ συγγενέσιν, οὕτως Ἀττικῶν λεγόντων, ὡς καὶ Φιλήμων ἐν Κόλακί φησιν κτλ.* 1. *γεννήτην* Mein.] *γεννήτας* ELV. *δύναμαι εὑρεῖν* codices. *ὄντων* Luzac. Ruhnk. Tim. 66] *τῶν.* *Φιλήμων* Littré] *φιλήβων* EV. — videtur erravisse grammaticus: nam Terentius, qui Eunuch. 2, 2, 7 hos versus latine convertit, Eunuchum ex *Menandri* Eunucho et *Colace* (prol. 30. 32) confecit. cf. Menand. 291 Mein.

ΧΑΡΙΤΕΣ

226

ἑρμίς

ὁ κλινόπους, ἐπειδὴ ἐν αὐτοῖς ἔγλυφον ἀγάλματα Ἑρμοῦ, ὡς ἐφόρου ὕπνου καὶ ὀνείρων. καὶ φιλοξένης χάρισιν. Etym. m. 376, 40. φιλ^ςξ χ D. φύλαξ χυ cod. Paris. 2654 teste Cramer. *καὶ φυλακῆς χάριν* M. *Φιλόξενος Χάρισιν* dubitans Sylburg. *Φιλήμων Χάρισιν* M. Schmidt De dithyr. 69. sed omnia obscura. *Χάριτες* fuerunt Eubuli et Anaxilae.

227

ὡς κρεῖττόν ἐστι δεσπότου χρηστοῦ τυχεῖν
ἢ ζῆν ταπεινῶς καὶ κακῶς ἐλεύθερον.

Stobaeus Floril. 62, 7 *τοῦ αὐτοῦ* A, i. e. *Μενάνδρου*, cuius sunt eiusdem libri eclogae 5 et 6. cf. Menand. 698 Mein. at Stobaeus Floril. 62, 35 *Φιλίππου* (i. e. *Φιλιππίδου*) A. 'alias ad *Philemonem* refertur'. Gesner.

228

ἐκ τῶν λόγων μὴ κρῖνε, Κλειτοφῶν, σοφὸν
ἢ χρηστὸν ἄνδρα· τὸν βίον ἐξέταζ' ἀεί.
πολλοὶ γὰρ εὖ λέγουσιν ἀδικίας χάριν,
τὰ δ' ἔργ' ἔχουσι φαῦλα κοὐ φρονοῦσιν εὖ.

Stobaeus Ecl. 2, 15, 14 Wachsm. *ἴωνος*, quod *Φιλιστίωνος* (*Φιλήμονος*) auctore Gaisfordo interpretabatur Meinekius (Men. Philem. rel. VII. VIII). at *Μοσχίωνος* gnomici haec esse censet Wachsmuth. Stud. zu d. gr. Floril. 126. 9. 1. *κλεινοφῶν* L. 3. *εὖ* add. Gaisf.

229

ὅστις γὰρ αὐτὸς αὑτὸν οὐκ αἰσχύνεται
συνειδόθ' αὑτῷ φαῦλα διαπεπραγμένῳ,
πῶς τόν γε μηδὲν εἰδότ' αἰσχυνθήσεται;

Maximus Conf. 79, p. 137, 50. Philistioni tribuit Max., cf. 228. at Stobaeus Floril. 24, 1 *Διφίλου* A (92). non recte Meinekius Philemoni adscribebat. cf. Wachsmuth. Stud. zu d. gr. Floril. 123 sq. 3. *τὸν δὲ* A Stob.

230

ἐκ τοῦ παθεῖν γίνωσκε καὶ τὸ συμπαθεῖν·
καὶ σοὶ γὰρ ἄλλος συμπαθήσεται παθών.

Maximus Conf. 58, p. 93, 6. *Φιλιστίωνος*. idem 134 p. 210, 7. hoc fragmentum et quattuor quae sequuntur *ἐκ τῶν Φιλιστίωνος γνωμῶν* excerpta esse, non ex Philemone, cui adscribebat Meinekius, demonstravit Wachsmuth. Stud. zu d. gr. Floril. 122. 3. 1. *καὶ* deest 93, 6.

231

τῇ γῇ δανείζειν κρεῖττόν ἐστιν ἢ βροτοῖς,
ἥτις τόκους δίδωσιν οὐ λυπουμένη.

Maximus Conf. 58, p. 95, 44. Stob. Floril. Gaisf. app. Flor. p. 400 Lips. *Φιλιστίωνος.* 2. *δίδωσι μὴ* Stob.

232

μαθημάτων φρόντιζε μᾶλλον χρημάτων·
τὰ γὰρ μαθήματ' εὐπορεῖ τὰ χρήματα.

Maximus Conf. 134, p. 210, 4. 1. *μᾶλλον* · Buttmann.] *μᾶλλον ἢ. εὐπορεῖ* transitive, cf. Lobeck. Phryn. 595. *ἐκπορίζει χρ.* G. A. Hirschig. Ann. crit. 20. *ἐκποριεῖ τὰ χρ.* Badham. Eurip. Ion. 1119.

233

ὀργῆς χάριν τὰ κρυπτὰ μὴ φάνῃς φίλου·
ἔλπιζε δ' αὐτὸν πάλιν ἂν εἶναί σου φίλον.

Maximus Conf. 137, p. 217, 33. 1. *μὴ 'κφάνῃς* Menand. monost. 418. *μὴ 'κφήνῃς* Mein. fort. *μὴ 'κφράσῃς.* 2. Menand. monost. 406. *ἂν* add. Mein., proponens etiam *ἔσεσθαι.*

234

λύουσιν ἡμῶν συμφοραὶ τὰς συμφοράς,
παρηγοροῦσι τὰ κακὰ δι' ἑτέρων κακῶν.

Maximus Conf. 148, p. 237, 12. cf. Menand. 536, 5 Mein.

235

χρόνος δίκαιον ἄνδρα μηνύει ποτέ.

Stobaeus Ecl. 1, 8, 28 *Χαιρήμονος* (21 N.) A. Philemoni tribuit Heeren., incerto tragico Wachsmuth. sed videtur esse Sophoclis OR. 614, ubi *δείκνυσιν μόνος.*

235a

χρόνος μαλάσσει πάντα κἀξεργάζεται.

Stobaeus Ecl. 1, 8, 33 *Φιλήμονος* A sec. Gaisf. cum tamen Wachsmuthio teste lemma desit in Par., in Farn. marg. autem scriptum sit *τοῦ αὐτοῦ* (32 *Χαιρήμονος*), inter incerta recipiendum erat. cf. Chaerem. fr. 23 N.

236

γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν ἢ γαμεῖν.

Stobaeus Floril. 68, 22 *Χαιρήμονος* A (33 N.). Menand. monost. 95. Orion. Floril. Ritschl. V. Philemoni tribuit Mein. IIII 690. quod si verum est, scrib. *κρεῖττόν.* cf. anon. 427 Mein.

237

βεβαιοτέραν ἔχε τὴν φιλίαν πρὸς τοὺς γονεῖς.

Stobaeus Floril. 79, 31 *Χαιρήμονος* A. Stob. Flor. 79, 30 *Φιλήμονος* A (cf. 199). 'lemmata transponenda' censet A. Nauck. Chaerem. 35 (p. 613). comici poetae versum esse metrum arguit. *τὴν φιλίαν ἔχε* Trinc.

238

ἐκ τοῦ φιλοπονεῖν γίνεθ' ὧν θέλεις κρατεῖν.

Stobaeus Floril. 29, 29. deest lemma in A. sed medius exstat versus inter duo Philemonis fragmenta: quapropter Philemoni tribuit Grotius.

239

βίον καλὸν ζῇς ἂν γυναῖκα μὴ ἔχῃς.

Stobaeus Floril. 68, 20 *Φῖλῖτα* A. Trinc. *Φιλήτου*. Menandro tribuitur Boissonad. Anecd. gr. I 159. cf. monost. 78. *ἔχῃς*] *λάβῃς* Wakefield. *τρέφῃς* Mein.

240

πάνθ' ὁ χρόνος ὁ μέγας μαραίνει.

Stobaeus Ecl. 1, 8, 24 *τοῦ αὐτοῦ* (i. e. *Φιλήμονος*) Gaisford., cum Farn. marg. eclogam 23 Philemoni adsignans, quae est Soph. Ai. 646. haec quoque verba sunt Sophoclis Ai. 714.

241

Eustathius 1964, 7 *Φιλήμων, φασί, βασίλεια οἷδε σῦκα, ἐξ ὧν αἱ βασιλίδες ἰσχάδες, προσιστορῶν καὶ ὅτι κόλυθρα καλεῖται τὰ πέπονα σῦκα.* cf. Poll. 6, 81. Hesych. *βασίλεια*. sed Eustathius descripsit ex Athen. 3, 76f *Φιλήμων δ' ἐν Ἀττικαῖς λέξεσι καλεῖσθαί φησί τινα σῦκα βασίλεια.*

242

Eustathius 1299, 63 *τῷ τοιούτῳ λεβητώδει χαλκίῳ εἰκὸς παρόμοιον εἶναι καὶ τὸν παρὰ τῷ κωμικῷ Φιλήμονι ἐμβαθυχύταν, ὃς καὶ ἔφηβος ἐκαλεῖτο. ποτηρίου δὲ ἦν εἶδος κατὰ τὴν τοῦ Δειπνοσοφιστοῦ ἱστορίαν.* at Athenaeus 11, 469a *ἔφηβος. τὸ καλούμενον ποτήριον ἐμβασικοίταν οὕτως φησὶ καλεῖσθαι Φιλήμων ὁ Ἀθηναῖος ἐν τῷ περὶ Ἀττικῶν ὀνομάτων ἢ γλωσσῶν.* cf. Mein. Men. Phil. p. 431.

243

θύρσον

τὸ ὅπλον. Φιλήμων. Photius. videtur grammatici Philemonis esse.

244

κισσύβιον

τὸ μόνωτον ποτήριον. Φιλήμων. Athenaeus 11, 476 f. hoc quoque fragmentum grammatici videtur esse.

245

ὄρτυκος

Φιλήμων διὰ τοῦ κ φησίν. Bekker. Anecd. 1106 (Choerobosc. ad Theodos. f. 66). homo Atticus certe ita non dixit. fortasse grammatici est singularem formam ex nescio quo scripto enotantis.

Praeterea Menandri fr. 537 Mein. Philemoni tribuitur Stob. Ecl. 2, 46, 11 Wachsm. (cod. Laur. p. 144a).

246

οἶει σὺ τοὺς θανόντας, ὦ Νικήρατε,
τρυφῆς ἁπάσης μεταλαβόντας ἐν βίῳ
καὶ γῆν καλύψειν, ὡς ἀπὸ τοῦ πάντ' εἰς χρόνον
πεφευγέναι τὸ θεῖον ὡς λεληθότας;
5 *ἔστιν Δίκης ὀφθαλμὸς ὃς τὰ πάνθ' ὁρᾷ·*
καὶ γὰρ καθ' Ἅιδην δύο τρίβους νομίζομεν,
μίαν δικαίων χἀτέραν ἀσεβῶν ὁδόν·
εἰ γὰρ δίκαιος κἀσεβὴς ἕξουσιν ἕν,
ἅρπαζ' ἀπελθών, κλέπτ', ἀποστέρει, κύκα.
10 *μηδὲν πλανηθῇς· ἔστι κἀν Ἅιδου κρίσις*
ἥνπερ ποιήσει θεὸς ὁ πάντων δεσπότης,
οὗ τοὔνομα φοβερόν, οὐδ' ἂν ὀνομάσαιμ' ἐγώ,
ὃς τοῖς ἁμαρτάνουσι πρὸς μῆκος βίου
δίδωσι.

Iunius De Monarch. p. 38 d. Eusebius Praep. Ev. XIII p. 400 Philemoni, Clemens Alex. Strom. 5, 14, 121. Theodoret. IV p. 854 Hal. Diphilo tribuunt. scripturae varietatem indicavit Meinekius Menand. Philem. 433. — neque Philemonis neque Diphili esse constat.

247

θεὸν δὲ ποῖον εἰπέ μοι νοητέον;
Β. τὸν πάνθ' ὁρῶντα καὐτὸν οὐχ ὁρώμενον.

Clemens Alex. Protr. 6, 68 Euripidi, Iustinus De Monarch. p. 37 d Philemoni tribuit. est hominis Christiani.

ΦΙΛΗΜΩΝ Ο ΝΕΩΤΕΡΟΣ

ΜΙΛΗΣΙΑ

Koehler I. A. n. 975 III 11 *Φιλήμων νεώ. Μιλησίᾳ.*

ΦΩΚΕΙΣ

Koehler I. A. n. 975 fr. f 5 *παλαιᾷ Φωκεῦσι Φιλή[μονος].*

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

1

ἐάσαθ' οὕτως ὡς ἔχει. τὸ πῦρ μόνον
ποιεῖτε τοῖς ὀπτοῖσι μήτ' ἀνειμένον,
τὸ γὰρ τοιοῦτ' οὐκ ὀπτὸν ἀλλ' ἑφθὸν ποιεῖ·
μήτ' ὀξύ, κατακάει γὰρ ὅσ' ἂν ἔξω λάβῃ
τοῦτο πάλιν, εἰς τὴν σάρκα δ' οὐκ ἐνδύεται.
μάγειρός ἐστιν οὐκ ἐὰν ζωμήρυσιν
ἔχων τις ἔλθῃ καὶ μάχαιραν πρός τινα,
οὐδ' ἄν τις εἰς τὰς λοπάδας ἰχθῦς ἐμβάλῃ·
ἀλλ' ἔστι τις φρόνησις ἐν τῷ πράγματι.

Athenaeus 7, 291 d *ὁ παρὰ τῷ νεωτέρῳ Φιλήμονι μάγειρος διδασκαλικός τις εἶναι θέλει τοιαῦτά τινα λαλῶν κτλ.* 1. *ἐάσατε* A. *ὡς ἔχει* Bentl.] *ἔχειν* A. *μόνον* A] *μέσον* K. cf. Eubul. 7, 1. Alexid. 173, 2. 6. Sosipat. 53. 2. *ποιεῖται* et *ὀπτοῖς* A. 4. *ὃς ἂν* A. 6. *μάγειρος δ'* A. 7. *πρός τινα*] *πρόστομον* K. cf. Eubul. 107, 10. Poll. 2, 101 *πρόστομον δὲ ξίφος τὸ ἐστομωμένον καὶ τομόν· τὸ δὲ μαλακὸν καὶ ἄστομον ἀπρόστομον, ὡς Μάγνης ὁ κωμικός* (7). nisi *πρός τινα* est '*ad eum*', qui coquum conduxit. de sententia cf. Dionys. 2, 15 sq. — e *Milite* (cf. fr. 79) haec Schweighaeuserus excerpta, eum autem iunioris esse Philemonis arbitratur.

2. 3

τίς οὗτός ἐστ'; Β. ἰατρός. Α. ὡς κακῶς ἔχει
ἅπας ἰατρός, ἂν κακῶς μηδεὶς ἔχῃ.
. . . . . .
μόνῳ δ' ἰατρῷ τοῦτο καὶ συνηγόρῳ
ἔξεστ', ἀποκτείνειν μέν, ἀποθνήσκειν δὲ μή.

Stobaeus Floril. 102, 6 *Φιλήμονος νεωτέρου* A. 1. *οὗτός ἐστιν* A. 2. *ἔχει* Voss. 3. *τούτῳ* Voss. 4. *ἔξεστ'* Bentl.] *ἔξεστιν. ἀποκτεῖναι* B. v. 3. 4 a reliquis seiunxit Grotius.

ΔΙΦΙΛΟΣ

Meinek. I 446 sq. Diphilum ante Menandrum posui non solum ut secundi tertiique voluminis ambitum exaequarem, sed etiam quod Diphileae poesis indoles ad similitudinem magis priorum quam posteriorum novae comoediae poetarum accedit.

ΑΓΝΟΙΑ

Cf. Meinek. I 449. 50.

1

τί τοῦτο; ποδαπὸς οὗτος;
Β. χελιδόνειος ὁ δασύπους, γλυκεῖα δ' ἡ μίμαρκυς.

Athenaeus 9, 401a *καλοῦνται δέ τινες καὶ χελιδονίαι λαγωοί. μνημονεύει Δίφιλος ἢ Καλλιάδης ἐν Ἀγνοίᾳ οὕτως κτλ.* 2. *χελιδόνειος* Mein.] *χελιδόνιος. γλυκεῖα δ' ἡ μ.* Mein.] *γλαυκια δ' ημιμαρκυς* A. *ποδαπὸς οὗτοσί; | Β. χελιδονίας ὁδὶ δασύπους, ὦ Γλαυκία· | ἡδὶ μίμαρκυς* Dobr. Arist. Plut. 361. scrib. *Β. χελιδόνειος ὁ δασύπους. Α. γλυκεῖά γ' ἡ μίμαρκυς.* scilicet admodum delicatus habebatur lepus chelidonius, nec minus *ἡ μίμαρκυς* ex eo adparata. chelidonius lepus *superiore parte pulla, ventre albo* Varro R. r. 3, 12. Eustath. 1925, 43 *χελιδονίαι λαγωοί...οἱ ἄνω μὲν μέλανες, τὰ δὲ κάτω ὑπόλευκοι, ὁποῖαι καὶ αἱ χελιδόνες.* — Arist. Ach. 1110 *ἀλλ' ἢ πρὸ δείπνου τὴν μίμαρκυν κατέδομαι.* Pherecr. 221.

2

ἅψαντες λύχνον
λυχνεῖον ἐζητοῦμεν.

Athenaeus 15, 700d *Δίφιλος ἐν Ἀγνοίᾳ κτλ.* cf. Pherecr. 85. Praeterea cf. 137.

ΑΔΕΛΦΟΙ

3

ὦ τοιχωρύχον
ἐκεῖνο καὶ τῶν δυναμένων λαγύνιον
ἔχον βαδίζειν εἰς τὰ γεύμαθ' ὑπὸ μάλης,
καὶ τοῦτο πωλεῖν, μέχρι ἂν ὥσπερ ἐν ἐράνῳ
5 *εἷς λοιπὸς ᾖ κάπηλος ἠδικημένος*
ὑπ' οἰνοπώλου.

Athenaeus 11, 499de *οὐδετέρως (τὸ λαγύνιον) Δίφιλος ἐν Ἀδελφοῖς εἴρηκεν κτλ.* Pollux 10, 72 *τὸ δὲ λαγύνιον (Δίφιλος λέγει)*

ἐν Ἀδελφοῖς. 1. *τυχωρυχον* A. 3. *ἔχοντα βαδίζειν* Schweigh. *ἔχοντα βαίνειν* Herwerd. Obs. crit. 123. 6. *ὑπὸ* A. post v. 2 nonnihil excidisse arbitratur Mein.

τοιχωρύχον. cf. Eubul. 7, 4 et de *γεύμασιν* in foro Ephipp. 18. — omnia obscura. fortasse dicit lagenam exiguam, quam qui possidebat *ὑπὸ μάλης* in eam fori partem, ubi vini haustus ad gustandum propositi erant, ferebat ut vinum furaretur.

4

ὦ μακάρι', ἀτυχεῖν θνητὸς ὢν ἐπίστασο,
ἵν' αὐτὰ τἀναγκαῖα δυστυχῇς μόνον,
πλείω δὲ διὰ τὴν ἀμαθίαν μὴ προσλάβῃς.

Stobaeus Floril. 108, 9 *Διφίλου Ἀδελφοῖς* A.

ΑΙΡΗΣΙΤΕΙΧΗΣ ΕΥΝΟΥΧΟΣ Η ΣΤΡΑΤΙΩΤΗΣ

Cf. fr. 5. Meinek. I 451. seorsim *Αἱρησιτείχης* et *Στρατιώτης* recensentur in catalogo librorum Piraeensi Wilamowitz. Anal. Eur. 139. 140. U. Koehler. I. A. n. 992. scilicet *Αἱρησιτείχης* prior, *Εὐνοῦχος ἢ Στρατιώτης* altera fabulae recensio erat. huius autem fragmenta sunt omnia. Pyrgopolinices nescio quis significatur. *Αἱρησιτείχης* formatum ut *εὑρησιεπής* Arist. Nub. 447.

5

ἔσθ' ὑποχέασθαι πλείονας, πιεῖν γέ τι
ἀδρότερον ἢ τῶν Ῥοδιακῶν ἢ τῶν ῥυτῶν.

Athenaeus 11, 496 e *Ῥοδιάς. Διφίλος Αἱρησιτείχει· τὸ δὲ δρᾶμα τοῦτο Καλλίμαχος ἐπιγράφει Εὐνοῦχον. λέγει δὲ οὕτως πιεῖν δὲ κτλ.* et plenius 496 f. 497 a *Διφίλος ἐν Εὐνούχῳ ἢ Στρατιώτῃ, ἔστι δὲ τὸ δρᾶμα διασκευὴ τοῦ Αἱρησιτείχους· ἔσθ' ὑποχέασθαι κτλ.* Photius *Ῥοδιακὸν καὶ Ῥοδιάς· εἶδος ἐκπώματος. οὕτως Διφίλος.* 1. *ὑποχέασθαι* Dindf.] *ὑποσχέσθαι* A. *πιεῖν δὲ* A 496. *πιεῖν γέ τι* A 497, unde Diphilum scripsisse conligo *πλείονας*; *πιεῖν γε δεῖ.* 2. *ἀδρότερον* A 497] *ἄνδρ' ἕτερον* A 496. *ἐκ τῶν Ῥ.* Mein. *Ῥοδιακῶν* an *Ῥοδιάδων* scripserit dubium est. — de *ὑποχεῖν* cf. Sophil. 4.

6

ἀλλ' ὁ πανὸς ὕδατός ἐστι μεστός.

Athenaeus 15, 700 e *πανὸς ὀνομάζεται τὸ διακεκομμένον ξύλον καὶ συνδεδεμένον· τούτῳ δ' ἐχρῶντο λαμπάδι. Διφίλος Στρατιώτῃ κτλ.* Eustathius 1571, 20 *πανοῦ δὲ χρῆσις...καὶ παρὰ Διφίλῳ, οἷον κτλ.* cf. Aristoph. fr. 375. Nicostr. 22.

7

ἐκφυγγάνω

Δίφιλος Εὐνούχῳ. Bekker. Anecd. 95, 17.

8

κάθου

Δίφιλος Εὐνούχῳ. Bekker. Anecd. 100, 31. cf. Anaxandr. 13.

9

Bekker. Anecd. 101, 29 *κλεῖν ἀξιοῦσι λέγειν, οὐ κλεῖδα. Δίφιλος Εὐνούχῳ.* Diphili esse quae Herodianus G. Hermanni 441 adfert *ὁ δ' ἀγοράζει κλεῖδ' ἔχων* arbitratur Meinekius. in quibus videtur servus significari, cui dominus clavem penariam commisit.

ΑΛΕΙΠΤΡΙΑ

Etym. m. 61, 10 *δεῖ γινώσκειν ὅτι γέγραπται Διφίλῳ τῷ κωμικῷ δρᾶμα (ὃ) ἐπιγέγραπται Ἀλείπτρια.* eodem nomine fabulas scripserunt Antiphanes, Amphis, Alexis, ubi cf. quae adnotantur. fragmenta non reperiuntur. Meinek. I 450.

ΑΜΑΣΤΡΙΣ

Videtur esse 'Oxathrae, qui fuit Darii Codomanni frater, filia, primum Crateri, postea Dionysii IV Heracleensium tyranni, eoque mortuo Lysimachi uxor.' Meinek. I 450. 1. Droysen. Alex. 496. 7. Hellenism. I 343. 462. 527. 556. 609.

10

Suidas *Ἀθηναίας· πλὴν πολλή γε ἡ χρῆσις τῆς φωνῆς (Ἀθηναία* pro *Ἀττική) ἐπὶ τῶν γυναικῶν παρὰ τοῖς ἀρχαίοις, ὡς οἵ τε προειρημένοι ποιηταὶ μαρτυροῦσι καὶ Δίφιλος ἐν Ἀμάστριδι· καὶ γὰρ καὶ τὴν Θεμιστοκλέους θυγατέρα Ἀθηναίαν ξένην φησίν. Ἀσίαν* post *θυγατέρα* inserit Meier. De gentil. Att. 49. cf. Plutarch. Them. 32. '*Ἀθηναία* dicitur *Asia* ex patre, *ξένη* propter maternam originem.' Keil., ex barbara natam esse existimans.

ΑΝΑΓΥΡΟΣ

Cf. Meinek. I 452 et quae ad Aristophanis *Anagyrum* adnotavimus. fortasse tamen scrib. *Ἀνάργυρος·* cf. fr. 11 et Plat. Leg. 3, 679 b. Poll. 6, 191.

11

Schol. Ven. Hom. Il. 9, 122 et Etym. m. 744, 48 *εἰ γὰρ περὶ τοῦ ταλάντου τῶν Ἑλλήνων ἐστί, βραχύ τι τὸ τάλαντον τοῦ χρυσίου ἦν παρ' αὐτοῖς, ὡς καὶ Δίφιλος ἐν Ἀναγύρῳ 'βραχύ τί ἐστι τάλαν-*

τον' φησίν. Eustathius 740, 20 *Δίφιλος δέ πού φησιν κτλ.* *ἐν Ἀναγύρῳ*] *ἐν ἀργύρῳ* D et Etym. *ἀργυρίου* Eust. *τί ἐστι*] *τι τὸ* D.

ΑΝΑΣΩΙΖΟΜΕΝΟΙ

Cf. quae ad Antiphanis *Ἀνασῳζομένους* adnotavimus.

12

λάγυνον ἔχω κενόν, ὦ γραῦ, θύλακον δὲ μεστόν.

Athenaeus 11, 499c *ἀρσενικῶς εἴρηκε τὸν λάγυνον . . . Δίφιλος ἐν Ἀνασῳζομένοις κτλ.* de metro cf. Mein. I 443 et quae ad Cratin. 323 adnotavimus.

13

βρώσιμον

βρωτόν. Δίφιλος Ἀνασῳζομένῳ. Bekker. Anecd. 84, 25. cf. anon. 53, 4 Mein. Aesch. Prom. 479.

ΑΠΑΗΣΤΟΣ

14

ἥκει φερόμεν' αὐτόματα πάντα τἀγαθά,
ῥάφανος λιπαρά, σπλαγχνίδια πολλά, σαρκία
ἁπαλώτατ', οὐδὲν μὰ Δία τοῖς ἐμοῖς βλίτοις
ὅμοια πράγματ', οὐδὲ ταῖς
5 *θλασταῖς ἐλάαις.*

Athenaeus 9, 370e *Δίφιλος ἐν Ἀπλήστῳ κτλ.* 1. *φερομεν* A. 2. *σπλαγχνίδι' ὀπτὰ* Mein. Anal. Ath. 163. fortasse *σπλαγχνίδια, κωλαῖ. σαρκία* Schweigh.] *σαρκιδια* A. 3. *ἁπαλώτατα* A. *ἐμοις* A. *βλίτοις* Schweigh.] *βαιτοις* A. 4. *πράγματα* A. initio *καὶ τοῖσι σοῖς* supplet Dobr. Adv. II 321.

4. *πράγματα*, ut Antiph. 183, 2. 245, 4. *θλασταὶ ἐλᾶαι* quoque vilioribus cibis adnumerantur Polioch. 2, 7 (Mein.). cf. Aristoph. fr. 391. 393.

ΑΠΟΒΑΤΗΣ

Cf. quae ad Alexidis *Ἀποβάτην* adnotantur.

15

Harpocratio 41, 2 *ὅτι εἶχον ἐν ταῖς ληκύθοις ἀργύριον ἐνίοτε, Δίφιλος τῷ Ἀποβάτῃ.* *Δίφιλος τῷ Ἀποβάτῃ* Maussac.] *δὲ φίλον* (*δὲ δίφιλον* FO) *τὸν ἀποβάτην* ABFO.

16

κραυγασμός

ἀντὶ τοῦ κραυγή. Δίφιλος Ἀποβάτῃ. Bekker. Anecd. 101, 10. cf. Lobeck. Phryn. 337 (Mein.).

ΑΠΟΛΙΠΟΥΣΑ

I. e. mulier quae maritum deseruit. Meinek. I 452. fortasse rectius *Ἀπολείπουσα.*

17

πόσοι τὸ πλῆθός εἰσιν οἱ κεκλημένοι
εἰς τοὺς γάμους, βέλτιστε, καὶ πότερ' Ἀττικοὶ
ἅπαντες, ἢ κἀκ τοὐμπορίου τινές; Β. τί δαὶ
τοῦτ' ἔστι πρὸς σὲ τὸν μάγειρον; Α. τῆς τέχνης
5 *ἡγεμονία τίς ἐστιν αὐτῆς, ὦ πάτερ,*
τὸ τῶν ἐδομένων τὰ στόματα προειδέναι.
οἷον Ῥοδίους κέκληκας· εἰσιοῦσι δὸς
εὐθὺς ἀπὸ θερμοῦ τὴν μεγάλην αὐτοῖς σπάσαι,
ἀποζέσας σίλουρον ἢ λεβίαν, ἐφ' ᾧ
10 *χαριεῖ πολὺ μᾶλλον ἢ μυρίνην προσεγχέας.*
Β. ἀστεῖον ὁ σιλουρισμός. Α. ἂν Βυζαντίους,
ἀψινθίῳ σπόδησον ἅττ' ἂν παρατιθῇς,
κάθαλα ποιήσας πάντα κἀσκοροδισμένα.
διὰ γὰρ τὸ πλῆθος τῶν παρ' αὐτοῖς ἰχθύων
15 *πάντες βλιχανώδεις εἰσὶ καὶ μεστοὶ λάπης.*

Athenaeus 4, 132c *Δίφιλος ἐν Ἀπολιπούσῃ* (ἀπολειπούσῃ A) *μάγειρόν τινα παράγων ποιεῖ τάδε λέγοντα κτλ.* v. 13 Eustathius 749, 1 *ὅτι δὲ ὥσπερ ἁλίπαστον ἐκ τοῦ ἁλός, οὕτω καὶ κάθαλόν τι λέγεται, δηλοῖ ὁ γράψας τὸ κτλ.* v. 15 Erotian. 58, 6 Klein. *βλιχῶδες· οἱ δὲ γλισχρῶδες. Ἐπικλῆς μέν φησι τὸ λελιπασμένον μετὰ γλοιώδους ὑγρασίας ἀκαθάρτου.* hinc *βλιχώδεις* Casaub. 3. *τοῦ ἐμπορείου* A. 4. *πρὸς σέ; Α. τοῦ μαγείρου τῆς τ.* Dobr. 5. *ἐστι ταύτης* Mein. *ἐστιν αὐτηί, πάτερ* Dobr. *ἡγούμενον γάρ ἐστι ταύτης* G. A. Hirschig. Ann. crit. 27. cf. Posidipp. 24, 5. 6. 10. scrib. *χαριεῖ τιθύμαλλον κτλ.* Theophr. H. plant. 9, 11, 7 *ἁμᾶται (ὁ τιθύμαλλος) ὅταν ἄρτι περκάζῃ σταφυλή, καὶ ξηρανθεὶς ὁ καρπὸς δίδοται πίνειν τριφθείς.* 9 *ἐὰν δὲ τὸ κάρυον (τοῦ μυρτίτου καλουμένου τιθυμάλλου) διδῶσι, τρίψαντες ἐν οἴνῳ γλυκεῖ διδόασιν.* quae latine vertit Plin. N. h. 26, 66, addens *trahit bilem et pituitam per alvum.* 12. *σπόδησον* Dindf. *σφοιη δεῖξον* A. scrib. *πρόδευσον.* cf. Plat. com. 173, 9. *ἅττ'* Cobet. N. l. 122] *ὅσα γ'* A. *παρατιθῇς* Casaub.] *παρατίθης* A. 13. *ποιῆσαι* A. *καὶ ἐσκ.* A et Eust.

3. *τοὐμπορίου.* cf. 43, 9. Bekker. Anecd. 284, 5 *ξενικὸν ἐμπόριον, ὅπου οἱ ξένοι ἐμπορεύονται, ἀστικὸν δὲ ὅπου οἱ ἀστοί.* cf. Bursian. Geogr. Gr. I 266. 8. *ἀπὸ θερμοῦ 'post caldae sorbitionem.'* Mein. cf. Philem. 64, 3. Fritzsch. Thesmoph. p. 597. 8. *τὴν μεγάλην 'κύλικα'* Mein. 10. cf. Philippid. 39 Mein. Ael. V. h. 12, 31. 13. *κάθαλα.* cf. Posidipp. 1, 7. 15. Hesych. *λάπ[τ]ην ἔλεγον τὸν παχὺν ἀφρόν, τὸν ἐπιπολάζοντα τῷ οἴνῳ πηλώδη. ἄλλοι*

βόρβορον, ἰλύν. ἄλλοι τὸν ἐπὶ τῇ ἅλμῃ ἐφιστάμενον καὶ ταῖς λίμναις. οἱ δὲ τὸν ἐπὶ τοῦ γάλακτος ὑμενώδη πηλόν. Phot. *λά[μ]πη· παχὺς ἀφρὸς ἐπιπολῆς τοῦ οἴνου.* Plut. Mor. 1073a (*οἱ κώνωπες*) *χαίρουσι λά[μ]πῃ καὶ ὕξει, τὸν δὲ πότιμον..οἶνον φεύγουσι.* hic est *pituita.*

18

ἔστιν ἔνδον ὄξος ὀξύ σοι;
Β. ὑπολαμβάνω, παιδάριον, ὀπὸν εἰλήφαμεν.
ἄριστα τούτοις πάντα πιέσω καὶ πυκνά.
ἡ φυλλὰς ἡ δριμεῖα περιοισθήσεται·
τῶν πρεσβυτέρων γὰρ ταῦτα τῶν ἡδυσμάτων
ἀναστομοῖ τάχιστα τἀσθητήρια,
τό τε νωκαρῶδες καὶ κατημβλυωμένον
ἐσκέδασε κἀποίησεν ἡδέως φαγεῖν.

Athenaeus 4, 133f *Δίφιλος ἢ Σώσιππος ἐν Ἀπολιπούσῃ* (*ἀπολειπούσῃ* A) *κτλ.* 1. *ἔνδον ὄξος* Porson.] *ἔνδο ξος* A. 2. *παιδάριον* admitti non potest, quia sine dubio *erus* cum coquo conloquitur. scr. *καὶ σίσαρον, ὀπὸν εἰλ.* '*etiam siser, laser emimus.*' Heraclid. Tarent. Athen. 3, 120c *πολλὰ τῶν τὰς ἐκκρίσεις ποιούντων εὐλύτους...εὐστόμαχα καθέστηκεν, ἐν οἷς ἔστι καὶ τὸ σίσαρον καλούμενον, οὗ μνημονεύει Ἐπίχαρμος.* cf. Plin. N. h. 20, 34 (*siser*) *stomachum excitat, fastidium absterget, ex aceto laserpitiato sumptum.* 3. *πιέσω*] *δεύσω* K. 4. *φυλας η δριμεια* A. emend. Scalig.

19

εἶτ' οὐ μαλάκ', ὦ δύστην', ἔχεις,
σκευάριον, ἐκπωμάτιον, ἀργυρίδιον;
οὐκ ἐκδραμεῖ λαβὼν ταδὶ δώσεις τ' ἐμοὶ
παρακαταθήκην;

Pollux 10, 12 *ἐκαλεῖτο δὲ ταῦτα* (supellex domestica) *ὑπὸ τῶν νεωτέρων καὶ μαλακά, οἷον εὐμεταχείριστα, ὡς εἶπε ... Δίφιλος ἐν Ἀπολιπούσῃ κτλ.* 1. *εἶτ' οὐ* Hanov. Exerc. crit. 140] *εἶτα.* 3. *οὐκ* add. Bentl. *ταδὶ* Hanov.] *τόδε.* *τ'* add. Hanov. iubet nescio quis alterum supellectilem totam domo efferre et sibi pro deposito tradere.

ΒΑΛΑΝΕΙΟΝ

20

ἔγχεον μεστήν· τὸ θνητὸν περικάλυπτε τῷ θεῷ·
πῖθι. ταῦτα γὰρ παρ' ἡμῶν Διὸς ἑταιρείου, πάτερ.

Athenaeus 10, 446d *Δίφιλος ἐν Βαλανείῳ κτλ.* 1. *ἔγχεον* Grotius Excerpt. 785] *ἔκχεον* A. 2. *παρ'* add. Iacobs. Add. Ath. 239. *ἡμῖν* Mein.

1. '*mortalem naturam inmortali deo obvolve*, i. e. bibe et obliviscere te mortalem natum esse. meretricis (?)' barbaro blandientis 'verba sunt: *haec enim apud nos* Graecos *amicitiam conciliant.*' Mein. Hegesand. Ath. 13, 572 d *ἱστοροῦσι δὲ πρῶτον Ἰάσονα τὸν Αἴσονος συναγαγόντα τοὺς Ἀργοναύτας ἑταιρείῳ Διὶ θῦσαι.* cf. Herodot. 1, 44. Preller. Myth. gr.[2] I 115.

21

μναδάρια

ὑποκοριστικῶς τὰς μνᾶς. Δίφιλος Βαλανείῳ. Bekker. Anecd. 108, 32. videtur nescio quis *ὑποκοριζόμενος* eundem barbarum auro emungere.

ΒΟΙΩΤΙΣ

Cf. quae ad cognominem Antiphanis fabulam adnotantur.

22

οἷος ἐσθίειν πρὸ ἡμέρας
ἀρξάμενος ἢ πάλιν πρὸς ἡμέραν.

Athenaeus 10, 417 e *Δίφιλος ἐν Βοιωτίῳ κτλ.* 2. *ἢ*] *εἶτα καὶ* Mein. Anal. Ath. 180. uno tetram. troch. *οἷος ἐσθίειν προῆμαρ καὶ πάλιν πρὸς ἡμ.* '*per totum diem et rursus usque ad diem*' Herwerd. Obs. crit. 97, conl. Simonid. Amorg. 7, 47.

ΓΑΜΟΣ

23

Στίλπωνός ἐστι βύσμαθ' ὁ Χαρίνου λόγος.

Diogenes Laert. 2, 120 *ἐσκώφθη δὲ* (*Στίλπων*) *ὑπὸ Διφίλου τοῦ κωμικοῦ ἐν δράματι Γάμῳ κτλ. Διφίλου* Menag.] *σοφίλου. Σωφίλου* Casaub. et Cobet. at Sophilus (c. Ol. 108) Stilponem nosse vix poterat. Mein. I 426.

24

ὁ γὰρ κόλαξ
καὶ στρατηγὸν καὶ δυνάστην καὶ φίλους καὶ τὰς πόλεις
ἀνατρέπει λόγῳ κακούργῳ μικρὸν ἡδύνας χρόνον.
νῦν δὲ καὶ καχεξία τις ὑποδέδυκε τοὺς ὄχλους·
5 *αἱ κρίσεις θ' ἡμῶν νοσοῦσι, καὶ τὸ πρὸς χάριν πολύ.*

Athenaeus 6, 254 e *Δίφιλος ἐν Γάμῳ φησίν κτλ.* 2. *καὶ δυνάστην καὶ τύραννον καὶ πόλιν* Dobr. Adv. II 312. *καὶ φίλους καὐτὰς πόλεις* Herwerd. Mnem. nov. IIII 305. *χῶλας πόλεις* A. Nauck. Bullet. Petersb. VIIII 398. idem v. 3 *λόγῳ πανούργῳ.* scr. potius *καὶ δυνάστην, βασιλέας τε καὶ πόλεις.* 5. *πολύ, ἐστί.*

ΔΑΝΑΙΔΕΣ

25

Erotianus 61, 6 Klein. *γαργαλισμοῦ· γάργαλος καὶ γαργάλη λέγεται ἐρεθισμός, ἀπὸ τῶν πασχητιωσῶν γυναικῶν εἰλημμένης τῆς λέξεως, ὡς . . . Δίφιλος ἐν Δαναΐσι.* similia Bekker. Anecd. 31, 25. Hesych. *γαργαλισμός.* Moeris *γάργαλος ἀττικῶς, γαργαλισμὸς ἑλληνικῶς.* Phrynich. Ecl. 97 *γαργαλίζειν λέγε διὰ τοῦ ῥ, ἀλλὰ μὴ διὰ τῶν δύο γ̄, γαγγαλίζειν,* ubi cf. Lobeck. Aristoph. fr. 175. Hegesipp. 1, 16. *γαργαλίζειν* est apud Platonem Phaedr. 251 c. Phileb. 47 a. *γαργαλισμός* Phaedr. 253 e. Phileb. 46 d. Symp. 189 a. Diphilus quid dixerit incertum est.

ΔΙΑΜΑΡΤΑΝΟΥΣΑ

26

ἄρτους σποδίτας κρησερίτας περιφέρειν

Athenaeus 3, 111 e *μνημονεύει αὐτοῦ (ἄρτου σποδίτου) καὶ Δίφιλος ἐν Διαμαρτανούσῃ οὕτως κτλ.* κρησερίτας Schweigh.] κρησειρίτας A. '*panes cribratos.*' Arist. Eccl. 991. Poll. 6, 74 *εἰ τοῦ κοσκίνου . . . λινοῦν τι σινδόνιον εἴη ἐξημμένον, ὡς ἀκριβέστερον τὸ ἄλευρον καθαίροιτο, ἀλευρότησις ἐκαλεῖτο, εἰ δὲ ἐξ ἐρίου εἴη, κρησέρα.*

ΕΓΚΑΛΟΥΝΤΕΣ

27

ὁλοσχερῶς

Δίφιλος Ἐγκαλοῦσιν. Bekker. Anecd. 110, 118.

ΕΚΑΤΗ

Nicostrati *Hecaten* a Diphilo denuo editam arbitratur Meinek. I 453. cf. fr. 29.

28

Athenaeus 14, 645 a *μνημονεύει αὐτοῦ (τοῦ ἀμφιφῶντος) καὶ Δίφιλος ἐν Ἑκάτῃ.* cf. Pherecr. 156. Philem. 67.

29

λάγυνος

καὶ λαγύνιον. Δίφιλος δ' ἄμφω λέγει, τὸ μὲν ἐν τῇ Ἑκάτῃ πολλάκις, τὸ δὲ λαγύνιον ἐν Ἀδελφοῖς (3). Poll. 10, 72. cf. Nicostrat. 11.

ΕΛΑ[Ι]ΩΝ Η ΦΡΟΥΡΟΥΝΤΕΣ

Δίφιλος ἐν ἐλαιωνηφρουρουσι A Athen. 6, 223 a. unde *Ἐλενηφοροῦσιν* Casaubonus. Poll. 10, 191 *ἔστι δὲ ἑλένη πλεκτὸν ἀγγεῖον . . . ἐν ᾧ φέρουσιν ἱερὰ ἄρρητα τοῖς Ἐλενηφορίοις.* Schoem. Ant. gr.[2] II 509. cum autem virgines ea sacra portasse consentaneum sit, *Ἐλενηφορούσῃ* Mein. I 453. at recte non *Ἐλενηφοροῦσαν,* sed *Ἐλε-*

νηφόρον dicendam fuisse monens Kaibelius Herm. XVIIII 260 *Ἐλαιῶνα* (*Olivetum*) *φρουροῦντας* vel *Ἐλαιωνο(η)φρουροῦντας* fabulam inscribit. mihi certius visum est retinere quod ipse scribendum esse conieceram. *Φρουροῦντες*, ut *Νεμόμενοι* Philemonis, *Σχολάζοντες* Calliae apud Suidam, *Χορεύουσαι* Posidippi, *Ἐκκλησιάζουσαι* Aristophanis, multae aliae. *οἱ φρουροῦντες* Xen. Oec. 4, 9 et saepe. praeterea cum Diphili titulo cf. *Ἱππὸς ἢ Πανυχίς* Pherecratis, *Μυλών* Antiphanis, *Φρέαρ* Diphili et Anaxippi, *Βαλανεῖον* Amphidis, Timoclis, Diphili, *Βωμός* Alexidis.

30

ὦ τόνδ' ἐποπτεύουσα καὶ κεκτημένη
Βραυρῶνος ἱεροῦ θεοφιλέστατον τόπον,
Λητοῦς Διός τε τοξόδαμνε παρθένε,
ὡς οἱ τραγῳδοί φασιν, οἷς ἐξουσία
5 *ἔστιν λέγειν ἅπαντα καὶ ποιεῖν μόνοις.*

Athenaeus 6, 223a *Δίφιλος ἐν Ἐλαιῶνι ἢ Φρουροῦσιν* (ἐλαιωνηφρουρουσι A) *κτλ.* 2. *Βραύρωνος* A. — cf. Antiphan. 191 et de *Braurone* Bursian. Geogr. Gr. I 348 sq. versus tres priores tragicum colorem prae se ferunt.

ΕΛΛΕΒΟΡΙΖΟΜΕΝΟΙ

Demosth. 18, 121 *τί λόγους πλάττεις; τί σαυτὸν οὐκ ἐλλεβορίζεις ἐπὶ τούτοις;* Plin. N. h. 25, 60 *medetur* (elleborum) *morbis comitialibus, vertigini, melancholicis, insanientibus, lymphaticis.* Menand. 70 Mein.

31

ἰτητέον

ἀντὶ τοῦ ἰτέον. Δίφιλος Ἐλλεβοριζομένοις. Bekker. Anecd. 100, 12. cf. Arist. Nub. 131.

Praeterea cf. 126.

ΕΜΠΟΡΟΣ

Cf. Meinek. I 454. fr. 32 aut scaena est Corinthi aut narrat aliquis rem Corinthi factam.

32

νόμιμον τοῦτ' ἐστί, βέλτιστ', ἐνθάδε
Κορινθίοισιν, ἄν τιν' ὀψωνοῦντ' ἀεὶ
λαμπρῶς ὁρῶμεν, τοῦτον ἀνακρίνειν πόθεν
ζῇ καὶ τί ποιῶν· κἂν μὲν οὐσίαν ἔχῃ,
5 *ἧς αἱ πρόσοδοι λύουσι τἀναλώματα,*
ἐᾶν ἀπολαύειν τοῦτον ἤδη τὸν βίον.
ἐὰν δ' ὑπὲρ τὴν οὐσίαν δαπανῶν τύχῃ,
ἀπεῖπον αὐτῷ τοῦτο μὴ ποιεῖν ἔτι,

ὃς ἂν δὲ μὴ πίθητ' ἐπέβαλον ζημίαν.
ἐὰν δὲ μηδ' ὁτιοῦν ἔχων ζῇ πολυτελῶς,
τῷ δημίῳ παρέδωκαν αὐτόν. Β. Ἡράκλεις.
Α. οὐκ ἐνδέχεται γὰρ ζῆν ἄνευ κακοῦ τινος
τοῦτον· συνιεῖς; ἀλλ' ἀναγκαίως ἔχει
ἢ λωποδυτεῖν τὰς νύκτας ἢ τοιχωρυχεῖν,
ἢ τῶν ποιούντων ταῦτα κοινωνεῖν τισιν,
ἢ συκοφαντεῖν κατ' ἀγοράν, ἢ μαρτυρεῖν
ψευδῆ. τὸ τοιοῦτον ἐκκαθαίρομεν γένος.
Β. ὀρθῶς γε νὴ Δί'. ἀλλὰ δὴ τί τοῦτ' ἐμοί;
Α. ὁρῶμεν ὀψωνοῦνθ' ἑκάστης ἡμέρας
οὐχὶ μετρίως βέλτιστέ σ', ἀλλ' ὑπερηφάνως.
οὐκ ἔστιν ἰχθυηρὸν ὑπὸ σοῦ μεταλαβεῖν.
συνῆκας ἡμῶν εἰς τὰ λάχανα τὴν πόλιν.
περὶ τῶν σελίνων μαχόμεθ' ὥσπερ Ἰσθμίοις.
λαγῴς τις εἰσελήλυθ', εὐθὺς ἥρπακας.
πέρδικα δ' ἢ κίχλην γε νὴ Δί' οὐκ ἔτι
ἔστιν δι' ὑμᾶς οὐδὲ πετομένην ἰδεῖν.
τὸν ξενικὸν οἶνον ἐπιτετίμηκας πολύ.

Athenaeus 6, 227 e *Δίφιλος ἐν Ἐμπόρῳ καὶ νόμον εἶναί φησι παρὰ Κορινθίοις τινὰ τοιοῦτον κτλ.* 1. *νόμιμον*] *νενομισμένον* Mein. Anal. Ath. 98. *τουτεστὶν* A. *ἐνθαδί* Mein. in Ath. 2. *Κορινθίοισιν* Casaub.] *κορινθίοις ἵν'* A. *ἂν* Dindf.] *ἐάν* A. *αἰεὶ* A. 5. *τὰ ἀναλ.* A. 6. *ἀπολαύειν*] *ἀποβάλλειν* K. conl. Arist. Eccl. 811 *ἀποβαλεῖ τὴν οὐσίαν.* *τοῦτον ἤδη* Casaub.] *ἤδη τοῦτον* A. 7. *δὲ* A. 9. *πίθηται* et *ἐπέβαλλον* A. 13. *συνιεῖς* recte A. cf. Antiphan. 55, 1. Cobet. V. l. 221. 18. *τοῦτο* A. 20. *σὲ* A. 21. *ἰχθυδάριον* Mein. An. Ath. 98. an *οὐδ' ἑψητόν*? 22. *συνῆκας τι* A] *τι* om. L. *συνῆχας* Schweigh. *συνεῖρχας* K. 24. *ἥρπασας* G. A. Hirschig. Ann. crit. 28. perperam: cf. Antiphan. 204. 25. *ἔτι* add. Dindf. 26. *ἔστι* A. v. 21. 23. 25. 26 videntur personae *Γ*tribuendi esse, sicuti duae Plathanae sunt in Ranis.

5. *λύουσι* ut Xen. Ages. 2, 31 *μισθὸν οὐδέτερος λύσει τοῖς Ἕλλησιν.* cf. *λύειν τέλη.* 13. *συνιεῖς*; cf. quae adnotavimus ad Arist. Nub. 355. 23. de *apio* Isthmiorum praemio cf. C. F. Hermann. Ant. sacr. 50, 27. 8 et de sententia Alexid. 46, 7. 8. 25. Varro Sat. 86, 11 *propter phagones ficedulam pinguem aut turdam nisi volantem non video* (Mein.). 27. *ξενικὸς οἶνος* opp. *αὐτίτη.* cf. Alexid. 230, 5. 285, 2. *ξενικόν* autem, quia *Κορίνθιος βασανισμός ἐστι.* Alex. 290. *ἐπιτετίμηκας carius fecisti* vinum. Tim. Lex. Plat. *ἐπετίμα· ηὔξε τὴν τιμήν*, ubi cf. Ruhnk. Demosth. 34, 39 *ὁ σῖτος ἐπετιμήθη.* 50, 6 *ὁρῶντες ἐν τῷ Πειραιεῖ τὸν σῖτον ἐπιτιμώμενον.*

33

οὐ πώποτ' ἰχθῦς οἶδα τιμιωτέρους
ἰδών. Πόσειδον, εἰ δεκάτην ἐλάμβανες
αὐτῶν ἀπὸ τῆς τιμῆς ἑκάστης ἡμέρας,
πολὺ τῶν θεῶν ἂν ἦσθα πλουσιώτατος.
ὅμως δὲ τούτων εἴ με προσγελάσειέ τις,
ἐδίδουν στενάξας ὁπόσον αἰτήσειέ με.
γόγγρον μέν, ὥσπερ ὁ Πρίαμος τὸν Ἕκτορα,
ὅσον εἵλκυσεν, τοσοῦτο καταθεὶς ἐπριάμην.

Athenaeus 6, 226 e *οὐκ ἀπιθάνως καὶ Δίφιλος ἐν Ἐμπόρῳ* (*ἐμπορίωι* A) *περὶ τοῦ παμπόλλου πιπράσκεσθαι τοὺς ἰχθῦς λέγει ὧδε κτλ.* 2. 3. *ἐλάμβανες αὐτῶν* Grot. Excerpt. 787] *αὐτῶν ἐλάμβανες* A. 4. *πλουσιώτατος* Mein.] *πλουσιώτερος* A. cf. Cobet. N. l. 119. 5. *με* Grot.] *μὴ*. *τις, τῶν ἰχθύων*. 8. *εἵλκυσεν* ut Eupol. 116. Aristoph. fr. 286. de ioco cf. Phrynich. com. 52.

34

πουλύπους
ἔχων ἁπάσας ὁλομελεῖς τὰς πλεκτάνας.
Β. οὐ περιβεβρωκὼς αὐτόν ἐστι, φίλτατε.

Athenaeus 7, 316 f *καὶ Δίφιλος ἐν Ἐμπόρῳ κτλ.* 1. *πουλύπους* hic praeter consuetudinem etiam A. 3. *αὐτόν* Schweigh.] *ἑαυτὸν* A. tetr. troch. *ἑαυτὸν αὐτός ἐστι* Porson. *ἑαυτὸν ἔστιν ἔνδον, φιλτάτη* Dobr. ubi quid sit *ἔνδον* non exputo: nam *domi* hic non apte additur. de sententia cf. Pherecr. 13.

35

τὴν νύκτ' ἐκείνην διεκαραδόκησεν.

Etymol. m. 490, 40 (cum supplem. Bekker. Anecd. 1445 n.) *Τιμαχίδης δέ φησιν ὅτι σύνθετόν ἐστι παρὰ τὸ κάτω κάρα φέρειν τὸ καραδοκεῖν. παρατίθεται δ' ἐνάλοις* (*ἐν ἄλλοις*) *Δίφιλον λέγοντα ἐν Ἐμπόρῳ κτλ.* Suid. *καραδοκεῖ*. Cramer. Anecd. Paris. IIII 25, 20. Ox. II 455, 13. *διεκαρανόμησεν* Suid.] *διεκαρανόμηνεν. ἐκαρανόμηνεν* Anecd. Ox. *Τιμαχίδης ... παρατίθεται ἐν ἄλλοις Δίφιλον ἔχοντα ἐν Ἐμπόρῳ· τὴν νύκτα ἐκείνην. δι' ἐκείνην διεκαρανόμηκεν* cod. Sorbon. Etym. ac sic fere Cramer. Anecd. Par. *διεκαραδοκήσαμεν* Toup., ut trimetrum conficeret. tetrametri reliquias esse posse arbitratur Meinek. — *διακαραδοκεῖν τὸν πόλεμον* Plut. Anton. 56.

36

ὁ περιφόρητος Ἀρτέμων

μέμνηται ταύτης Δίφιλος ἐν Ἐμπόρῳ. Miller. Mélanges 356.

rationem proverbii accurate explicat Plutarch. Pericl. 27. cf. Anacreont. 21 Bergk. Arist. Ach. 850 cum schol. Athen. 12, 533 e f. Append. prov. 4, 32.

37

Harpocratio *ναύκληρος...καὶ ἐπὶ τοῦ μεμισθωμένου ἐπὶ τῷ τὰ ἐνοίκια ἐκλέγειν ἢ οἰκίας ἢ συνοικίας, ὡς... Δίφιλος Ἐμπόρῳ.* cf. Sannyr. 6. Alexid. 138.

ΕΝΑΓΙΣΜΑΤΑ

Inferiae significantur. cf. Aristoph. fr. 488, 12. Mein. I 454.

38

εἴ μοι συνήθης, Φαίδιμ', ὧν ἐτύγχανεν
ὁ Χαβρίου Κτήσιππος, εἰσηγησάμην
νόμον ἄν τιν' οὐκ ἄχρηστον, ὡς ἐμοὶ δοκεῖ,
ὥστ' ἐπιτελεσθῆναί ποτ' αὐτῷ τοῦ πατρὸς
5 *τὸ μνῆμα, κατ' ἐνιαυτὸν ἕνα λίθον*
ἁμαξιαῖον· καὶ σφόδρ' εὐτελὲς λέγω.

Athenaeus 4, 165 f *καὶ Κτήσιππος δ' ὁ Χαβρίου υἱὸς εἰς τοσοῦτον ἦλθεν ἀσωτίας, ὡς καὶ τοῦ μνήματος τοῦ πατρός, εἰς ὃ οἱ Ἀθηναῖοι χιλίας ἀνάλωσαν δραχμάς, τοὺς λίθους πωλῆσαι εἰς τὰς ἡδυπαθείας. Δίφιλος γοῦν ἐν τοῖς Ἐναγίζουσί φησιν κτλ.* 1. *εἴ μοι* K.] *εἰ μὴ* A. *Φαίδιμ' ὧν* Dobr. Adv. II 307] *φαιδίμῳ γ'* A. 2. *ὁ*] *υἱὸς* Dobr. *ὧν ὁ* G. Herm. *ὁ τοῦ* Bergk. 3. *ἄν τιν'* K.] *τιν'*. 4. *ὥστε ἐπιτελεσθῆναι* A] *ὡς μὴ κατεδεσθῆναι* K. 5. *ἕνα*] *ἕνα φαγεῖν* Erfurdt. Obs. 453. *ἓν' ἐργεῖν* Mein. V 111. frustra. scrib. *ἕνα θεῖναι.*

cf. Timocl. 5. Menand. 352 Mein. — hoc dicit: ne monumentum ab Atheniensibus Chabriae positum a Ctesippo posset venum dari et consumi, (tum cum exstruebatur) legem tulissem ut singulis annis unus lapis poneretur, sed is molaris, ne posset moveri.

39

Photius et Suidas (cf. Append. prov. 5, 41. Apostol. 18, 56 a) *ψωλὸν γενέσθαι δεῖ σε μέχρι τοῦ μυρρίνου· ἡ παροιμία παρὰ Ἀριστοφάνει ἐν τοῖς Ἱππεῦσιν* (964, ubi similia schol. Ald.). *ἐλέχθη ἐπὶ τῶν μέχρι πολλοῦ διελκυσμένων* (*διεσκυλμένων* Ald. *διεσκολυμμένων* Kuster. *ἀπὸ τοῦ ἐσκολύφθαι* schol. Ar. RV). *παρὰ δὲ Διφίλῳ ἐν τοῖς Ἐναγίσμασι παραπεποίηται ἄχρι τοῦ λάρυγγος.* itaque Diphilus dixit *ψωλὸς μέχρι τοῦ λάρυγγος* vel (secundum H. Iacobium Mein. V CCCVI) *ἄχρι τοῦ λάρυγγος*, nihil amplius.

ΕΠΙΔΙΚΑΖΟΜΕΝΟΣ

Cf. quae ad Philemonis *Ἐπιδικαζόμενον* adnotantur.

40

ὁ δὲ κανδύταλις
οὗτος τί δύναται, καὶ τί ἐστιν; Β. ὥσπερ εἰ
εἴποις ἀορτάς.

Pollux 10, 137 ὠνόμασται δὲ τῷ κιβωτίῳ παραπλήσιόν τι σκεῦος κανδύταλις, οὗ μέμνηται... Δίφιλος ἐν Ἐπιδικαζομένῳ κτλ. ἐμοὶ μὲν οὖν δοκεῖ τὸ σκεῦος Περσικὸν ἀπὸ τοῦ κάνδυος κληθέν, εἰς χρῆσιν δ' αὐτὸ ἤγαγον Μακεδόνες. 2. εἰ add. Mein. · 3. εἴποις] λέγοις Cobet. N. l. 112 conl. Arist. Av. 282. — cf. Menand. 322. Posidipp. 9 Mein.

ΕΠΙΚΛΗΡΟΣ

Cf. quae ad Antiphanis Ἐπίκληρον adnotantur.

41

χύτρον μέγαν
παρὰ τοῦ μαγείρου

Pollux 10, 99 ὅταν δὲ Δίφιλος ἐν Ἐπικλήρῳ λέγῃ κτλ., δῆλον ὅτι τὴν χύτραν λέγει, ἀλλ' οὐ τὸν χυτρόποδα.

ΕΠΙΤΡΟΠΕΥΣ

I. e. incola pagi Ἐπιτροπή. Mein. I 454. 5 conl. C. I. I 626 Ἀπολλοφάνης Σατύρου Ἐπιτροπῆθεν. cf. I 422.

42

ἐξιδιάσασθαι

Δίφιλος Ἐπιτροπεῖ. Bekker. Anecd. 96, 31. Ἐπιτροπεῖ Mein.] ἐπιτροπῇ cod. — Phrynich. Ecl. 199 ἐξιδιάζονται· καὶ τοῦτο Φαβωρῖνος λέγει κακῶς. ἰδιοῦσθαι γὰρ τὸ τοιοῦτον λέγουσιν οἱ ἀρχαῖοι. ubi cf. Lobeck. ἐξιδιώσασθαι Xen. Hell. 2, 4, 8. Isocr. 12, 43. Diphilus tamen fortasse scripserat ἐξιδίσασθαι. cf. Arist. Av. 791.

ΕΥΝΟΥΧΟΣ

Cf. Αἰρησιτείχης.

ΖΩΓΡΑΦΟΣ

Ζωγράφος fuit etiam Antiphanis et Hipparchi, Ζωγράφοι Anaxandridis.

43

οὐ μὴ παραλάβω σ' οὐδαμοῦ, Δράκων, ἐγὼ
ἐπ' ἔργον οὗ μὴ διατελεῖς τὴν ἡμέραν
τραπεζοποιῶν ἐν ἀγαθοῖς πολλοῖς χύδην.
οὐ γὰρ βαδίζω πρότερον ἂν μὴ δοκιμάσω

5 τίς ἐσθ' ὁ θύων, ἢ πόθεν συνίσταται
τὸ δεῖπνον, ἢ κέκληκεν ἀνθρώπους τίνας.
ἔστιν δ' ἁπάντων τῶν γενῶν μοι διαγραφή,
εἰς ποῖα μισθοῦν ἢ φυλάττεσθαί με δεῖ.
οἷον τὸ κατὰ τοὐμπόριον, εἰ βούλει, γένος.
10 ναύκληρος ἀποθύει τις εὐχήν, ἀποβαλὼν
τὸν ἱστὸν ἢ πηδάλια συντρίψας νεώς,
ἢ φορτί' ἐξέρριψ' ὑπέραντλος γενόμενος·
ἀφῆκα τὸν τοιοῦτον· οὐδὲν ἡδέως
ποιεῖ γὰρ οὗτος, ἀλλ' ὅσον νόμου χάριν.
15 ὁμοῦ δὲ ταῖς σπονδαῖσι διαλογίζεται
τοῖς συμπλέουσιν ὁπόσον ἐπιβάλλει μέρος
τιθείς, τά θ' αὑτοῦ σπλάγχν' ἕκαστος ἐσθίει.
ἀλλ' ἕτερος εἰσπέπλευκεν ἐκ Βυζαντίου
τριταῖος, ἀπαθής, εὐπορηκώς, περιχαρὴς
20 εἰς δέκ' ἐπὶ τῇ μνᾷ γεγονέναι καὶ δώδεκα,
λαλῶν τὰ ναῦλα καὶ δάνει' ἐρυγγάνων,
ἀφροδίσι' ὑπὸ κόλλοψι μαστροποῖς ποιῶν·
ὑπὸ τοῦτον ὑπέκυψ' εὐθὺς ἐκβεβηκότα,
τὴν δεξιὰν ἐνέβαλον, ἐμνήσθην Διὸς
25 σωτῆρος, ἐμπέπηγα τῷ διακονεῖν.
τοιοῦτος ὁ τρόπος. μειράκιον ἐρῶν πάλιν
τὰ πατρῷα βρύκει καὶ σπαθᾷ, πορεύομαι.
ἀπὸ συμβολῶν συνάγοντα νὴ Δί' ἕτερά που
ἐνέβαλεν εἰς τὸν κέραμον ἐνευρημένα,
30 τὰ κράσπεδ' ἀποθλιβέντα καὶ κεκραγότα
'ὀψάριον ἀγοραῖον ποιεῖν τίς βούλεται;'
ἐῶ βοᾶν· πληγὰς γὰρ ἔνι προσλαμβάνειν
ἐλθόντα καὶ τὴν νύχθ' ὅλην διακονεῖν.
τὸ μισθάριον γὰρ ἂν ἀπαιτῇς, 'ἁμίδα μοι
35 ἔνεγκε πρῶτον' φησίν. 'ὄξος ἡ φακῆ
οὐκ εἶχε.' πάλιν ᾔτησας, 'οἰμώξει μακρὰ
πρῶτος μαγείρων', φησίν. ἕτερα μυρία
τοιαῦτα καταλέξαιμ' ἄν. οὐ δὲ νῦν σ' ἄγω,
πορνεῖόν ἐστι, πολυτελῶς Ἀδώνια
40 ἄγουσ' ἑταίρα μεθ' ἑτέρων πορνῶν χύδην.
σαυτὸν ἀποσάξεις τόν τε κόλπον ἀποτρέχων.

Athenaeus 7, 291 f ὁ δὲ παρὰ Διφίλῳ ἐν τῷ Ζωγράφῳ (μά-

γειρος) καὶ πρὸς οὓς ἐκμισθοῦν αὐτὸν δεῖ διδάσκει λέγων οὕτως κτλ. v. 21 Eustathius 946, 56 (ναῦλον) κατὰ γένος οὐδέτερον, οἷον, λαλῶν τὰ ναῦλα καὶ δάνει' ἐρυγγάνων. 1. σ' οὐδαμοῦ Pors.] σουθάμου A. 2. οὖ Pors.] οὐ A. 4. ἂν Dindf.] ἐὰν A. 6. τινας A. 7. δ' B] θ' A. 11. πηδάλια Grotius Excerpt. 789] πηδάλιον τι A. 12. ἐξέρριψεν A. 13. οὐθὲν A. 16. ἐπιβαλεῖ Coraes. 17. θ'] τ A. σπλάγχνα A. 19. εὐπορηκώς] εὐοδηκώς K. 20. εἰς δέκ'] ἕνδεκ' Mein. Anal. Ath. 129. an εἰ δέκ' — γέγονεν ἢ καὶ δώδ.? 21. λαλῶν τὰ] ἐμῶν τε K. cf. Eupol. 163. Nicomach. 4. δάνεια A. 23. ὑπέκυψ' Preller. Philol. III 522, conl. Arist. Vesp. 555] ὑπέμυξ'. 27. πορευόμεναι A. 29. ἐνευρημένα A. ἐξυρημένα et ἐπισεσυρμένα Mein. conl. Diog. L. 1, 8 ἐπισεσυρμένον καὶ ῥυπαρόν. 30. ἀποθλιβέντα Both.] ἀποθλίβοντα. 32. ἔνι Iacobs. Add. Ath. 169. 70] ἔστι. ἔστι προσλαβεῖν Schweigh. 33. νύκτα A. 38. οὗ] οἷ Mein. in Ath. 39. ἐστιν A. ἄδωνιν A. 40. ἄγουσα ἑταιρα A. 41. ἀποσάξεις Casaub.] ἀποτάξεις.

coquus Draconi τραπεζοποιῷ, quem sibi ministrum adiungere cupit, qualibus hominibus operam suam commodare soleat exponit. 2. 'διατελεῖς futurum esse adparet.' Cobet. V. l. 242. 12. ἐξέρριψε grata neglegentia pro ἐκρίψας, quod frustra restituere volebat Toupius. 16. Aristot. Pol. 5, 6 καθ' ὅσον ἐπιβάλλει μέρος ἑκάστῳ τοῦ ζῆν καλῶς. Demosth. 18, 254 τὸ ἐπιβάλλον ἐφ' ἡμᾶς μέρος. atque Herodot. 7, 23 μόριον ὅσον αὐτοῖσι ἐπέβαλλε. 4, 115 ἀπολαχόντες τῶν κτημάτων τὸ ἐπιβάλλον. 17. τιθείς, i. e. *computans*. τὰ αὐτοῦ, non τοῦ ἱερείου. 19. 'τριταῖος *heisst, er habe drei Tage zur Fahrt gebraucht, was eine grosse Schnelligkeit ist.*' Boeckh. Oec. Ath.[2] I 189. 20. *nauticas usuras* dicit. Boeckh. Oec. Ath. I 148 not. Diog. L. 6, 99 φησὶ δ' Ἕρμιππος ἡμεροδανειστὴν (Μένιππον) γεγονέναι..καὶ γὰρ ναυτικῷ τόκῳ δανείζειν καὶ ἐνεχυράζειν. 7, 13 φασὶ (Ζήνωνα) ὑπὲρ χίλια τάλαντα ἔχοντα ἐλθεῖν εἰς τὴν Ἑλλάδα καὶ ταῦτα δανείζειν ναυτικῶς. Xen. Vect. 3, 9 ᾧ μὲν γὰρ ἂν δέκα μναῖ εἰσφορὰ γένηται, ὥσπερ ναυτικὸν σχεδὸν ἐπίπεμπτον (20%) αὐτῷ γίγνεται, τριώβολον τῆς ἡμέρας λαμβάνοντι. 21. ναῦλον saepissime est ipsa *merx*. cf. Fritzsch. Ran. p. 156. 7. 22. cf. Eubul. 11, 3. Plat. com. 186, 5. 28. ἕτερα, μειράκια. 29 sq. cf. Archedic. 3, 5 sq. ἐνέβαλεν ut exercitus hostilis. εἰς τὸν κέραμον. cf. Alexid. 257, 3. 31. ἀγοραῖον 'vile, quale fere eorum erat qui de symbolis epulabantur.' Mein. an ἀγελαῖον? cf. Eupol. 374. Plat. com. 76. 40. χύδην coniungendum cum ἀποσάξεις, *inplebis*. Harpocrat. ἀποσάξαντα· ἀντὶ τοῦ φράξαντα τὸ τρῆμα καὶ ἀποπληρώσαντα. cf. Boeckh. C. I. I 289. sane ἀποσάττειν etiam est *ventrem exonerare* (Cobet. N. l. 122): sed hic (propter τόν τε κόλπον) altera significatio aptior est.

44

ἄριστον ἐπεχόρευσεν ἐκλελεγμένον,

εἴ τι νέον ἢ ποθεινόν· ὀστρέων γένη
παντοδαπά, λοπάδων παρατεταγμένη φάλαγξ,
ὀπτῶν ἐπῆττε σωρὸς ἀπὸ τοῦ τηγάνου,
5 τριμμάτια τούτοις ἐν θυΐαις ἀργυραῖς.

Athenaeus 6, 230f *Δίφιλος ἐν Ζωγράφῳ κτλ.* 2. *ὀστρείων* Mein. 4. *ἐπῆττε* K.] *ἐπῆγε* A. cf. Eubul. 37. *ἐπῆξε* Erfurdt. Obs. 457. sed aoristus de *partibus* prandii (v. 1) minus aptus. 5. *θυΐαις* sic A.

1. *ἐκλελεγμέμον* '*quod sibi elegit quidquid novi vel lauti reperiri poterat*'. Mein. 5. *τριμμάτια* 'iuscula ex allio, aceto, porro aliisque condimentis composita, quibus carnes assatae inbuendae erant'. Mein.

45

ἀπροσδόκητον οὐδὲν ἀνθρώποις πάθος·
ἐφημέρους γὰρ τὰς τύχας κεκτήμεθα.

Stobaeus Floril. 105, 5 *Διφίλου ἐκ Ζωγράφου* A. 1. *πάθος* Voss.

ΗΡΑΚΛΗΣ

46

ἐμὲ μὲν οὐχ ὁρᾷς πεπωκότα
ἤδη τ' ἀκροθώρακ' ὄντα καὶ θυμούμενον,
τονδὶ δὲ ναστόν, Ἀστίωνος μείζονα,
ἤδη σχεδὸν δωδέκατον ἠριστηκότα;

Athenaeus 10, 421e *Δίφιλος ἐν Ἡρακλεῖ περί τινος τῶν ὁμοίων (πολυφάγων) διαλεγόμενος διέξεισιν κτλ.* 2. *κεὐθυμούμενον* Mein, quod admodum languet. scr. *κἀμφυσώμενον*. cf. Henioch. 4, 8. Xenoph. Reip. Lac. 5, 8 *οἱ ἄπονοι πεφυσημένοι τε καὶ αἰσχροί.* Athen. 6, 255d *ἐμφυσωμένων τῇ κολακείᾳ.* 3. *τονδὶ δὲ ναστόν* Heringa Observ. 279] *τονδ' ἴδεν ἀστὸν* A. *μείζον'* A. *Ἀστίωνος*] *Ἀστερίωνος* Herwerd. Nov. add. crit. 43 conl. Paus. 1, 35, 5 *ἔστι δὲ Μιλησίοις πρὸ τῆς πόλεως Λάδη νῆσος, ἀπερρώγασι δ' ἀπ' αὐτῆς νησῖδες. Ἀστερίου τὴν ἑτέραν ὀνομάζουσι καὶ τὸν Ἀστέριον ἐν αὐτῇ ταφῆναι λέγουσιν...ἔχει δ' οὖν ὁ νεκρὸς οὐδέν τι μεῖον πηχῶν δέκα.* cf. Preller. Myth. gr.[2] II 135. sed potius *Asterion* (vel *Asterius*) *gigas* intellegendus est. Aristot. Schol. Aristid. 323,9 Dind. *τὰ Ἐλευσίνια διὰ τὸν καρπὸν τῆς Δήμητρος .. τὰ Παναθήναια ἐπὶ Ἀστερίῳ τῷ γίγαντι ὑπὸ Ἀθηνᾶς ἀναιρεθέντι* (Mein. Anal. Ath. 354). sine dubio effigies eius in Gigantomachiarum simulacris publice cernebatur. Hesych. *Ἀστόριον· μέγαν* (sic Mein. pro *μέγα*) *καὶ διακεχυμένον* (*ἐκκεχ.* Mein.). — sententia per interrogationem efferenda erat.

2. Hesych. *ἀκροθώρακες· μέθυσοι.* scr. *ἡμιμέθυσοι.* Hesych. *ἀκροχάλιξ· ἀκροθώραξ, ἡμιμεθής.* constr. *ἐμὲ . . πεπωκότα . . ὄντα κἀμφυσώμενον . . ἠριστηκότα.* — videtur Hercules ipse loqui.

ΗΡΩΣ

47

Athenaeus 9, 371 a *ἡ σευτλὶς ἕτερον τοῦ τεύτλου ἐστί. διὸ καὶ Δίφιλος ὁ κωμῳδιοποιὸς ἐν Ἥρωι δράματι ἐπιτιμᾷ τινι ὡς κακῶς λέγοντι καὶ τὰ τεῦτλα τευτλίδας καλῶν. τευτλίδας* Casaub.] *τοῦ ταίνας* A. *καλῶν*] *καλοῦντι* Casaub. recte Meinekius aliquem *σεῦτλα* vel *σευτλίδες* pro *τεῦτλα* dixisse arbitratur. scripserat Diphilus *κακῶς ποιεῖς τὰ τεῦτλα σευτλίδας καλῶν.* cf. Alexid. 142, 6. Euphron. 3.

ΘΗΣΑΥΡΟΣ

48

ὑπολαμβάνω τὸ ψεῦδος ἐπὶ σωτηρίᾳ
λεγόμενον οὐδὲν περιποιεῖσθαι δυσχερές.

Stobaeus Floril. 12, 12 *Διφίλου Θησαυροῦ* A. 2. *οὐδὲν* Mein.] *οὐθέν.*

ΘΗΣΕΥΣ

49

σὲ μὲν καλοῦσι ψωμοκόλαφον δραπέτην.

Athenaeus 6, 262 a *ψωμοκόλαφον εἴρηκε Δίφιλος ἐν Θησεῖ οὕτως κτλ. ψωμοκόλαφον* nove dicit eum quem superiores *ψωμοκόλακα* dixerant.

50

Athenaeus 10, 451 b *Δίφιλος ἐν Θησεῖ τρεῖς ποτε κόρας Σαμίας φησὶν Ἀδωνίοισι γριφεύειν παρὰ πότον. προβαλεῖν δ' αὐταῖσι τὸν γρῖφον 'τί πάντων ἰσχυρότατον'; καὶ τὴν μὲν εἰπεῖν ὅτι σίδηρος, καὶ φέρειν τούτου λόγου τὴν ἀπόδειξιν, διότι τούτῳ πάντ' ὀρύσσουσίν τε καὶ τέμνουσι καὶ χρῶντ' εἰς ἅπαντα. εὐδοκιμοῦσαι δ' ἐπάγειν τὴν δευτέραν, φάσκειν τε τὸν χαλκέα πολὺ κρείττω φέρειν ἰσχύν. ἐπεὶ τοῦτον κατεργαζόμενον καὶ τὸν σίδηρον τὸν σφοδρὸν κάμπτειν, μαλάσσειν, ὅτι ἂν χρήζῃ ποιεῖν. τὴν δὲ τρίτην ἀποφῆναι πέος ἰσχυρότατον πάντων, διδάσκειν δ' ὅτι καὶ τὸν χαλκέα στένοντα πυγίζουσι τούτῳ. φησὶν*] *φασὶν* A. *Ἀδωνίοισιν* A *λόγου*] *λόγον* A. *τὴν*] *τᾶν* A. *τὴν δευτ.*] *τᾶν δευτ.* A. *ἐπεὶ*] *ἐπὶ* A. *σιδᾶρον* A. *ποιεῖν* A. *τὴν δὲ*] *τᾶν δὲ* A. doricis formis puellas Samias usas fuisse vix credibile est. pro *εὐδοκιμοῦσαι* fortasse scribendum *εὐδοκιμούσῃ.* referebat huc Meinekius fr. 103. versus iambici redintegrari possunt multis modis. sed nihil agitur, nisi omnes probabiliter restituantur.

ΚΙΘΑΡΩΙΔΟΣ

51

ἐξανίσταμαι
τὸν ἀμφιτάπητα συστορέσας.

Pollux 10, 38 *δάπιδες, τάπητες, ἀμφιτάπητες. Δίφιλος γοῦν φησιν ἐν Κιθαρῳδῷ κτλ.* '*exsurgo, posteaquam constravi amphitapetem*, ne scilicet vestigium cubantis in eo adpareret.' Kuhn.

52

λήκυθον ξύστιν τ' ἔχεις;
Β. ἐγὼ δὲ καὶ ξύστραν.

Pollux 10, 62 *στλεγγίδες. καὶ ξυστίδας δ' αὐτὰς ἄν τις εἴποι... Δίφιλός που ἐν Κιθαρῳδῷ ἀνδρὶ εἴρηκεν κτλ. ξύστις* est vestimenti genus (Arist. Nub. 70), *ξύστρα* strigilis. ex eorum nominum similitudine iocus petitur. quid in Pollucis verbis sibi velit *ἀνδρί* dubium est. 2. Atticorum mos dicendi postulat *καὶ ξύστραν γε.*

ΚΛΗΡΟΥΜΕΝΟΙ

Plaut. Casin. prol. 31 *Clerumenoe vocatur haec comoedia | graece, latine Sortientes. Diphilus | hanc graece scripsit, post id rursum denuo | latine Plautus.* cf. Meinek. I 455. fragmenta non exstant.

ΛΕΥΚΑΔΙΑ

Cf. *Leucadia* Amphidis et Menandri, *Leucadius* Antiphanis, *Λευκαδία ἢ Δραπέται* Alexidis.

53

ἐν Κέῳ τίς ἡμέρα;

...μέμνηται ταύτης Δίφιλος ἐν Λευκαδίᾳ. Miller. Mélanges 354. *ἐγκεῶ* cod. cf. Cratet. 29, 5.

ΛΗΜΝΙΑΙ

Cf. quae ad Aristophanis *Lemnias* adnotavimus.

54

οὗτοι δεδειπνήκασιν· ὁ δὲ τάλας ἐγὼ
κεστρεὺς ἂν εἴην ἕνεκα νηστείας ἄκρας.

Athenaeus 7, 307 f *Δίφιλός φησιν ἐν Λημνίαις κτλ.* idem 4, 156 b *ἐγὼ δ' ὁ τάλας, κατὰ τὸν κωμῳδιοποιὸν Δίφιλον, κεστρεὺς κτλ.* Eustathius 1178, 5 *καὶ παρὰ Διφίλῳ ἐν τῷ κτλ.* 2. *νηστίας* Eust. — cf. Aristoph. fr. 156.

ΜΑΙΝΟΜΕΝΟΣ

Μαινόμενος fuit Diodori, *Dementes* Cn. Naevii. O. Ribbeck. Com. Rom. fr.[2] 14.

55

καὶ προσέτι τοίνυν ἐσχάραν, κλίνην, κάδον,
στρώματα, σίγυνον, ἀσκοπήραν, θύλακον,
ὥστ' οὐ στρατιώτην ἄν τις ἀλλὰ καὶ κύκλον
ἐκ τῆς ἀγορᾶς ὀρθὸν βαδίζειν ὑπολάβοι.
5 *τοσοῦτός ἐσθ' ὁ ῥῶπος ὃν σὺ περιφέρεις.*

Pollux 10, 18 *ἵνα δ' ἐπιπράσκετο τὰ σκεύη, τῆς ἀγορᾶς τὸ μέρος τοῦτο κύκλοι ὠνομάζοντο... ἐν τῷ Μαινομένῳ Δίφιλος κτλ.* 1. *κλίνην* Hemsterh.] *καὶ νῦν* F. 2. *σίγυνον* Bentl.] *συνὸν. λάγυνον* vel *τάγηνον* Pors. 3. *ὥστ' οὐ* Piers. Moer. 442] *ὥς που.* 3. *ἀλλὰ καὶ*] *ἀλλ' ἀκαρῆ* K. cf. Arist. Vesp. 701. Alexid. 144.
4. *ὀρθόν.* in foro *κεῖνται* vasa: iste omnia *ὀρθά, ἀνεστηκότα* gestabat. ante v. 1 positum erat *φέρεις* vel *ἔχεις* (*ὁρῶ σ' ἔχοντα*).

ΜΝΗΜΑΤΙΟΝ

56

ψῦξον τὸν οἶνον, Δωρί.

Athenaeus 3, 124cd *ὅτι δὲ καὶ τὸν οἶνον ἔψυχον ὑπὲρ τοῦ ψυχρότερον αὐτὸν πίνειν... Δίφιλος ἐν Μνηματίῳ φησί κτλ.* Eustathius 866, 26 *ἔψυχον τὸν οἶνον οἱ ἀρχαῖοι, καὶ τὸ ψύξον τὸν οἶνον,* om. *Δωρί.*

ΟΝΑΓΟΣ

A Plauto in *Asinaria* expressa. Diphilum, non Demophilum, auctorem fabulae esse Ritschelius demonstravit Parerg. Plaut. I 272.

ΠΑΓΚΡΑΤΙΑΣΤΗΣ

57

εἶτ' ἐν χάρακι μὲν ταῦτα καὶ παρεμβολῇ.

Pollux 9, 15. cf. Theophil. 9.

ΠΑΙΔΕΡΑΣΤΑΙ

58

ἔγχεον σὺ δὴ πιεῖν.
Β. εὐζωρότερόν γε νὴ Δί', ὦ παῖ, δός· τὸ γὰρ
ὑδαρὲς ἅπαν τοῦτ' ἔστι τῇ ψυχῇ κακόν.

Athenaeus 10, 423ef *Δίφιλος ἐν Παιδερασταῖς φησιν κτλ. ἔγχεον — εὐζωρότερον· τὸ γὰρ — κακόν* C et Eustathius 746, 55

Διφίλου τὸ κτλ. 1. *συ δη* A. 2. *B.* add. Naber. Mnem. nov. VIII 426. *νη διω* A. *παῖ, δός* Casaub.] *παῖδες* A.

ΠΑΛΛΑΚΙΣ

59

βουβάλια καρπῶν παρθένου φορήματα

Etymol. m. 206, 16 *βουβάλιον· κόσμος χρυσοῦς περιτιθέμενος τῷ καρπῷ. Δίφιλος ἐν Παλλακίδι κτλ. φορήματα* V] *φρονήματα. Παλλακίδι* cod. Milleri Mélanges 68] *Παλλακῇ.* Hesych. *βουβάλιον· γυναικὸς κοσμάριον* (ex emend. Mein.). cf. Nicostr. 33.

ΠΑΡΑΣΙΤΟΣ

Fortasse idem cum *Telesia.*

60

εὖ γ' ὁ κατάχρυσος εἶπε πόλλ' Εὐριπίδης·
'νικᾷ δὲ χρεία μ' ἡ ταλαίπωρός τέ μου
γαστήρ.' ταλαιπωρότερον οὐδέν ἐστι γὰρ
τῆς γαστρός, εἰς ἣν πρῶτον ἐμβάλοις . .
ἀλλ' οὐχ ἕτερον ἀγγεῖον. ἐν πήρᾳ φέροις
ἄρτους ἄν, ἀλλ' οὐ ζωμόν, ἢ διαφθερεῖς.
εἰς σπυρίδα μάζας ἐμβαλεῖς, ἀλλ' οὐ φακῆν,
οἰνάριον εἰς λάγυνον, ἀλλ' οὐ κάραβον.
εἰς τὴν θεοῖς ἐχθρὰν δὲ ταύτην εἰσφόρει
τὰ πάνθ' ἑαυτοῖς μηδὲν ὁμολογούμενα.
κοὐ προστίθημι τἄλλα, διότι πανταχοῦ
διὰ τὴν τάλαιναν πάντα ταύτην γίνεται.

Athenaeus 10, 422 b *Δίφιλος ἐν Παρασίτῳ κτλ.* v. 1 Eustathius 1205, 20 *Εὐριπίδης, ὃν κατάχρυσον ὁ Δίφιλος εἶπεν.* 1. *πόλλ'*] *τοῦτ'* Grotius Excerpt. 793. 2. *με* A. 3. *οὐδέν ἐστι γὰρ* VL] *γὰρ οὐδέν ἐστι* A. 4. *πρῶτον* A] *πάντ' ἂν* C. *πρῶτον ἂν πάντ'* Grotius. *ἐμβάλοις* VL] *ἐμβαλεῖς* A. *βρωτὸν ἐμβαλεῖς ἅπαν* Mein. *πάντ' ἂν ἐμβάλοις ἅμα* Herwerd. Nov. add. crit. 43. 44, cui adsentior. 5. *ἀλλ' οὐχ ἕτερον εἰς ἄγγος* Mein. *ὡς οὐχ ἕτ. ἀγγεῖον* K. 6. *ἄρτουσαν ἄλλου* A. 9. *εἰσφορεῖν* | *πάντ' ἔσθ'* Mein. in Ath. 10. *τὰ πάνθ'* VL] *πάντα* A. *ἅπανθ'* Iacobs. Add. Ath. 9. *πᾶς φέρει* | *ἅπανθ'* K. 11. *τὰ ἄλλα* A. 12. *ταύτην* C] *ταῦτα* A. *τὰ κακὰ* Casaub. *πάντ' ἄτακτα* Iacobs. 229. *πάντα γίνεται κακά* Mein. An. Ath. 191. *ταὐτὰ* Volgraff. Mnem. nov. X 421. 2. fortasse *πάντα που* | *διὰ τὴν τ. τὰ κακὰ ταύτην γ.* duo postremi versus

delendi videntur G. A. Hirschigio Ann. crit. 28. cum ultimo cf. Alexid. 212, 5.

2. *νικᾷ δὲ χρεία μ' ἡ κακῶς τ' ὀλουμένη | γαστήρ, ἀφ' ἧς δὴ πάντα γίνεται κακά* Eurip. fr. 907 N. (ex Clem. Alex. Strom. 6, 2, 12).

61

ὅταν με καλέσῃ πλούσιος δεῖπνον ποιῶν,
οὐ κατανοῶ τὰ τρίγλυφ' οὐδὲ τὰς στέγας,
οὐδὲ δοκιμάζω τοὺς Κορινθίους κάδους,
ἀτενὲς δὲ τηρῶ τοῦ μαγείρου τὸν καπνόν.
5 *κἂν μὲν σφοδρὸς φερόμενος εἰς ὀρθὸν τρέχῃ,*
γέγηθα καὶ χαίρω τε καὶ πτερύττομαι·
ἂν δὲ πλάγιος καὶ λεπτός, εὐθέως νοῶ
ὅτι τοῦτό μοι τὸ δεῖπνον ἀλλ' οὐδ' αἷμ' ἔχει.

Athenaeus 6, 236 b *ὁ δὲ παρὰ τῷ Διφίλῳ (παράσιτος) τάδε φησίν κτλ.* 2. *τὰ τριαγλυφουδε* A. 5. *σφοδρῶς* C. 6. *τε* Dobr.] *τι* A. *πτερύττομαι* Dindf.] *πτερύσσομαι* A. fort. *γέγηθά τ' ἀσπαίρω τε κτλ.* palpitant enim etiam qui supra modum laetantur. 7. *ἂν* Grot. Excerpt. 799] *ἐὰν* A. 8. *αἷμα* A.

